# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙ-ΚΗΣ ΙΣΤΟΡΙΑΣ ΒΙΒΛΙΑ ΔΕΚΑ.

## HELIODORI HISTORIAE AETHIO-picæ libri decem, nunquam antea in lucem editi.



BASILEAE EX OFFICINA HERVA-GIANA AN. M. D. XXXIIII. MENSE FEBRVARIO.

b16165123

## CLARISSIMIS ATQVE AMPLISSIMIS Reipublicæ Norimbergensis Senatoribus atq; Patricijs Dominis suis colendiss. Vincentius Obsopœus.

OMNES occasiones hactenus quærenti mihi, & diligenter quidem inuestiganti, animi mei erga uos declarandi, uiri ac patres amplissimi, & domini sapientissimi, in tanta cum rei familiaris, tum ingenij angustia nihil occurrere potuit, quod uestra magnificētia & amplitudine dignum existimassem. Cum enim ei ciuitati, in qua olim & iucundissime uixeram, & suauissimum ocium traduxeram, ac libens reliquum ætatis meæ tempus si ita fata tulissent consumpsissem, cuius nūc absens uel sola memoria non uulgariter recreor, studerem esse quàm gratissimus, uel ob id tantum uitam mihi acerbiorē putaui, quod omnis referendę gratiæ mihi adempta esset occasio. Cupiebā uero nō uulgari more (id quod mihi procliue factu erat) agere gratias, sed cuius memoria etiam ad posteros deriuata & propagata aliquandiu perduraret. Hanc autem agendarum gratiarum rationem anxie & sollicito animo me agitantem, tandem aliquis fœlix & propitius genius cōsolatus est, qui hosce decem Aethiopicę historię ab Heliodoro conscriptæ libros manibus meis commodissime obtulit. Hunc ergo autorem uestræ amplitudini non





alio animo offerro, quàm quo dixi, nempe grato & beneuolo, ut intelligatis, siquid dulce unquam in uestra florentissima ciuitate cum priuatim tum publice, & amplissimi senatus benignitate, & ciuium uestrorum opera, potissimum uero Iohannis Seyfridi hominis humanissimi patroni mei liberalitate mihi obtigit, illud me non habere ingratum & irritum, sed etiamnum alta mente repostū tenere, & habiturum perpetuo. Conaturū quoq; semper, ut quod ad gloriæ & laudum uestrarum cumulum pertinere intellexero, illud semper & prompte faciam, quo fiat perspicuum, me uestris laudibus impense & ex animo fauere. Cæterū ipsum Heliodorū uestræ amplitudini, præter quàm quod in hac historia omnium humanorum affectuum absolutissimam quandam imaginem (quos omnes exacte cognoscere non extrema sapientiæ pars habēda est) & cōiugalis amoris ac fidei, & constantiæ pulcherrimum exemplar in Theagene & Chariclia adūbrauit: mitto uerborum ornatū & compositionem, & dicendi artificium, cæterasq; orationis uirtutes, quibus nulli Græcorū authorum secundus est: uel hoc etiam nomine commendatiorem esse uolo, quod nondum uspiam in lucem prodijsse sit cognitus: uerum etiamdum & græcis & latinis auribus iuxta incognitus. Neque uero mediocrem gratiam & ille debebit uestræ Reipub. si per uos quodammodo renatus, & tanquam ab in-

Theagenes Chariclea

feris reductus, hoc est à blattis & tineis, à carcere &
tenebris, à situ, squalore, & interitu, cui proximus
erat, liberatus in lucem emerserit, plurimũ lucis à loci
celebritate sibi uendicaturus: sed eidem ipse uicissim
non minus repositurus, adeo ut ipsa sua παλιγγενε/
σίᾳ uobis parentibus suis σῶστρα ϗ θρεπτήρια ut gra
tus alumnus abũde referre uideatur. Deuenit ad me
seruatus ex ista clade Vngarica, qua serenissimi quõ/
dam regis Matthiæ Coruini bibliotheca omnium
instructissima superioribus annis à barbarie asiatica
uastata est. Hunc cum alijs nonnullis miles quidam
planè gregarius, & ab omnibus tam græcorũ quàm
latinorum disciplinis abhorrentissimus, iam apud
nos tinctorem agens, tunc uero illustrissimum prin/
cipem Casimirum Marchionem Brandenburgen/
sem laudabilis memoriæ, comitatus in Vngariã for/
te fortuna non sine mente reor, sine numine diuûm,
sustulit, quia auro exornatus nonnihil adhuc splen/
descebat, ne scilicet tam bonus author & uisus & le/
ctus paucissimis, interiret. Sed seruatus multis ad/
huc & uoluptati foret & oblectationi & usui. Iurare
audeo & græcis authoribus, de historicis loquor, a/
mœniorẽ & iucundiorẽ, neq; uerebor addere etiam
doctiorem nondum in manus meas deuenisse. Fa/
tebũtur idem alij, qui penitius ipsum introspectum
degustauerint. De fide historiæ nihil confirmo, hæc
penes authorẽ esto. Sunt audaciores in historia La/
tinis



tinis Græci scriptores, multum sibi indulgentes, ta/
men si sunt, qui Herodoto non in omnibus fidem
negandam censeãt, puto etiam huic credendum esse
ut Græco historico. De argumento quod & uarium
est & multiplex, nihil non polliceor, quod præter fe/
stiuam & amœnam & puram & castam historiam,
quam perpetua narratione exequitur: multorũ quo/
que locorum situs cosmographica ratione scitissime
depingit: non paucarum rerum caussas easq; occul/
tissimas eruit & aperit: nonnullorum populorum ri/
tus & mores erudite describit: plerorũq; fluminum,
montium, lapidum, herbarum & regionum naturas,
Aegypti nimirum & Aethyopiæ huic conterminæ,
uulgo haud cognitas explicat: omnia pulcherrimis
digressionibus, & amœnissimis parergis & exorna/
tionibus ita miscens & temperans, ut merito uidea/
tur præ cæteris Heliodori appellationem usurpasse,
adeo in toto opere nihil rude & impolitum reliquit,
quod etiam delicatissimo lectori nauseam adferre
queat. Accipite itaque amplissimi Patres ac domini
prudẽtissimi quantiuis precij authorem à me mune/
ri, eundemq; in partem reparatarum uestra opera
& liberalitate legum clementer & benigne uenire pa
tiamini, ut, quoniam pro certo constet ( & absit uer/
bo inuidia, & assentationis suspitio) uestram floren/
tissimam Rempublicam optimis legibus fundatam
ac institutam totius Germaniæ alterum solem esse.

 isto

isto sole ac luce Germanorum Heliodorus renascatur. Videt uestra amplitudo & prudentia, quo in statu res sit literaria, quàm passim uulgo contemnatur, quàm habeatur despicatui, quàm pauci sint qui illam ex animo saluam & seruatam cupiant. Et nisi id genus authores ueteres magna seruentur uigilantia, & nondum excusi in lucem reducantur, periculum est ne breui in ista morum feritate & barbaro pulcherrimarum artium & linguarum contemptu tota funditus dilabatur. Multi magna admiratione priscorum colunt imagines: alius uetusti saxi fragmenta literis inscripta habet in pretio: tertius ueteres nūmos congerit: quartus aliud quiddam magis etiam ridiculum ex prisco seculo relictum suspicit. Ex omnibus populis Scythæ patria monimenta atq; sepulchra omnium religiosissime uenerantur, pro ijs fortissime dimicantes, pulchram per uulnera mortem non uerentur occumbere. Atqui ijs omnibus multo pretiosior est historia, quæ non unam aliquam nobis antiquitatem uidendam exhibet, sed maiorum nostrorum uitam omnem, adde multorū populorū mores, ritus, instituta, ciuitates, uarias Reipublicæ formas, multorum dicta ac facta simul demonstrat, ut tanquā in speculo quales ipsi domi forisq; fuerint, qualem posteris patriam reliquerint, quantum ab illorum frugalitate & temperantia, & morū ac uitæ integritate degenerauerimus cernere liceat. Hāc nemo

aut



aut perpauci admodum demirantur & suspiciunt & adseruandum curant. Fuit hoc quondam regum & principum memorabile studium, summa diligentia curare, ut ueterum scriptorum lucubrationes conseruentur. Qua re adeo sola Ptolomæi reges Ægyptij alioqui luxu perditi olim, & nostra memoria cum primis serenissimus Vngariæ rex Matthias Coruinus, quem immerito multi ut tyrannum proscindūt, immortalem gloriam sibi pepererunt. Nostris uero temporibus, ut alia præclara atq; egregia distractis in tot profanas occupationes plerisq; principibus, ita hoc quoque exoleuit. Miseræ ergo & desertæ ab omnibus literæ unicum apud uestram amplitudinem sibi relictum uident receptū atq; suffugium, quum aliàs ubiq; in exiliū profligatæ & exterminatæ sint. Eas amplissimi patres & uiri prudentissimi, qua liberalitate & humanitate fouere cœpistis, & porrò tueri pergite, ut castrum Noricum nō tam omnium rerum nobile emporiū, quam optimarū artium ac disciplinarum & ingeniorum & omnis eruditionis domicilium celeberrimum esse cognoscatur. Amplitudini uestræ me etiam atq; etiam cōmendo. Valete. Onolezpachij XXVI Iunij Anno à Christo nato M. D. XXXI.

## ΠΕΡΙ ΤΟΥ ΞΥΓΓΡΑΦΕΩΣ.

Ἡλιόδωρος οὗτος ὁ ἐμεσηνός, ὁ τῶν Θεοδοσίου τάχ' ἂν εἴη σοφιστής, οὗ μνήμην ποιεῖται ὁ Φιλόστρατος, ἀράβιον αὐτὸν προσαγορεύσας, διά τι, ὡς ἐγῷμαι, τὸ πρόσχωρον τῶν ἐθνῶν, φοινίκης γὰρ πόλις Ἔμεσα, ἣ καὶ Ἐμισὸς καταλέγεται ἐν ταῖς γεωγραφικαῖς πίναξιν. ἔπεισι δὲ εἰκάζειν τὰ δὲ περὶ τοῦ ξυγγραφέως, ἅμα τε ἐκ τῶν Φιλοστράτου γραφέντων, ἅμα τε ἐκ τῶν τῆς συντάξεως καὶ ἑρμηνείας σοφιστικῶν καινουργημάτων, τὰ γὰρ τῆς ἱστορίας πλάσματα πανταχῶς ἀσυνήθη ὄντα εἰς οὐκ ἀηδῆ τινὰ ἁρμονίαν συνεσκευάσθη αὐτῷ, καὶ τὰ τῆς λέξεως ἔχουσι, καὶ αὐτὰ μὲν τὸ πολὺ περιεργείας, ὅμως δὲ ὡς περὶ τοιᾶσδε ὑποθέσεως κηλῖδα τινὰ εὔρουν καὶ ἱλαρὰν ἐφελκόμενα.



# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙ= ΚΩΝ ΠΡΩΤΟΝ.

Ἡμέρας ἄρτι διαγελώσης, καὶ ἡλίου τὰς ἀκρωρείας καταυγάζοντος, ἄνδρες ἐν ὅπλοις λῃστρικοῖς ὄρους ὑπερκύψαντες, ὃ δὴ κατ' ἐμβολὰς τοῦ νείλου, καὶ στόμα τὸ καλούμενον ἡρακλεωτικὸν ὑπερτείνει, μικρὸν ἐπιστάντες, τὴν ὑποκειμένην θάλατταν ὀφθαλμοῖς ἐπήρχοντο, καὶ τῷ πελάγει τὰς ὄψεις τὸ πρῶτον ἐπαφέντες, ὡς οὐδὲν ἄγρας λῃστρικῆς ἐπηγγέλλετο μὴ πλεόμενον, ἐπὶ τὸν πλησίον αἰγιαλὸν τῇ θέᾳ κατήγοντο, καὶ ἦν τὰ ἐν αὐτῷ τοιάδε. ὁλκὰς ἀπὸ πρυμνησίων ὥρμει, τῶν μὲν ἐμπλεόντων χηρεύουσα. φόρτου δὲ πλήθουσα, καὶ τοῦτο παρῆν συμβάλλειν καὶ τοῖς πόῤῥωθεν. τὸ γὰρ ἄχθος, ἄχρι καὶ ἐπὶ τρίτον ζωστῆρα τῆς νεὼς τὸ ὕδωρ ἀνέθλιβε, ὁ δὲ αἰγιαλὸς μεστὰ πάντα τῶν νεοσφαγῶν. τῶν μὲν ἄρδην ἀπολωλότων, τῶν δὲ ἡμιθνήτων, καὶ μέρεσι τῶν σωμάτων ἔτι σπαιρόντων, ἄρτι πεπαῦσθαι τὸν πόλεμον κατηγορούντων, ἦν δὲ οὐ πολέμου καθαροῦ τὰ φαινόμενα σύμβολα. ἀλλ' ἀνεμέμικτο καὶ εὐωχίας οὐκ εὐτυχοῦς. ἀλλ' εἰς τοσοῦτον ληξάσης ἐλεεινὰ λείψανα τράπεζαι τῶν ἐδεσμάτων ἔτι πλήθουσαι, καὶ ἄλλαι πρὸς τῇ γῇ τῶν κειμένων ἐν χερσὶν ἀνθ' ὅπλων ἐνίοις παρὰ τὴν μάχην γεγενημέναι. ὁ γὰρ πόλεμος ἐσχεδίαστο. ἕτεραι δὲ ἄλλους ἔκρυπτον ὡς ᾤοντο ὑπελθόντας. κρατῆρες ἀνατετραμμένοι, καὶ χειρῶν ἔνιοι τῶν ἐσχηκότων ἀποῤῥέοντες. τῶν μὲν, πινόντων, τῶν δὲ, ἀντὶ λίθων κεχρημένων. τὸ γὰρ αἰφνίδιον τοῦ κακοῦ «
τὰς χρείας ἐκαινοτόμει, καὶ βέλεσι κεχρῆσθαι τοῖς ἐκπώμασιν ἐδί- «
δασκεν. ἔκειντο δὲ ὁ μὲν πελέκει τετρωμένος, ὁ δὲ, κάχληκι βε- «
βλημένος, αὐτόθεν ἀπὸ τῆς ῥαχίας πεπορισμένος. ἕτερος ξύλῳ κατεαγώς, ὁ δὲ, δαλῷ κατάφλεκτος, καὶ ἄλλος, ἄλλως. οἱ δὲ πλεῖστοι βελῶν ἔργον τοξείας γεγενημένοι, καὶ μυρίον εἶδος ὁ δαίμων ἐπὶ μικροῦ τοῦ χωρίου διεσκεύασεν, οἶνον αἵματι μιάνας, καὶ συμποσίοις πόλεμον ἐπιστήσας. φόνους καὶ πότους, σπονδὰς καὶ σφαγὰς



Heracleoticū ostiū

τρίτον ζωστῆρα τῆς νεὼς

ἐκαινοτόμει

ἐσχ̄

εἰς τοσοῦτον

ἐσχεδίαστο ὁ πόλεμος

ἐπισωρεύσας, καὶ τοιοῦτον θέατρον λῃσταῖς αἰγυπτίοις ἐπιδείξας.
οἱ γὰρ δὴ κατὰ τὸ ὄρος, θεωροὺς ἑαυτοὺς τῶνδε καθίσαντες, οὐδὲ συνιέ-
ναι τὴν σκηνὴν ἐδύναντο, τοὺς μὲν ἑαλωκότας ἔχοντες, οὐδαμοῦ
δὲ τοὺς κεκρατηκότας ὁρῶντες, καὶ τὴν μὲν νίκην λαμπράν. τὰ
λάφυρα δὲ, ἀσκύλευτα, καὶ τὴν μὲν ναῦν, μόνην. ἀνδρῶν δὲ ἔρη-
μον. τἄλλα δὲ ἄσυλον, ὥσπερ ὑπὸ πολλῶν φρουρουμένην, καὶ ὥσπερ
ἐν εἰρήνῃ σαλεύουσαν. ἀλλὰ καίπερ τὸ γεγονὸς ὅτι ποτὲ ἦν ἀ-
ποροῦντες, εἰς τὸ κέρδος ἔβλεπον καὶ τὴν λείαν, ἑαυτοὺς οὖν νι-
κητὰς ἀποδείξαντες, ὥρμησαν. ἤδη δὲ αὐτοῖς κεκινηκόσιν ἀπό-
θεν μικρὸν, τῆς τε νεὼς καὶ τῶν κειμένων, θέαμα προσπίπτει τῶν προ-
τέρων ἀπορώτερον. κόρη καθῆστο ἐπὶ πέτρας, ἀμήχανόν τι κάλλος,
καὶ θεὸς εἶναι ἀναπείθουσα, τοῖς μὲν παροῦσι περιαλγοῦσα, φρονήματος
δὲ εὐγενοῦς ἔτι πνέουσα. δάφνῃ τὴν κεφαλὴν ἔστεπτο, καὶ φαρέτραν
τῶν ὤμων ἐξῆπτο, καὶ τῷ λαιῷ βραχίονι τὸ τόξον ὑπεστήρικτο. ἡ λοι-
πὴ δὲ χεὶρ, ἀφροντίστως ἀπῃωρεῖτο, μηρῷ δὲ τῷ δεξιῷ τὸν ἀγκῶ-
να θατέρας χειρὸς ἐφεδράζουσα, καὶ τοῖς δακτύλοις τὴν παρειὰν
ἐπιρρίψασα, κάτω νεύουσα, καί τινα ἀποκείμενον ἔφηβον περισκο-
ποῦσα τὴν κεφαλὴν ἀνεῖχεν. ὁ δὲ, τραύμασι μὲν κατῄκιστο, καὶ
μικρὸν ἀναφέρων ὥσπερ ἐκ βαθέος ὕπνου, τοῦ παρ' ὀλίγον θανάτου
κατεφαίνετο. ἤνθει δὲ καὶ ἐν τούτοις, ἀνδρείῳ τῷ κάλλει, καὶ ἡ πα-
ρειὰ καταρρέοντι τῷ αἵματι φοινισσομένη, λευκότητι πλέον ἀντέ-
λαμπεν. ὀφθαλμοὺς δὲ ἐκείνου, οἱ μὲν πόνοι κατέσπων. ἡ δὲ ὄψις
τῆς κόρης ἐφ' ἑαυτὴν ἀνεῖλκε, καὶ τοῦτο ὁρᾶν αὐτοὺς ἠνάγκαζεν, ὅτι
ἐκείνην ἑώρων. ὡς δὲ πνεῦμα συλλεξάμενος, καὶ βύθιόν τι ἀσθμή-
νας λεπτὸν ὑπεφθέγξατο, καὶ ὦ γλυκεῖα ἔφη, σώζῃ μοι ὡς ἀληθῶς,
ἢ γέγονας καὶ αὐτὴ τοῦ πολέμου πάρεργον, οὐκ ἂν ἔχῃ δὲ ἄλλως, οὐδὲ με-
τὰ θάνατον ἀποστατεῖν ἡμῶν, ἀλλὰ φάσμα τὸ σὸν καὶ ψυχὴ τὰς
ἐμὰς περιέπει τύχας. ἐν σοὶ ἔφη τὰ ἐμὰ ἡ κόρη σώζεσθαί τε καὶ μή.
τοῦτο γοῦν ὁρᾷς, δείξασα ἐπὶ τῶν γονάτων ξίφος, εἰς δεῦρο ἤργησεν
ὑπὸ τῆς σῆς ἀναπνοῆς ἐπεχόμενον, καὶ ἅμα λέγουσα, ἡ μὲν, τῆς πέτρας
ἀνέθορεν. οἱ δὲ ἐπὶ τοῦ ὄρους, ὑπὸ θαύματος ἅμα καὶ ἐκπλήξεως, ὥσπερ
ὑπὸ πρηστῆρος τῆς ὄψεως βληθέντες ἄλλος ἄλλον ὑπεδύετο θάμνον,
μεῖζον γάρ τι καὶ θειότερον αὐτοῖς ὀρθωθεῖσα ἔδοξε ἔδοξε. τῶν μὲν βελῶν





τῇ ἀθρόᾳ κινήσει κλαγξάντων, χρυσοϋφοῦς δὲ τῆς ἐσθῆτος πρὸς τὸν ἥλιον
ἀνταυγαζούσης, καὶ τῆς κόμης ὑπὸ τῷ στεφάνῳ βακχείου σοβουμέ-
νης, καὶ τοῖς νώτοις πλεῖστον ὅσον ὑποτρεχούσης. τοὺς μὲν ταῦτα ἐξε-
δειμάτου, καὶ πλέον τῶν ὁρωμένων, ἡ τῶν γιγνομένων ἄγνοια. οἱ
μὲν γὰρ θεόν τινα ἔλεγον, καὶ θεὸν ἄρτεμιν. ἢ τὴν ἐγχώριον ἶσιν.
οἱ δὲ ἱέρειαν ὑπό του θεοῦ ἐκμεμηνυῖαν, καὶ τὸν ὁρώμενον πολὺν
φόνον ἐργασαμένην, καὶ οἱ μὲν, ταῦτα ἐγίγνωσκον. τὰ ὄντα, οὔ-
πω ἐγίγνωσκον. ἡ δὲ, ἀθρόον κατενεχθεῖσα ἐπὶ τὸν νεανίαν, καὶ
πανταχόθεν αὐτῷ περιχυθεῖσα, ἐδάκρυεν, ἐφίλει. κατέματτεν,
ἀνῴμωζεν, ἠπίστει κατέχουσα. ταῦτα ὁρῶντες οἱ αἰγύπτιοι πρὸς
ἑτέρας ἐννοίας τὴν γνώμην μετέβαλον, καὶ ποῦ ταῦτα ἄν, εἴη θεοῦ
τὰ ἔργα λέγοντες. πῶς δ' ἄν, νεκρὸν σῶμα φιλοίη δαίμων οὕτω
περιπαθῶς. τολμᾶν ἑαυτοῖς παρεκελεύοντο, καὶ προσελθόντες ἐγ-
γύθεν, λαμβάνειν τὴν τῶν ἀληθινῶν γνῶσιν. ἀναλαβόντες οὖν
ἑαυτοὺς, καταθέουσι, καὶ τὴν κόρην ἔτι πρὸς τοῖς τραύμασιν οὖσαν
τοῦ νεανίου καταλαμβάνουσι, καὶ ἐπιστάντες ὄπισθεν, εἶχον ἑαυτοὺς,
οὔτε τι λέγειν, οὔτε τι πράττειν ἀποθαρροῦντες. κτύπου δὲ περιηχή-
σαντος, καὶ τῆς ἐξ αὐτῶν σκιᾶς τοῖς ὀφθαλμοῖς παρεμπεσούσης, ἀνέ-
νευσεν ἡ κόρη, καὶ ἰδοῦσα αὖθις ἐπένευσε. πρὸς μὲν τὸ ἀήθες τῆς
χροιᾶς καὶ τὸ λῃστρικὸν τῆς ὄψεως ἐν ὅπλοις δεικνυμένης, οὐδὲ κατὰ
μικρὸν ἐκπλαγεῖσα. πρὸς δὲ τὴν θεραπείαν τοῦ κειμένου πᾶσαν
ἑαυτὴν τρέψασα. οὕτως ἄρα πόθος ἀκριβὴς, καὶ ἔρως ἀκραιφνὴς, „
τῶν μὲν ἔξωθεν προσπιπτόντων ἀλγεινῶν τε καὶ ἡδέων πάντων „
ὑπερφρονεῖ. πρὸς ἓν δὲ τὸ φιλούμενον, καὶ ὁρᾶν, καὶ συννεύειν „
τὸ φρόνημα καταναγκάζει. ὡς δὲ παραμείψαντες οἱ λῃσταὶ κατὰ „
πρόσωπον ἔστησαν, καί τι μέλλειν ἐπιχειρεῖν ἐῴκεσαν, αὖθις ἡ παῖς „
ἀνένευσε, καὶ μέλανας ἰδοῦσα τὴν χροιὰν, καὶ τὴν ὄψιν αὐχμηροὺς,
εἰ μὲν εἴδωλα τῶν κειμένων ἐστὲ φησὶν, οὐκ ἐν δίκῃ παρενοχλεῖτε
ἡμῖν. οἱ μὲν γὰρ πλεῖστοι χερσὶ ταῖς ἀλλήλων ἀνῄρηνται. ὅσοι δὲ πρὸς
ἡμῶν ἀμύνης νόμῳ καὶ ἐκδικίας τῆς εἰς σωφροσύνην ὕβρεως πε-
πόνθατε. εἰ δέ τινες τῶν ζώντων ἐστὲ, λῃστρικὸς μὲν ὑμῖν ὡς ἔοικεν ὁ
βίος. εἰς καιρὸν δὲ ἥκετε, λύσατε τῶν περιεστηκότων ἀλγεινῶν. φόνῳ τῷ
καθ' ἡμῶν δρᾶμα τὸ περὶ ἡμᾶς καταστρέψαντες. ἡ μὲν ταῦτα ἐπετρα-

*δρᾶμα καταστρέψαντες*

γνώσῃ, οἱ δὲ, οὐδὲ συνιέναι τῶν λεγομένων ἔχοντες, τοὺς μὲν, αὐτοῦ καταλείπουσιν ἰσχυρὰν αὐτοῖς φυλακὴν τὴν ἀσθένειαν αὐτῶν ἐπιστήσαντες, ἐπὶ δὲ τὴν ναῦν ὁρμήσαντες τὸν φόρτον ἐξήντλουν. τῶν μὲν ἄλλων ὑπερορῶντες. πολλὰ δὲ ἦν καὶ ποικίλα. χρυσοῦ δὲ καὶ ἀργύρου καὶ λίθων πολυτίμων, καὶ σηρικῆς ἐσθῆτος ὅση δύναμις ἑκάστοις ἐκφοροῦντες. ἐπεὶ δὲ ἅλις ἐδόκει ἔχειν, καὶ τοσαῦτα ἦν ὡς καὶ λῃστρικὴν κορέσαι πλεονεξίαν, τὴν λείαν ἐπὶ τὸν αἰγιαλὸν καταθέντες, εἰς φορτία καὶ μοίρας κατενέμοντο. οὐ πρὸς τὴν ἑκάστου τῶν ληφθέντων ἀξίαν, ἀλλὰ πρὸς τὸ ἴσον βάρος τὴν νέμησιν ποιούμενοι. τὰ δὲ περὶ τὴν κόρην καὶ τὸν νεανίαν, ἐν δευτέροις πράξειν ἔμελλον. κἂν τούτῳ πλῆθος ἕτερον ἐφίσταται λῃστρικὸν, ἱππέων δύο τοῦ τάγματος ἡγουμένων. ὅπερ ὡς εἶδον οἱ πρότεροι, οὔτε χεῖρας ἀνταράμενοι, οὔτε τι τῶν σκύλων ἐπαγόμενοι, τοῦ μὴ καταδιωχθῆναι ἕνεκεν, ὡς δρόμου εἶχον, ἔφευγον. αὐτοὶ μὲν δέκα τὸν ἀριθμὸν ὄντες. τρὶς δὲ τοσούτους ἐπελθόντας θεασάμενοι, καὶ οἱ μὲν ἀμφὶ τὴν κόρην, δεύτερον ἤδη ἡλίσκοντο, οὐδέπω ληφθέντες. οἱ δὲ λῃσταὶ πρὸς τὴν διαρπαγὴν, καὶ ταῦτα σπεύδοντες, ὑπό τε τῶν ὁρωμένων ἀγνοίας ἅμα καὶ ἐκπλήξεως, τέως ἀνεστέλλοντο. τοὺς μὲν γὰρ πολλοὺς φόνους, ὑπὸ τῶν προτέρων γεγενῆσθαι λῃστῶν εἴκαζον. τὴν κόρην δὲ ὁρῶντες ἐν ξένῃ καὶ περιβλέπτῳ τῇ στολῇ, καὶ τῶν μὲν προσπιπτόντων φοβερῶν ὡς ἂν μηδὲ γιγνομένων ὑπερορῶσαν, ὅλην δὲ τοῦ νεανίου πρὸς τοῖς τραύμασιν οὖσαν, καὶ ὡς ἴδιον τὸ ἐκείνου πάθος ἀλγοῦσαν, τὴν μὲν τοῦ κάλλους καὶ τοῦ φρονήματος. τὸν δὲ, καὶ τραυματίαν ἐξεπλήττοντο, τοιοῦτος τὴν μορφὴν, καὶ τοσοῦτος τὸ μέγεθος ἔκειτο. κατὰ μικρὸν ἤδη πως ἀνειληφὼς ἑαυτὸν, καὶ πρὸς τὸ συνηθὲς βλέμμα ἀποκαθιστάμενος. ὀψὲ δὴ οὖν ποτε πλησιάσας ὁ λῄσταρχος, ἐπιβάλλει τε τῇ κόρῃ τὴν χεῖρα, καὶ ἀνίστασθαί τε, καὶ ἕπεσθαι ἐκέλευεν. ἡ δὲ τῶν λεγομένων οὐδὲν συνιεῖσα, τὸ δὲ προσταττόμενον συμβαλοῦσα συνεφέλκεται τὸν νεανίσκον. οὐδὲ αὐτὸν μεθιέντα, καὶ τὸ ξίφος ἐπιφέρουσα τοῖς στέρνοις, ἑαυτὴν ἀποσφάξειν ἠπείλει, εἰ μὴ ἀμφοτέρους ἄγοιεν. συνεὶς οὖν ὁ λῄσταρχος τὸ μὲν τοῖς λεγομένοις, πλέον δὲ τοῖς νεύμασι, καὶ ἅμα συνεργὸν ἕξειν εἰς τὰ μέγιστα τὸν νεανίαν εἰ



μεθιέντα



περισωθείη προσδοκήσας, καταβιβάσας τόν τε ὑπασπιστὴν, καὶ ἑαυτὸν τῶν ἵππων, ἀνατίθεται τοὺς αἰχμαλώτους. τοὺς μὲν ἄλλους τὰ λάφυρα σκευαζομένους ἕπεσθαι προστάξας. αὐτὸς δὲ ἐκ ποδὸς παραθέων καὶ προσανέχων, εἴ ποι τις αὐτῶν περιτρέποιτο, καὶ ἦν δόξης οὐκ ἐκτὸς τὸ γιγνόμενον. δεδουλευκὼς ὁ ἄρχων ἐφαίνετο, καὶ ὑπηρετεῖσθαι ὁ κρατῶν τοῖς ἑαλωκόσιν ᾑρεῖτο. οὕτως εὐγενείας ἔμφασις καὶ κάλλους ὄψις, καὶ λῃστρικὸν ἦθος οἶδεν ὑποτάττειν, καὶ κρατεῖν καὶ τῶν αὐχμηροτέρων δύναται. παραμείναντες οὖν ὅσον δύο στάδια τὸν αἰγιαλὸν, ἐκτραπέντες, εὐθὺ τοῦ ὄρους πρὸς τὰ ὄρθια ἐχώρουν. τὴν θάλατταν ἐν δεξιᾷ ποιησάμενοι, καὶ ὑπερβάντες τὰς ἀκρωρείας ἐπί τινα λίμνην, κατὰ θάτερον τοῦ ὄρους πλευρὰν ὑποτείνουσαν ἠπείγοντο. ἦν δὲ τοιάδε τις, βουκόλια μὲν σύμπας κέκληται πρὸς Αἰγυπτίων ὁ τόπος. ἔστι δὲ κοιλάς τις αὐτόθι γῆς, τοῦ Νείλου ὑπερεκχύσεις τινὰς ὑποδεχομένη, καὶ λίμνη γιγνομένη. τὸ μὲν κατὰ μέσου βάθος, ἄπειρον. ὑπὸ δὲ τὰς ἄκρας, εἰς ἕλος ἀποτελευτῶσα. ὃ γὰρ ταῖς θαλάτταις αἰγιαλοὶ, τοῦτο ταῖς λίμναις τὰ ἕλη γίγνονται. ἐν δὴ τούτοις ὅσον Αἰγυπτίων λῃστρικὸν πολιτεύεται. ὁ μὲν, ἐπὶ γῆς ὀλίγης εἴ πη τις ὑπερέχει τοῦ ὕδατος καλύβην πηξάμενος. ὁ δὲ ἐπὶ τοῦ σκάφους βιοτεύει πορθμεῖον τὸ αὐτὸ καὶ οἰκητήριον ἔχων. ἐπ' αὐτοῦ μὲν αὐτοῖς γυναῖκες ἐριθεύουσιν, ἐπ' αὐτοῦ δὲ ἀποτίκτουσι. ἐπὰν δὲ γένοιτο παιδίον, τὰ μὲν πρῶτα τῷ μητρῴῳ γάλακτι. τὰ δ' ἀπὸ τούτου τοῖς ἀπὸ τῆς λίμνης ἰχθύσι πρὸς ἥλιον ὀπτωμένοις ἐκτρέφει. ἕρπειν δὲ ὀρεγόμενον εἰ αἴσθοιτο ἱμάντα τῶν σφυρῶν ἐξάψας, ὅσον ἐπ' ἄκρου τοῦ σκάφους ἢ τῆς καλιᾶς προβαίνειν ἐπέτρεψε, καινόν τινα χειραγωγὸν αὐτῷ τὸν δεσμὸν τοῦ ποδὸς ἐπιστήσας, καί που τις βουκόλος ἀνὴρ, ἐτέχθη τε ἐν τῇ λίμνῃ, καὶ τροφὸν ἔσχε ταύτην καὶ πατρίδα τὴν λίμνην ἐνόμισεν. ἱκανὴ δὲ φρούριον ἰσχυρὸν εἶναι λῃσταῖς. διὸ καὶ συρρεῖ ἐπ' αὐτὴν ὁ τοιοῦτος βίος. τῷ μὲν ὕδατι πάντες ὡς ἅτε τείχει χρώμενοι, τὸν δὲ πολὺν κατὰ τὸ ἕλος κάλαμον, ἀντὶ χαρακώματος προβεβλημένοι, σκολιὰς γάρ τινας ἀτραποὺς τεμόμενοι, καὶ πολλοῖς ἑλιγμοῖς πεπλανημένας, καὶ σφίσι μὲν διὰ τὴν γνῶσιν ῥᾳστας, τοῖς δ' ἄλλοις ἀπόρους τοὺς διέκπλους κατασκευάσαντες, μέγιστον ὀχύρωμα πρὸς τὸ μὴ



καταβιβάσας τῶν ἵππων
ἀνατίθεται
παραμείναντες τὸν αἰγιαλόν
ἕλη gd
ἐριθεύουσιν
ὡς ἅτε
ἑλιγμοῖς

ἄν τι παθεῖν ἐκ τῆς ἐφορμῆς ἐμηχανήσαντο. καὶ τὰ μὲν περὶ τὴν λίμνην καὶ τοὺς ἐνοικοῦντας αὐτῇ βουκόλους ὧδέ πως ἔχει. ἤδη δὲ ἡλίου πρὸς δυσμὰς ἰόντος, ἀφικνοῦνται ἐπ' αὐτὴν οἱ ἀμφὶ τὸν λῄσταρχον, καὶ οἱ μὲν, τῶν ἵππων ἀπεβίβαζον τοὺς νέους, καὶ τὴν λείαν ἀνετίθεντο τοῖς σκάφεσιν. ὁ δὲ πολὺς τῶν κατὰ χώραν μεινάντων λῃστῶν ὅμιλος ἄλλος ἀλλόθεν τοῦ ἕλους ἐκδύς, ἀνεφαίνετο καὶ συνέθει, καὶ τὸν λῄσταρχον οἱονεὶ βασιλέα τινὰ ἑαυτῶν προσαπαντῶντες ὑπεδέχοντο. τῶν δὲ λαφύρων τὸ πλῆθος ὁρῶντες, καὶ τὸ κάλλος τῆς κόρης θεσπέσιόν τι χρῆμα περισκοποῦντες, ἱερά τινα ἢ ναοὺς πολυχρύσους ἀποσεσυλῆσθαι παρὰ τῶν ὁμοτέχνων ὑπελάμβανον. προσαφῃρῆσθαι δὲ καὶ τὴν ἱέρειαν αὐτὴν, ἢ καὶ αὐτὸ τὸ ἔμπνουν μετῆχθαι τὸ ἄγαλμα, διὰ τὴν κόρην ὑπὸ ἀγνοίας εἴκαζον, καὶ πολλὰ τὸν λῄσταρχον τῆς ἀνδραγαθίας εὐφημοῦντες, ἐπὶ τὴν οἴκησιν αὐτοῦ παρέπεμπον. ἡ δὲ ἦν νησίον ἀπόθεν τῶν ἄλλων, εἰς καταγώγιον μόνῳ σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν ἀποτετμημένον. ἐνταῦθα ὡς κατήχθη, τοὺς μὲν πολλοὺς, οἴκαδε ἀπιέναι προσέταττεν εἰς τὴν ὑστεραίαν ἅπαντας ἥκειν ὡς αὐτὸν ἐπιστείλας. αὐτὸς δὲ σὺν ὀλίγοις τοῖς εἰωθόσιν ὑπολειφθεὶς, καὶ δείπνου πρὸς βραχὺ τοῖς ἄλλοις μεταδοὺς, καὶ αὐτὸς μεταλαβὼν, τοὺς μὲν νέους, Ἕλληνί τινι παραδίδωσι νεανίσκῳ, οὐ πρὸ πολλοῦ παρ' αὐτοῖς αἰχμαλώτῳ γεγονότι, τοῦ διαλέγεσθαι ἕνεκεν. καλύβην τῆς ἑαυτοῦ πλησίον ἀποκληρώσας. τοῦ τε ἄλλα ἐπιμεληθῆναι τοῦ νέου προστάξας, καὶ τὴν κόρην ἀνύβριστον ἐκ πάντων διαφυλάττειν. αὐτὸς δὲ καμάτῳ τε τῆς ὁδοιπορίας βαρούμενος, καὶ φροντίδι τῶν παρόντων συνεχόμενος, πρὸς ὕπνον ἐτετράπετο. σιγῆς δὲ τὸ ἕλος καταχούσης, καὶ νυκτὸς εἰς πρώτην φυλακὴν προελθούσης, τὴν ἐρημίαν τῶν ὀχλησάντων, εὐπορίαν εἰς θρήνους οἱ περὶ τὴν κόρην ἐλάμβανον. ἀνακινούσης αὐτοῖς οἶμαι πλέον τὰ πάθη τῆς νυκτός. ἅτε οὐδεμιᾶς, οὔτε ἀκοῆς, οὔτε ὄψεως ἐφ' ἑαυτὴν ἀντισπώσης. ἀλλὰ μόνῳ τῷ λυπηρῷ σχολάζειν ἐπιτρεπούσης. πολλὰ οὖν ἀνοιμώξασα καθ' ἑαυτὴν ἡ κόρη. κεχώριστο γὰρ, τοῦτο προσαχθὲν, ἐπί τινος χαμεύνης κατακεκλιμένη, καὶ ὅσον πλεῖστον ἐπιδακρύσασα, Ἄπολλον ἔφη. ὡς λίαν ἡμᾶς καὶ πικρότερον ἀμύνῃ τῶν ἁμαρτημάτων. οὐδὲ ἱκανά σοι, πρὸς τιμωρίαν τὰ παρελθόντα; στέρησις τῶν οἰκείων, καὶ καταποντισμῶν ἁλώσεις,

ἀποκληρώσας

βαρούμενος κα ματῷ

καταποντισμῶν

οἱ περὶ τὴν κόρην ἢ ἡ κόρη



σεις. καὶ θαλάσσης μυρίοι κίνδυνοι, καὶ λῃστῶν ἐπὶ γῆς ἤδη δευτέρα σύλληψις, καὶ πικρότερα τῶν ἐν πείρᾳ τὰ προσδοκώμενα, καὶ ποῖ ταῦτα στήσεις. εἰ μὲν εἰς θάνατον ἀνύβριστον, ἡδὺ τὸ τέλος. εἰ δέ με γνώσεταί τις αἰσχρῶς, ἣν μηδέπω μηδὲ Θεαγένης, ἐγὼ μὲν ἀγχόνῃ προλήψομαι τὴν ὕβριν, καθαρὰν ἐμαυτὴν ὥσπερ φυλάττω, καὶ μέχρι θανάτου φυλάξασα, καὶ καλὸν ἐντάφιον τὴν σωφροσύνην ἀπενεγκαμένη. σοῦ δὲ οὐδεὶς ἔσται δικαστὴς πικρότερος, καὶ ἔτι λέγουσαν ἐπεῖχεν ὁ Θεαγένης. παῦε λέγων ὦ φιλτάτη καὶ ψυχὴ ἐμὴ Χαρίκλεια. θρηνεῖς μὲν εἰκότα. παροξύνεις δὲ πλέον ἢ δοκεῖς, τὸ θεῖον. οὐ γὰρ ὀνειδίζειν, ἀλλὰ παρακαλεῖν χρεών. εὐχαῖς οὐκ αἰτίαις ἐξιλεοῦται τὸ κρεῖττον. ἡ δὲ, εὖ μὲν λέγεις. σὺ δέ μοι πῶς ἔχεις δεινῶς τὰ. ῥᾷον ἔφη καὶ βέλτιον ὑπὸ τῆς ἑσπέρας, ἐκ τῆς τοῦ μειρακίου θεραπείας. ἣ τὰ φλεγμαίνοντά μοι τῶν τραυμάτων ἐπεκούφισεν. ἀλλὰ καὶ μᾶλλον εἰς ἕω κουφισθήσῃ, ὁ τὴν φρουρὰν ἔφη αὐτῶν ἐπιτετραμμένος. τοιαύτην σοι ποριοῦμαι βοτάνην. ἣ διὰ τρίτης ἐνώσει τὰς πληγὰς, ἔχω δὲ αὐτῆς ἔργῳ τὴν πεῖραν λαβών. ἐξ οὗ γάρ με δεῦρο αἰχμάλωτον οἵδε ἤγαγον, εἴ τις ποτὲ τῶν ὑπηκόων τῷδε τῷ ἄρχοντι συμβολῆς γενομένης τραυματίας ἧκεν, οὐ πολλῶν ἐδεήθη πρὸς ἴασιν ἡμερῶν. ἣ λέγω ταύτῃ βοτάνῃ χρησάμενος. εἰ δὲ μοι μέλει τῶν ὑμετέρων, οὐκ ἄξιον ὑμῖν θαυμάζειν. τύχης τε γάρ μοι τῆς αὐτῆς ἐοίκατε κοινωνεῖν, καὶ ἅμα Ἕλληνας ὄντας οἰκτείρω καὶ αὐτὸς Ἕλλην γεγονώς. Ἕλλην ὦ θεοὶ ἐπεβόησαν ὑφ' ἡδονῆς ἅμα οἱ ξένοι. Ἕλλην ὡς ἀληθῶς τὸ γένος καὶ τὴν φωνήν. τάχα τις ἔσται τῶν κακῶν ἀνάπνευσις. ἀλλὰ τίνα σε χρὴ καλεῖν ἔφη ὁ Θεαγένης. ὁ δὲ, Κνήμωνα εἶπε. πόθεν δὲ γνωρίζειν, Ἀθηναῖον, τύχῃ τινὶ κεχρημένον. παῦε ἔφη. τί ταῦτα κινεῖς καὶ ἀναμοχλεύεις, τοῦτο δὴ τὸ τῶν τραγῳδῶν. οὐκ ἐν καιρῷ γένοιτ' ἂν, ἐπεισόδιον ὑμῖν τῶν ὑμετέρων τὰ ἐμὰ ἐπεισφέρειν κακά. καὶ ἅμα οὐδ' ἂν ἐπαρκέσειε τὸ λειπόμενον πρὸς τὸ διήγημα τῆς νυκτός. ὕπνου καὶ ταῦτα δεομένοις ὑμῖν, ἐκ πολλῶν τῶν πόνων καὶ ἀναπαύσεως. ἐπεὶ δὲ οὐκ ἀνίεσαν, ἀλλὰ παντοίως λέγειν ἱκέτευον, μεγίστην ἡγούμενοι παραψυχὴν, τὴν τῶν ὁμοίων ἀκοὴν, ἄρχεται ὁ Κνήμων ἐντεῦθεν. ἦν μοι πατὴρ Ἀρίστιππος τὸ μὲν γένος Ἀθηναῖος. βουλῆς δὲ τῆς ἄνω. τὴν περιουσίαν τῶν μέσων. οὗτος ἐπειδή μοι τὴν μητέρα τελευ-

Theagenes

ἐντάφιον

Chariclea

Cnemó

Episodiú

Aristipp

μεγίστη παρα ψυχὴ τὸ ὁμοίων ἀκοὴ

τελευτησάσης συνέβη, πρὸς δευτέρους ἀπεκλίνετο γάμους, ἐπὶ μόνῳ μοι παιδὶ σαλεύειν αἰτιώμενος, καὶ τοῖς οἴκοις ἐπεισάγει γύναιον, ἀστεῖον μὲν, ἀλλ' ἀρχέκακον, ὄνομα Δημαινέτην. ὡς γὰρ τάχιστα εἰσῆλθεν, ὅλον ὑπεποιεῖτο, καὶ πράττειν ὅ,τι βούλοιτο ἔπειθε, τῇ τε ὥρᾳ τὸν πρεσβύτην ἐπαγομένη, καὶ τἆλλα ὑπερθεραπεύουσα. δεινὴ δὲ εἴπερ τις γυναικῶν ἐφ' ἑαυτὴν ἐκμῆναι, καὶ τεχνῖτις τῆς ἐπαγωγοῦ, ἐκ τόπως ἠκριβωμένη. προόδους τε τοῦ μου πατρὸς ἐπιστένουσα, καὶ εἰσόδους προστρέχουσα, καὶ βραδύνοντι μεμφομένη, καὶ ὡς ἀπώλετ' ἄν, εἰ ὀλίγον ἐμέλλησε, καὶ περιβάλλουσα ἐφ' ἑκάστῳ ῥήματι, καὶ ἐπιδακρύουσα τοῖς φιλήμασιν. οἷς ἅπασιν ὁ πατήρ μου σαγηνωθεὶς, ὅλην ἐκείνην καὶ ἔπνει καὶ ἔβλεπεν. ἡ δὲ κἀμὲ τὰ πρῶτα, ἴσα καὶ παῖδα ὁρᾶν ἐπλάττετο, κἀν τούτῳ τὸν Ἀρίστιππον ὑποποιουμένη, καί ποτε καὶ ἐφίλησεν ἄν, προσελθοῦσα καὶ ὀνασθαί μου συνεχῶς ηὔχετο. κἀγὼ προσιέμην τῶν μὲν ὄντων οὐδὲν ὑποπτεύων. ὅτι δὲ μητρῴαν ἐπιδείκνυται περὶ ἐμὲ θαυμάζων διάθεσιν, ἐπεὶ δὲ ἰταμώτερον προσῄει, καὶ θερμότερα ἦν τὰ φιλήματα τοῦ πρέποντος, καὶ τὸ βλέμμα τοῦ σώφρονος ἐξιστάμενον, πρὸς ὑπόνοιαν ἦγεν ἤδη τὰ πολλὰ καὶ ὑπέφευγον, καὶ πλησιάζουσαν ἀπωθούμην, καὶ τὰ μὲν ἄλλα, τί δεῖ μηκύνοντα ἐνοχλεῖν. τὰς πείρας ἃς καθῆκε, τὰς ὑποσχέσεις ἃς ἐπηγγέλλετο. νῦν μὲν παιδίον, νῦν δὲ γλυκύτατον ὀνομάζουσα, καὶ αὖθις κληρονόμον, καὶ μετ' ὀλίγον, ψυχὴν ἑαυτῆς ἀποκαλοῦσα, καὶ ἁπλῶς τὰ καλὰ τῶν ὀνομάτων, τοῖς ἐπαγωγοῖς παραμιγνῦσα, καὶ οἷς τισι μᾶλλον προστρέχω περισκοποῦσα. ὡς ἐν μὲν τοῖς σεμνοτέροις μητέρα ἑαυτὴν ἀναπλάττουσα. ἐν δὲ τοῖς ἀτοπωτέροις ὥσπερ ἐκεῖνο λαμπρῶς ἐρωμένην ὑποφαίνουσα. τέλος δὲ γίνεται τοιοῦτον. Παναθηναίων τῶν μεγάλων ἀγομένων, ὅτε τὴν ναῦν Ἀθηναῖοι διὰ γῆς τῇ Ἀθηνᾷ πέμπουσιν, ἐτύγχανον μὲν ἐφηβεύων, ᾄσας δὲ τὸν εἰωθότα παιᾶνα τῇ θεῷ, καὶ τὰ νενομισμένα προπομπεύσας ὡς εἶχον στολῆς, αὐτῇ χλαμύδι, καὶ αὐτοῖς στεφάνοις, ἔρχομαι οἴκαδε ὡς ἐμαυτόν. ἡ δὲ, ἐπειδὴ τὸ πρῶτον εἶδεν, ἐκτὸς ἑαυτῆς γίνεται, καὶ οὐδὲ ἐσοφίζετο ἔτι τὸν ἔρωτα. ἀλλ' ἐκ γυμνῆς τῆς ἐπιθυμίας προσέδραμε, καὶ περιβαλοῦσα, ὁ νέος Ἱππόλυτος, ὁ Θησεὺς ὁ ἐμὸς ἔλεγε. τίνα

Demænete

προόδους . egressib[us]

σαγηνωθείς

Panathenæa magna & qd in illis fiebat

ἐσοφίζευεν τὸν ἔρωτα





με οἴεσθαι γεγενῆσθαι, ὃς καὶ νῦν ἐρυθριῶν διηγούμενος. ἀλλ' ἑσπέρας γενομένης, ὁ μὲν πατὴρ εἰς τὸ πρυτανεῖον ἐσιτεῖτο, καὶ ὡς ἂν ἐν τοιαύτῃ πανηγύρει, καὶ πότου πανδήμου καὶ διανυκτερεύσειν ἔμελλεν. ἡ δὲ, ἐπιγίνεταί μοι νύκτωρ, καὶ ἐπειρᾶτο τινος τῶν ἀθεμίτων τυγχάνειν. ὡς δὲ παντοίως ἀντεῖχον, καὶ πρὸς πᾶσαν θεραπείαν καὶ ὑπόσχεσιν καὶ ἀπειλὴν ἀπεμαχόμην, βαρύ τι καὶ βύθιον στενάξασα, ἀπιοῦσα ᾤχετο. καὶ μόνην ἡ παλαμναία τὴν νύκτα ὑπερθεμένη, τῶν ἐπιβουλῶν τῶν εἰς ἐμὲ κατήρχετο. καὶ πρῶτον μὲν, οὐδὲ διανίστη τότε τῆς εὐνῆς. ἀλλ' ἥκοντι τῷ πατρὶ καὶ τί εἴη τοῦτο πυνθανομένῳ, μαλακῶς τε ἔχειν ἐσκήπτετο, καὶ οὐδὲ ἀπεκρίνατο τὴν πρώτην. ὡς δὲ ἐνέκειτο, καὶ τί πεπόνθοι πολλάκις ἀνηρώτα, ὁ θαυμαστός φησι καὶ εἰς ἐμὲ νεανίας ὁ κοινὸς ἡμῶν παῖς, ὃν ἐγὼ πλέον ἢ σὺ πολλάκις ἠγάπησα, καὶ μάρτυρες οἱ θεοί, κύειν με πρός τινων αἰσθόμενος. ὁ δὴ σε τέως ἔκρυπτον, ἕως ἂν τὸ ἀσφαλὲς γνοίην, τὴν σὴν ἀπουσίαν ἐπιτηρήσας. ταῦτα δὴ τὰ εἰωθότα παραινοῦσαν. καὶ σωφρονεῖν παρακελευομένην, μὴ δὲ πρὸς ἑταίρας ἔχειν τὸν νοῦν καὶ μέθας, οὐ γάρ με ἐλάνθανεν οὕτως ἔχων, σοὶ δὲ οὐκ ἔφραζον, μή τινα λάβοιμι μητρυιᾶς ὑπόνοιαν, ταῦτα λεγούσαν μόνην πρὸς μόνον, τοῦ μὴ ἐρυθριᾶν αὐτὸν ἕνεκεν, τὰ μὲν ἄλλα ὅσα περὶ σέ τε κἀμὲ περιύβρισεν, αἰσχύνομαι λέγειν. λὰξ δὲ τὴν ἐπὶ τῆς γαστρὸς ἐναλλόμενος, οὕτως ἔχειν ὡς ὁρᾷς διέθηκε. ταῦτα ὡς ἤκουσεν, οὐκ εἶπεν, οὐκ ἠρώτησεν, οὐκ ἀπολογίαν προὔθηκεν, ἀλλὰ πιστεύων μηδ' ἂν ψεύσασθαι κατ' ἐμοῦ, τὴν οὕτω περὶ ἐμὲ διακειμένην, εὐθὺς ὡς εἶχε κατά τι μέρος τῆς οἰκίας περιτυχὼν, οὐδὲν εἰδότα, πύξ τε ἔπαιε, καὶ παῖδας προσκαλεσάμενος, μάστιξιν ᾐκίζετο, μηδὲ τὸ κοινὸν δὴ τοῦτο διότι ξαίνοιμι γιγνώσκοντα. ὡς δὲ ἐνεπέπλησο τῆς ὀργῆς, ἀλλὰ νῦν γε ἔφην ὦ πάτερ εἰ καὶ μὴ πρότερον, δίκαιος ἂν εἴην τὴν αἰτίαν τῶν πληγῶν μανθάνειν. ὁ δὲ, μᾶλλον παροξυνθεὶς, ὢ τῆς εἰρωνείας φησί. τὰς πράξεις αὐτοῦ τὰς ἀνοσίας παρ' ἐμοῦ βούλεται μανθάνειν. καὶ ἀποστραφεὶς, ἐπὶ τὴν Δημαινέτην ἔσπευδεν. ἡ δὲ, οὔπω γὰρ κεκόρεστο, δευτέρας ἐπιβουλῆς κατ' ἐμοῦ, τοιᾶσδε ἥπτετο. Θίσβην παιδισκάριον ἦν αὐτῇ, ψάλλειν τε πρὸς κιθάραν ἐπισταμένην, καὶ τὴν ὄψιν οὐκ ἄωρον. ταύτην ἐπ' ἐμὲ καθίησιν. ἐρᾶν

Prytaneū

Panegyris

παλαμναία

Thisbe

παιδισκάρι

με λαθεῖν προσάξασα, καὶ ἤρα παραχρῆμα ἡ Θίσβη. καὶ ἡ πολλάκις πρό-
ρον ἐρῶντά με ἀπωσαμένη, τότε παντοίως ἐφείλκετο. βλέμμασι, νεύ-
μασι, συνθήμασιν. ἐγὼ δὲ ὁ μάταιος ἄθροον καλὸς γεγενῆσθαι ἐπε-
πείσμην, καὶ τέλος ὑπὸ τὸν θάλαμον ἐλθοῦσαν νυκτὸς ὑπεδεχόμην.
ἡ δὲ, καὶ αὖθις ἀνῄει, καὶ πάλιν καὶ τὸ λοιπὸν συνεχῶς ἐφοίτα.
ἐπεὶ δέ ποτε φυλάττεσθαι αὐτῇ τὰ πολλὰ παρῄνουν μὴ γνωσθείη
παρὰ τῆς δεσποίνης, ὦ Κνήμων ἔφη, ὡς λίαν ἁπλοϊκός τις εἶναί μοι δο-
κεῖς. εἰ γὰρ ἐμὲ θεράπαιναν καὶ ἀργυρώνητον ἡγῇ χαλεπὸν εἶναι
προσομιλοῦσαν ἁλῶναι, τίνος ἂν ἐκείνην ἀξίαν εἴποις εἶναι τιμω-
ρίας, ἣ καὶ συγγενὴς εἶναι φάσκουσα, καὶ νόμῳ τὸν συνοικοῦντα ἔχου-
σα, καὶ θάνατον τὸ τέλος τοῦ παρανομήματος γινώσκουσα, μοιχᾶ-
ται; παῦε ἔφην, οὐ γὰρ ἔχω σοι πιστεύειν. καὶ μὴν εἴ σοι δόξειεν, ἐπ'
αὐτοφώρῳ παραδώσω τὸν μοιχόν. εἰ γοῦν οὕτω βούλει ἔφην, καὶ μὴν
βούλομαί γε ἀπεκρίνατο. σοῦ τε ἕνεκεν οὕτω πρὸς αὐτῆς ὑβρι-
σμένου, καὶ ἐμαυτῆς δὲ οὐκ ἔλαττον, ἢ πάσχω τὰ ἔσχατα. ἐφ' ἑκάστης
ζηλοτυπίαν ματαίαν ἐκείνης ἐπ' ἐμὲ γυμναζούσης. ἀλλ' ὅπως ἀνὴρ
ἔσῃ κατάλαβε. ἐπεὶ δὲ οὕτως ἕξειν ὑπεσχόμην, τότε μὲν ἀπιοῦσα
ᾤχετο. τρίτῃ δὲ ὕστερον νυκτὶ καθεύδοντά με διανίστησι, καὶ τὸν
μοιχὸν ἔνδον εἶναι κατεμήνυε. τὸν πατέρα μὲν εἰς ἀγρὸν ἀφνιδίως
τινὸς χρείας πεπορεῦσθαι λέγουσα. τὸν δὲ οὕτω συγκείμενον αὐτῷ
πρὸς τὴν Δημαινέτην, ἄρτι παρεισδεδυκέναι. προσήκειν δὲ καὶ
πρὸς ἄμυναν εὐτρεπίζεσθαι, καὶ ξιφήρη ποιεῖσθαι τὴν ἔφοδον τοῦ
μὴ διαδρᾶναι τὸν ὑβριστήν. ἐποίουν οὕτως, καὶ λαβὼν ἐγχει-
ρίδιον, τῆς Θίσβης ἡγουμένης καὶ δᾷδας προσαψάσης, ὑπὸ τὸν θά-
λαμον ᾔειν. ἐπεὶ δὲ ἐπέστην, λύχνου τέ τινος ἔνδοθεν αὐγὴ διεξέπι-
πτε, καὶ τὰς θύρας ὑποκειμένας ὡς ὀργῆς εἶχον ἐρράξας, ἀνοίγω, καὶ
εἰσδραμὼν, ποῦ ποτε ὁ ἀλιτήριος ἐβόων, ὁ λαμπρὸς τῆς πάντα
σωφρονούσης ἐρώμενος. καὶ ἅμα λέγων, ἐπῄειν ὡς ἄμφω διαχειρι-
σόμενος. ἐκ δὲ τῆς εὐνῆς ὁ πατὴρ ὦ θεοὶ περιτραπεὶς προσπίπτει μου
τοῖς γόνασι, καὶ ὦ τέκνον ἐπίσχες μικρὸν ἔλεγεν. οἴκτειρον τὸν γεν-
νήσαντα. φεῖσαι πολιῶν αἵ σε ἀνέθρεψαν. ὑβρίσαμεν σε. ἀλλ'
οὐ μέχρι θανάτου τιμωρητέος. μὴ γίνου τῆς ὀργῆς ὅλος. μηδὲ φό-
νῳ πατρῴῳ χεῖρας μιάνῃς τὰς σάς. ὁ μὲν ταῦτα καὶ ἕτερα πρὸς

τούτοις

οὕτω συγκείμενον αὐτῷ



τούτοις ἐλεεινῶς ἱκέτευεν. ἐγὼ δὲ ὥσπερ τυφῶνι βληθεὶς ἄφωνος
ἀπόπληκτος εἱστήκειν, τὴν Θίσβην περιβλέπων. οὐκ οἶδ' ὅπως
ἑαυτὴν ὑπεξελάσασαν. τὴν κλίνην καὶ τὸν θάλαμον ἐν κύκλῳ
περισκόπουν. εἰπεῖν τι διαπορῶν. πρᾶξαι ἀμηχανῶν. ἐκπίπτει
μου, καὶ τὸ ξίφος τῶν χειρῶν, καὶ τὸ μὲν, ἡ Δημαινέτη προσδρα-
μοῦσα σπουδαίως ἀνήρπασεν. ὁ δὲ πατὴρ ἐν τῷ ἀκινδύνῳ γε-
γενὼς, ἐπιβάλλει τέ μοι τὰς χεῖρας καὶ δεσμεῖν ἐκέλευε. πολ-
λὰ τῆς Δημαινέτης παροξυνούσης, καὶ οὐ ταῦτα ἦν ἃ προηγό-
ρευον βοώσης, ὡς φυλάττεσθαι προσήκει τὸ μειράκιον, ὡς ἐπιβου-
λεύσει καιροῦ λαβόμενον. ἑώρων τὸ βλέμμα. συνίην τῆς δια-
νοίας, ὁ δὲ προσηγόρευεν εἰπών. ἀλλ' ἠπίστουν, τότε μὲν ἐν δεσμοῖς
εἶχε. λέγειν τι βουλομένῳ τῶν ὄντων, καὶ φράζειν οὐκ ἐπιτρέψας.
ἅμα δὲ τῇ ἕῳ, λαβὼν οὕτως ὡς εἶχον δεσμῶν, ἐπὶ τὸν δῆμον ἦγε,
καὶ τῆς κεφαλῆς κόνιν καταχεάμενος, οὐκ ἐπὶ τοιαύταις μὲν ἐλ-
πίσιν ὦ Ἀθηναῖοι τόνδε ἀνέτρεφον ἔλεγεν. ἀλλὰ τοῦ γήρως τοὐ-
μοῦ βακτηρίαν ἔσεσθαι προσδοκῶν. ἐπειδὴ τάχιστά μοι ἐγένετο,
ἐλευθερίου τετροφῆς μεταδοὺς, καὶ τὰ πρῶτα τῶν γραμμάτων
διδαξάμενος, εἰς τοὺς φράτορας καὶ γεννήτορας εἰσαγαγὼν εἰς
ἐφήβους ἐγγράψας, πολίτην ὑμέτερον καὶ τοῖς νόμοις ἀποφήνας,
πάντα τὸν βίον ἐπὶ τούτῳ τὸν ἐμὸν ἐσάλευον. ἐπεὶ δὲ τούτων ἁ-
πάντων λήθην λαβὼν, ἐμὲ μὲν ὕβρεσι τὰ πρῶτα, καὶ πληγαῖς
ταυτηνὶ τὴν κατὰ νόμους συνοικοῦσάν μοι ᾐκίζετο. τέλος δὲ
καὶ ξιφήρης νύκτωρ ἐπῆλθε, καὶ παρὰ τοσοῦτον γέγονε πατρα-
λοίας, παρ' ὅσον ἀντέσχεν ἡ τύχη ἀπροσδοκήτῳ φόβῳ τὸ ξίφος
τῶν τούτου χειρῶν ἐκπεσεῖν παρασκευάσασα, καταπέφευγα τε
πρὸς ὑμᾶς, καὶ προσαγγέλλω τοῦτον. αὐτόχειρ μὲν αὐτοῦ γενέ-
σθαι κατὰ τοὺς νόμους ἐξὸν, οὐ βουληθείς. ὑμῖν δὲ τὸ πᾶν κα-
ταλιπών. νόμῳ βέλτιον ἡγούμενος, ἢ φόνῳ παιδὸς, τὴν δίκην
λαμβάνειν, καὶ ἅμα ἐπεδάκρυεν. ἐπεκώκυε δὲ ἡ Δημαινέτη, καὶ
περιαλγεῖν ἐπ' ἐμοὶ δῆθεν ἐπεδείκνυτο. τὸν ἄθλιον ἀποκαλοῦ-
σα. τὸν ἐν δίκῃ μὲν, ἀλλὰ πρὸ ὥρας τεθνηξόμενον. τὸν ὑπὸ δαι-
μόνων ἀλαστόρων ἐπὶ τοὺς γεννήσαντας ἐλαθέντα. οὐ θρηνοῦσα
μᾶλλον, ἢ καταμαρτυροῦσα τοῖς θρήνοις, καὶ ὡς ἀληθῆ τὴν κατηγορίαν

τῆς κεφαλῆς κόνιν καταχεάμενος

 βεβαιοῦσα

βεβαιοῦσα τοῖς γόοις. ἐπεὶ δὲ μεταδοῦναι κἀμοὶ λόγου ἠξίουν, ὁ γραμματεὺς προσελθὼν, ἠρώτα τὸ νόμου ἐρώτημα, εἰ τῷ πατρὶ ξιφήρης ἐπῆλθον. ἐμοῦ δὲ, ἐπῆλθον μὲν εἰπόντος, ἀλλ᾽ ὅπως ἀκούσατε, ἀνεβόησαν ἅπαντες, καὶ οὐδὲ ἀπολογίας μοι μετεῖναι κρίναντες. οἱ μὲν λίθοις βάλλειν. οἱ δὲ, τῷ δημίῳ παραδιδόναι καὶ ὠθεῖσθαι εἰς τὸ βάραθρον ἐδοκίμαζον. ἐμοῦ δὲ παρὰ πάντα τὸν θόρυβον καὶ τὸν χρόνον, ὃν περὶ τῆς τιμωρίας διεχειροτόνουν, ὦ μητρυιὰ βοῶντος, διὰ μητρυιὰν ἀναιροῦμαι, μητρυιά με ἄκριτον ἀπόλλυσι, προσίετο τοῖς πολλοῖς τὸ λεγόμενον, καὶ εἰσῄει τῶν ὄντων ὑποψία. καὶ ἠκούσθην μὲν οὐδὲ τότε. προκατείληπτο γὰρ ὁ δῆμος ἀκαταπαύστῳ θορύβῳ. τῶν δὲ ψήφων διακρινομένων, οἱ μὲν τὸν θάνατον καταχειροτονήσαντες, ἦσαν εἰς ἑπτακοσίους καὶ χιλίους. οἱ μὲν καταλεῦσαι. οἱ δὲ εἰς τὸ βάραθρον πέμψαι κρίναντες. οἱ λοιποὶ δὲ εἰς χιλίους, οἷοί τι καὶ τῇ ὑπονοίᾳ τῇ περὶ τῆς μητρυιᾶς δόντες, φυγῇ με διὰ τὸ διηνεκὲς ἐζημίωσαν. ἀλλ᾽ ὅμως ἡ τούτων ἐκράτει ψῆφος. τῶν μὲν γὰρ ἄλλων ὁμοῦ πάντων ἦσαν ἐλάττους. ἐκείνων δὲ διάφορα ψηφισαμένων, εἰς τὸ μέρος οἱ χίλιοι πλείους ἐγίγνοντο. κἀγὼ μὲν οὕτως ἐξηλαυνόμην οἰκίας τε πατρῴας καὶ τῆς ἐνεγκούσης. οὐ μὴν ἀτιμώρητος δὲ ἡ θεοῖς ἐχθρὰ Δημαινέτη περιελείφθη. τὸν δὲ τρόπον εἰσαῦθις ἀκούσεσθε. τὸ δὲ νῦν καὶ ὕπνου μεταληπτέον. τό, τε γὰρ πολὺ προέβη τῆς νυκτὸς, καὶ ὑμῖν πολλῆς δεῖ τῆς ἀναπαύσεως. καὶ μὴν προσεπιτρίψεις γε ἡμᾶς ἔφη ὁ Θεαγένης, εἰ τὴν κακίστην ἀτιμώρητον ἐάσεις ἐν τῷ λόγῳ Δημαινέτην. οὐκοῦν ἀκούοιτ᾽ ἄν, ἔφη ὁ Κνήμων. ἐπειδήπερ ὑμῖν φίλον οὕτω. ἐγὼ μὲν ὡς εἶχον μετὰ τὴν κρίσιν εἰς τὸν πειραιᾶ κατέβην, καὶ νεὼς ἀναγομένης ἐπιτυχὼν, τὸν πλοῦν εἰς Αἴγιναν ἐποιούμην. ἀνεψιοὺς εἶναί μοι τῆς μητρὸς ἐνταῦθα πυνθανόμενος. κατάρας δὲ καὶ τοὺς ἐπιζητουμένους ἀνευρὼν, οὐκ ἀηδῶς τὰ πρῶτα διῆγον. εἰκοστῇ δὲ ὕστερον ἡμέρᾳ συνήθως ἀλύων ἐπὶ λιμένα κατῆλθον, καὶ λέμβος ἄρτι κατεφαίνετο. μικρὸν οὖν ἐπιστὰς, ὁπόθεν δὲ εἴη καὶ τίνας ἄγοι περιεσκόπουν. οὔπω δὲ τῆς ἀποβάθρας ἀκριβῶς κειμένης, ἐξήλλατό τις, καὶ με προσδραμὼν περιέβαλεν. ἦν δ᾽ ἄρα Χαρίας τῶν ἐμῶν συνεφήβων, καὶ ὦ Κνήμων. εὐαγγέλιά σοι κομίζω φησίν. ἔχεις παρὰ τῆς πολεμίας τὴν δίκην, Δημαινέτη τέθνηκεν.

ἀλλὰ

δημίῳ

Mille septingenti iudices

Charias

εὐαγγέλια σοι κομίζω



ἀλλὰ σώζοιο μὲν ὦ Χαρία. τί δὲ παρατρέχεις τὸ εὐαγγέλιον, ὥσπερ τι τῶν ἀτόπων ἀπαγγέλλων. εἰπὲ δὲ καὶ τὸν τρόπον. ὡς σφόδρα δέδοικα μὴ τῷ κοινῷ κέχρηται θανάτῳ. καὶ διέδρα τὴν πρὸς ἀξίαν. οὐ παντάπασιν ἔφη ὁ Χαρίας ἐκλελοίπεν ἡμᾶς ἡ δίκη καθ᾽ Ἡσίοδον. ἀλλὰ μικρὸν μὲν ἄν τι καὶ παρίδοι ποτέ. τῷ χρόνῳ τὴν ἄμυναν παρέλκουσα. τοῖς δὲ οὕτως ἀθέσμοις, ὀξὺ ἐπιβάλλει τὸν ὀφθαλμόν. ὡς δὴ καὶ τὴν ἀλιτήριον μετῆλθε Δημαινέτην. ἔλαθε δέ με τῶν γεγονότων ἢ λεχθέντων οὐδὲν, τῆς Θίσβης ὡς οἶσθα περὶ τὴν πρός με συνήθειαν πάντα διηγουμένης. τῆς γὰρ ἀδίκου σοι φυγῆς ἐπιβληθείσης, ὁ μὲν ἄθλιός σοι πατὴρ ἐπὶ τοῖς πραχθεῖσι μεταμελόμενος, εἰς ἀγρόν τινα καὶ ἐσχατιὰν ἑαυτὸν ἀπῴκισε, κἀκεῖ διῆγεν ὃν θυμὸν κατέδων, ὥσπερ δὴ τὸ τοῦ ἔπους. τὴν δὲ εὐθὺς ἐριννύες ἤλαυνον. καὶ μανικώτερον ἤρα σου μὴ παρόντος, καὶ θρήνων οὐκ ἐπαύετο. δῆθεν μὲν τῶν ἐπί σοι. τὸ δ᾽ ἀληθὲς, τῶν ἐφ᾽ ἑαυτῇ, καὶ Κνήμων ἐβόα νύκτα τε καὶ μεθ᾽ ἡμέραν παιδίον γλυκύτατον. ψυχὴν ἑαυτῆς ὀνομάζουσα. ὥστε καὶ αἱ γνώριμοι τῶν γυναικῶν φοιτῶσαι παρ᾽ αὐτὴν, σφόδρα μὲν ἐθαύμαζον καὶ ἐπῄνουν, εἰ μητρὸς μητρυιὰ πάθος ἐπιδείκνυται. παραμυθεῖσθαί τε καὶ ἐπιρρωννύναι ἐπειρῶντο. ἡ δὲ, ἀπαραμύθητον εἶναι τὸ κακὸν, καὶ οἷον ἐγκεῖσθαι τῇ καρδίᾳ κέντρον ἀγνοεῖν τὰς ἄλλας ἔλεγεν. εἰ δέ ποτε γένοιτο καθ᾽ ἑαυτὴν, πολλὰ τὴν Θίσβην ἐμέμφετο, ὡς οὐ προσηκόντως ὑπηρετησαμένην. ὦ σπουδαία περὶ τὰ δεινὰ λέγουσα, ἡ πρὸς μὲν τὸν ἔρωτα μὴ συμπράξασα, ἐπὶ δὲ τὸ στερηθῆναι με τοῦ φιλτάτου, καὶ λόγου ταχίων ἀποδειχθεῖσα. καὶ μηδὲ μεταβουλεύσασθαί μοι συγχωρήσασα. καὶ δήλη παντοίως ἐγίγνετο κακόν τι διαθήσουσα τὴν Θίσβην. ἡ δὲ, βαρυμηνιῶσαν ὁρῶσα, καὶ πάντῃ λυπηθεῖσαν, ἐπιβουλεῦσαι πρόχειρον, τῷ τε θυμῷ καὶ ἔρωτι περιμανῆ τυγχάνουσαν, ἔγνω προλαβεῖν καὶ φθῆναι τῇ κατ᾽ ἐκείνης ἐπιβουλῇ, σωτηρίαν ἑαυτῆς περιποιοῦσα. καὶ εἰσελθοῦσα, τί ταῦτα ὦ δέσποινα ἔλεγε. τί μάτην ἔχεις ἐν αἰτίᾳ θεραπαινίδα τὴν σήν. ἐγὼ μέν σοι πρὸς τὸ βούλημα τὸ σὸν, ἀεί τε καὶ νῦν ὑπηρετησάμην. εἰ δέ τι τῶν μὴ κατὰ γνώμην ἐκβέβηκεν, ἐκεῖνα μὲν τῇ τύχῃ λογιστέον. ἑτοίμη δὲ εἰ κελεύεις, ἐπινοεῖν ἵνα τῶν παρόντων λύσιν. ἡ δὲ, καὶ τίς ἄν, εὑρεθείη ἔφη, τῶ



δυναμένη

διέδρα

Hesiodus

ὃν θυμὸν κατέδων

δυναμένους λῦσαι τὰ νῦν ἐκποδὼν γεγονότος. κἀμὲ τῆς περὶ ἐλπίδα τῆς δικαζόντων φιλανθρωπίας ἀνελούσης. εἰ γὰρ ἐβέβλητο τοῖς λίθοις, εἰ γὰρ ἀνῄρητο, πάντως ἄν, κἀμοὶ συντεθνήκει τὰ τοῦ πάθους. τὸ γὰρ ἀπελπισθὲν ἅπαξ, ἐξῄρηται τῆς ψυχῆς. καὶ τὸ μηδαμόθεν ἔτι προσδοκώμενον, ἀπαλγεῖν παρασκευάζει τοὺς κάμνοντας. νῦν δὲ ὁρᾶν φαντάζομαι. παρόντος ἀκούειν ἀπατῶμαι. ὀνειδίζοντα τὴν ἄδικον ἐπιβουλήν, αἰσχύνομαι συντεύξεσθαι. ποτὲ δὲ ἐπελθόντι καὶ ἀπολαύσειν. ἢ καὶ αὐτὴ παρ' ἐκεῖνον φοιτήσειν ὅπου ποτ' ἂν ᾖ γῆς ὑποτίθεμαι. ταῦτα ὑπεκκαίει. ταῦτα ἐκμαίνει, δίκαια μὲν ὦ θεοὶ πάσχω. τί γὰρ οὐ περιεῖπον, ἀλλ' ἐπεβούλευον. τί δὲ οὐχ ἱκέτευον ἀλλ' ἐδίωκον. ἠρνήσατο τὴν πρώτην; ἀλλὰ προσηκόντως. ἀλλοτρίαν μέν. ἀλλ' οὖν γε πατρῴαν εὐνὴν ἠξίωσε. τυχὸν ἄν, μετεπείσθη χρόνῳ πρὸς τὸ ἡμερώτερον, καὶ πειθοῖ μεταπλαττόμενος. ἀλλ' ἡ θηριώδης ἐγὼ καὶ ἀνήμερος, ὥσπερ οὐκ ἐρῶσά τινος, ἀλλ' ἄρχουσα, δεινὸν ὅτι μὴ ἐξ ὑπερτάγματος ἐπήκουσεν, ἐποιησάμην. καὶ εἰ τῆς δημαινέτης ὑπερεῖδε πολὺ τὴν ὥραν αὐτῆς ὑπερβάλλων. ἀλλ' ὦ γλυκεῖα θίσβη. τίνα λύσιν ὀνομάζουσα ῥᾳδίαν. ὦ δέσποινα ἔφη. τοῖς πολλοῖς μὲν ὁ κνήμων ὑπεξῆλθε τοῦ ἄστεος, καὶ τῆς ἀττικῆς ἐξώρμησε τῇ κρίσει πειθόμενος. ἐμὲ δὲ ἅπαντα διὰ σὲ πραγματευομένην οὐκ ἔλαθεν. αὐτοῦ που περὶ τοῦ ἄστεος κρυπτόμενος. ἀρσινόην ἀκούεις που πάντως τὴν αὐλητρίδα; ταύτῃ ἐκέχρητο. μετὰ δὲ τὴν δυστυχίαν, ὑποδέχεται αὐτόν, ἡ μεῖραξ καὶ συναπαίρειν ἐπαγγελλομένη, παρ' ἑαυτῇ κατέχει, κρυπτομένη τέως, ἕως ἂν συσκευάσηται, καὶ ἡ δημαινέτη. μακαρία μὲν ἀρσινόη φησί, τῆς τε πρότερον πρὸς κνήμωνα συνηθείας, καὶ τῆς σὺν αὐτῷ νυνὶ προσδοκωμένης ἐκδημίας. ἀλλὰ τί ταῦτα ἂν εἴη πρὸς ἡμᾶς. μεγάλα ἔφη ὦ δέσποινα. ἐρᾶν μὲν ἐγὼ προσποιήσομαι τοῦ κνήμωνος. παρακαλέσω δὲ τὴν ἀρσινόην, οὖσάν μοι πάλαι γνωρίμην ἀπὸ τῆς τέχνης, εἰσαγαγεῖν με ὡς αὐτὸν νύκτωρ ἀνθ' ἑαυτῆς. ὅπερ εἰ γένοιτο, σὸν ἂν εἴη τὸ ἐντεῦθεν ἀρσινόην εἶναι δοκεῖν. καὶ φοιτᾶν παρ' αὐτὸν ὡς ἐκείνην. μελήσει δέ μοι, καὶ ὑποβεβρεγμένον αὐτὸν κατακλῖναι παρασκευάσαι. εἰ δὲ τύχοις ὧν βούλει, μάλιστα μὲν εἰκὸς σχολάσαι τὸν ἔρωτα. πολλαῖς ἤδη τὴν πρώτην πεῖ-

ραν



ραν ἐναπεσβέσθη τὰ τῆς ἐπιθυμίας. κόρος γὰρ ἔρωτος, τὸ ἔργον τὸ τέλος. εἰ δὲ ἐναπομείνειεν ὃ μὴ γένοιτο, δεύτερος ἔσται φασὶ πλοῦς. καὶ ἑτέρα βουλή. τὸ παρὸν μὲν τέως θεραπεύωμεν. ἐπῄνει ταῦτα ἡ δημαινέτη, καὶ προστεθῆναι τάχος τοῖς δεδογμένοις ἱκέτευεν. ἡ δὲ μίαν ἡμέραν ἐνδοθῆναι αὐτῇ πρὸς τὸ διανύσαι ταῦτα παρὰ τῆς δεσποίνης αἰτήσασα, παρὰ μὲν τὴν ἀρσινόην ἐλθοῦσα, τελέδημον οἶσθα ἔλεγε; τῆς δὲ ὁμολογούσης, ὑπόδεξαι ἡμᾶς ἔφη τὸ τήμερον. ὑπεσχόμην γὰρ αὐτῷ συγκαθευδήσειν, ἥξει δὲ πρότερος. ἐγὼ δὲ ὅταν κατακλίνω τὴν δέσποιναν. πρὸς δὲ τὸν ἀρίσιππον εἰς ἀγρὸν διαδραμοῦσα, ὦ δέσποτα ἔλεγεν. ἥκω σοι κατήγορος ἐμαυτῆς, καὶ κέχρησο ὅτι βούλει. τὸν παῖδα δι' ἐμὲ ἀπολώλεκας. οὐχ ἑκοῦσαν μέν. ἀλλ' ὅμως συναιτίαν γενομένην. αἰσθομένη γὰρ τὴν δέσποιναν οὐκ ὀρθῶς βιοῦσαν, ἀλλ' εὐνὴν τὴν σὴν ἐνυβρίζουσαν, αὐτὴ δὲ περὶ ἐμαυτῆς δείσασα, μή ποτε καινὸν λάθοιμι τὸ πρᾶγμα εἰ δι' ἄλλου φωραθείη, καὶ ἐπὶ σοὶ περιαλγήσασα, εἰ οὕτω περιέπων τὴν συνοικοῦσαν τοιαῦτα ἀντιπάσχοις, αὐτὴ μὲν σοὶ προσαγγεῖλαι κατώκνησα. φράζω δὲ τῷ νέῳ δεσπότῃ, νύκτωρ παρ' αὐτὸν ἐλθοῦσα ὡς ἄν, γνοίη μηδείς, καὶ ἔλεγον. ὡς μοιχὸς ἅμα τῇ δεσποίνῃ συγκαθεύδοι. ὁ δέ, προυλελύπητο γὰρ ὡς οἶσθα πρὸς αὐτῆς, ἔνδον εἶναι τότε με λέγειν τὸν μοιχὸν νομίσας, ὀργῆς ἀκατασχέτου πληρωθείς, ἀνελόμενος τὸ ἐγχειρίδιον, ἐμοῦ πολλάκις κατέχειν πειρωμένης, καὶ ὡς οὐδὲν εἴη τοιοῦτον νῦν τοῦ παρόντος λεγούσης, μικρὰ φροντίσας, ἢ καὶ μεταβάλλεσθαι προσδοκήσας, ἐπὶ τὸν θάλαμον ἐμμανὴς ἵεται, καὶ τὰ λοιπὰ γινώσκεις. τὸ δὲ παρὸν ἔνεστί σοι πρὸς τὸν παῖδα καὶ εἰ φεύγει τὰ νῦν ἀπολογίσασθαι. καὶ παρὰ τῆς ἀμφοτέρους ὑμᾶς ἀδικούσης, τιμωρίαν λαβεῖν. ἐπιδείξω γάρ σοι τήμερον ἅμα τῷ μοιχῷ τὴν δημαινέτην, ἐν οἰκίᾳ καὶ ταῦτα ἀλλοτρίᾳ ἐκτὸς τοῦ ἄστεος κατακεκλιμένην. εἰ γὰρ ταῦτα οὕτως ἐπιδείξειας φησὶν ὁ ἀρίσιππος, σοὶ μὲν ἐλευθερίας μισθὸς ἀποκείσεται. ἐγὼ δὲ τάχα ἄν, ἐπιβιώην, τὴν πολεμίαν ἀμυνάμενος. ὡς πάλαι γε σμύχομαι ἐμαυτῷ, καὶ τὸ πρᾶγμα δι' ὑποψίας ἔχων, ἀπορίᾳ τῶν ἐλέγχων ἡσύχαζον. ἀλλὰ τί δεῖ ποιεῖν. ἡ δέ, τὸν κῆπον οἶσθα ἔλεγεν, ἔνθα τὸ μνῆμα τῶν ἐπικουρείων, ἐνταῦθα εἰς ἑσπέραν ἐλθὼν περίμενε, καὶ ἅμα

εἰποῦσα,

Arsinoe

Teledemus

περιέπων

σμύχομαι ἐμαυτῷ

Hortus in quo sepulchrum epicureorum

ἀπιοῦσα, ἀπότρεχε, καὶ πρὸς τὴν Δημαινέτην ἐλθοῦσα, κόσμει ἔφη σαυτήν. ἁβροτέρως ἔχουσαν ἥκειν προσήκει. πάντα σοι τὰ ἐπηγγελμένα εὐτρέπισται. ἡ δὲ, περιεβάλλετο, καὶ ἔπραττεν ὡς ἐκέλευεν. ἤδη δὲ ἑσπέρας οὔσης, ἀναλαβοῦσα, ἦγεν ὡς συνετέτακτο. ἐπεὶ δὲ ἐπλησίαζον, τὴν μὲν ἐπιστῆναι μικρὸν ἐκέλευεν. αὐτὴ δὲ προλαβοῦσα παρεκάλει τὴν Ἀρσινόην, εἰς ἕτερον μεταστῆναι δωμάτιον. καὶ σχολὴν αὐτῇ παρασχεῖν. ἐρυθριᾶν γὰρ ἔφη τὸ μειράκιον, ἄρτι τῶν ἀφροδίτης μυούμενον. τῆς δὲ, πεισθείσης, ἐπανελθοῦσα παρελάμβανε τὴν Δημαινέτην. καὶ εἰσαγαγοῦσα κατέκλινέ τε, καὶ τὸν λύχνον ἀφαιρεῖ, τοῦ μὴ γνωρισθῆναι αὐτὴν παρὰ σοῦ δῆθεν τοῦ ἐν αἰγίνῃ διάγοντος, καὶ σιωπῶσαν πληροῦν τὴν ἐπιθυμίαν παρεγγυήσασα. ἐγὼ δὲ ἐπὶ τὴν νεανίαν ἄπειμι φησί. καὶ ἥξω σοι φέρουσα. πίνει δὲ ἐνταῦθα ἐκ γειτόνων. καὶ ὑπεξελθοῦσα τὸν Ἀρίστιππον ἔνθα παρείρητο καταλαμβάνει, καὶ δεσμεῖν ἐπισπεύσαντα τὸν μοιχὸν ἤπειγεν. ὁ δὲ, εἰσπεσὼν, καὶ ἐπιστὰς, εἰς τρέχετε εἰς τὸ δωμάτιον. καὶ τὴν κλίνην πρὸς μικρὰν τῆς σεληναίας αὐγὴν χαλεπῶς ἀνευρὼν, ἔχω σε εἶπεν ὦ θεοῖς ἐχθρά, καὶ ἡ Θίσβη παράγγελμα ταῦτα λέγοντος, τάς τε θύρας ὡς ὅτι πλεῖστον ἐψόφησε, καὶ ὢ τῆς ἀτοπίας, διαδέδρακεν ἡμᾶς ὁ μοιχὸς ἀνεβόησε, καὶ ὅρα δέσποτα μὴ καὶ τὰ δεύτερα σφαλῇς. ὁ δὲ, θάρσει ἔφη. τὴν ἀλιτήριον καὶ ἣν μάλιστα ἐβουλόμην, ἔχω. καὶ συλλαβόμενος ἦγεν ὡς ἐπὶ τὴν πόλιν. ἡ δὲ, ἅμα πάντα τὰ περιεστῶτα ὡς εἰκὸς ἐννοήσασα, τὴν ἀποτυχίαν τῶν προσδοκηθέντων. τὴν ἐπὶ τοῖς πταίσμασιν ἀτιμίαν. τὴν ἐκ τῶν νόμων τιμωρίαν. ἀνιωμένη μὲν ἐφ' οἷς ἡλίσκετο, χαλεπαίνουσα δὲ ἐφ' οἷς ἠπάτητο, ἐπειδὴ κατὰ τὸν βόθρον ἐγένετο τὸν ἐν ἀκαδημίᾳ, πάντως γινώσκεις ἔνθα τοῖς ἥρωσιν οἱ πολέμαρχοι τὸ πάτριον ἐναγίζουσιν, ἐνταῦθα ἀθρόον, τοῦ πρεσβύτου παράξασα τὰς χεῖρας, ὠσεν ἑαυτὴν ἐπὶ κεφαλήν. καὶ ἡ μὲν, ἔκειτο κακὴ κακῶς. ὁ δὲ, Ἀρίστιππος, ἔχω παρὰ σοῦ καὶ παρὰ τῶν νόμων τὴν δίκην εἰπὼν τότε, τῷ δήμῳ πάντα εἰς τὴν ἑξῆς ἀνεκοινοῦτο, καὶ μόλις συγγνώμης τυχὼν. τοὺς φίλους περιενόστει καὶ γνωρίμους, εἴ πη σοὶ κάθοδον λάβοι πρυτανευόμενος, καὶ εἰ μέν τι πέπρακται τούτων, οὐκ ἔχω λέγειν. ἔφθην γὰρ δεῦρο ὡς ὁρᾷς, κατά τι χρέος ἐμὸν ἴδιον ἐκπλεύσας. πλὴν ἀλλὰ

χρή σε

τὰς θύρας ὡς ὅτι πλεῖστον ἐψόφησε

Fossa in academia ubi heroibus polemarchi parentabant

πρυτανευόμενος



χρή σε προσδοκᾶν, τήν τε κάθοδον ἐπινεύσειν τὸν δῆμον, καὶ τὸν πατέρα σοι κατὰ ζήτησιν ἥξειν, ὥσπερ γὰρ ἐπηγγέλλετο. ταῦτά μὲν ὁ Χαρίας ἀπήγγελε. τὰ δὲ, ἑξῆς, καὶ ὅπως δεῦρο ἀφικόμην, ἢ τίσι ποτὲ κεχρημένος τύχαις, μακροτέρου δεῖται καὶ λόγου καὶ χρόνου, καὶ ἅμα ἐδάκρυεν. ἐδάκρυον καὶ οἱ ξένοι. τὸ μὲν ἐκείνου πρόφασιν. μνήμης δὲ τῆς ἰδίας ἕκαστος. καὶ οὐδ' ἂν ἔληξαν θρηνοῦντες, εἰ μή τις ὕπνος ἐπιπτὰς ὑφ' ἡδονῆς τῶν γόων ἔπαυσε τῶν δακρύων. καὶ οἱ μὲν οὕτως ἐκάθευδον. ὁ δὲ Θύαμις, τοῦτο γὰρ ἦν ὄνομα τῷ λῃστάρχῳ, τὸ νυκτὸς τὸ πλεῖστον ἐνηρεμήσας ὑπό τινων ὀνειράτων πεπλανημένων τεταραγμένος, ἀθρόον τῶν ὕπνων ἀποσεσυλημένος, καὶ τὴν ἐπίλυσιν διαπορῶν, ἐπηγρύπνει τοῖς φροντίσμασι. καθ' ὃν γὰρ καιρὸν ἀλεκτρυόνες ᾄδουσιν, εἴτε ὡς λόγος αἰσθήσει φυσικῇ τῆς τοῦ ἡλίου καθ' ἡμᾶς περιστροφῆς ἐπὶ τὴν τοῦ θεοῦ πρόσρησιν κινούμενοι, εἴτε ὑπὸ θερμότητος ἅμα, καὶ τοῦ περὶ τὸ κινεῖσθαι καὶ σιτεῖσθαι θᾶττον ἐπιθυμίας, τοὺς συνοικοῦντας ἰδίῳ κηρύγματι ἐπὶ ἔργον ἐγείροντες, ὄναρ αὐτῷ θεῖον ἔρχεται τοιόνδε. ἐπὶ τὴν Μέμφιν μὲν τὴν ἑαυτοῦ πόλιν καὶ τὸν νεὼν τῆς Ἴσιδος εἰσερχόμενος λαμπαδίῳ πυρὶ, τὸ ὅλον ἐδόκει καταλάμπεσθαι. πεπλῆσθαι δὲ βωμοὺς μὲν καὶ ἐσχάρας ζώων παντοίων αἵματι διαβρόχους. προπύλαια δὲ καὶ περιδρόμους, ἀνθρώπων κρότου καὶ θορύβου συμμιγοῦς πάντα πληρούντων. ἐπεὶ δὲ καὶ αὐτὸν ἐντὸς ἥκειν τῶν ἀνακτόρων, τὴν θεὸν ὑπαντῶσαν, ἐγχειρίζειν τε τὴν Χαρίκλειαν καὶ λέγειν. ὦ Θύαμι. τὴν δέ σοι παρθένον ἐγὼ παραδίδωμι. σὺ δὲ ἔχων οὐχ ἕξεις. ἀλλ' ἄδικος ἔσῃ καὶ φονεύσεις τὴν ξένην. ἡ δὲ οὐ φονευθήσεται. ταῦτα ὡς εἶδεν ἀμηχάνως διῆγε. τῇδε κἀκεῖσε τὸ δηλούμενον ὅτι ποτὲ εἴη ἀναστρέφων. ἤδη δὲ ἀπηρηκὼς, εἷλκε πρὸς τὴν ἑαυτοῦ βούλησιν τὴν ἐπίλυσιν. τὸ μὲν γὰρ ἕξεις οὐχ ἕξεις γυναῖκα, καὶ οὐκ ἔτι παρθένον ὑπετίθετο. τὸ δὲ φονεύσεις, τὰς παρθενίας τρώσεις εἴκαζεν. ὑφ' ὧν οὐκ ἀποθανεῖσθαι τὴν Χαρίκλειαν. καὶ τὸ μὲν ὄναρ τοῦτον ἔφραζε τὸν τρόπον. οὕτως αὐτῷ τῆς ἐπιθυμίας ἐξηγουμένης. ἅμα δὲ τῇ ἕω, τούς τε πρώτους τῶν ὑφ' αὑτὸν ἥκειν ἐκέλευε, καὶ λάφυρα τὰ σκῦλα σεμνότερον ὀνομάζων, φέρειν εἰς μέσους ἐπέταττε. καὶ τὸν Κνήμωνα ὡς αὐτὸν μετεπέμπετο. ἄγειν καὶ τοὺς φρουρουμένους ἐντελλά-

d μενος.

Thyamis latronum princeps

Somnia quando diuina

μένος. ἐπεὶ δὲ ἤγοντο, τίς ἄρα τύχη διαδέξεται ἡμᾶς ἐβόων, καὶ πολλὰ τὸν κνήμωνα ἱκέτευον εἴ τι δύναιτο συμπράττειν. ὁ δὲ ἐπηγγέλλετο. καὶ θυμὸν ἔχειν ἀγαθὸν προὔτρεπεν. οὐ παντάπασι βάρβαρον εἶναι τὰ ἤθη τὸν λῃστάρχον ἐγγυώμενος. ἀλλ᾽ ἔχειν τι καὶ ἥμερον, γένος τε ὄντα τῶν ἐπιδόξων, καὶ πρὸς ἀνάγκης τὸν παρόντα βίον ἑλόμενον. ἐπεὶ δὲ ἤχθησαν, ἤθροιστο δὲ καὶ ὁ λοιπὸς ὅμιλος, ἐπί τινος ὑψηλοῦ προκαθίσας ἑαυτὸν ὁ θύαμις, καὶ τὴν νῆσον ἐκκλησίαν ἀποφήνας, καὶ τὰ λεχθησόμενα φράζειν τὸν κνήμωνα καὶ τοῖς αἰχμαλώτοις προστάξας, συνίησι γὰρ ἤδη τῶν αἰγυπτίων, ὁ δὲ θύαμις οὐκ ἠκρίβου τὰ ἑλλήνων, ἄνδρες ἔλεγε συστρατιῶται τὴν ἐμὴν ἐπίστασθε γνώμην, οἵαν ἀεὶ κέχρημαι πρὸς ὑμᾶς. ἐγὼ γὰρ ὡς ἴστε, παῖς μὲν προφήτου τοῦ ἐν μέμφει γεγονώς. ἀποτυχὼν δὲ τῆς ἱερωσύνης, μετὰ τὴν τοῦ πατρὸς ὑπαναχώρησιν, ἀδελφοῦ νεωτέρου ταύτην παρελέσθαι, ἐφ᾽ ὑμᾶς τε καταφυγὼν, ἐφ᾽ ᾧ τε τιμωρίαν μὲν λαβεῖν, τὴν τιμὴν δὲ ἀπολαβεῖν, καὶ τοῦ ἄρχειν ὑμῶν ἀξιωθεὶς, εἰς τὴν δεῦρο ἤγαγον. οὐδὲν τῶν πολλῶν ἐμαυτῷ πλέον ἀπονέμων. ἀλλ᾽ εἴτε χρημάτων νέμησις, ἰσομοιρίαν ἠγάπησα. εἴτε αἰχμαλώτων διάπρασις, εἰς τὸ κοινὸν κατέθηκα. προσήκειν ἡγούμενος, τὸν οὕτω δὴ καλῶς ἐξηγούμενον, τῶν μὲν ἔργων, πλεῖστον μετέχειν. τῶν δὲ ποριζομένων τὸ ἴσον. τῶν δὲ ἁλισκομένων, τοὺς μὲν ἄνδρας, ἡμῖν αὐτοῖς ἐγκατελέγομεν, ὅσοι τῇ ῥώμῃ σώματος ὠφελήσειν ἔμελλον. τοὺς δὲ ἀσθενεστέρους ἀπεμπολοῦν. γυναικῶν δὲ ὕβρεως ἀπείρατος. τὰς μὲν εὖ γεγονυίας ἢ χρημάτων ἀφεὶς, ἢ τῆς τύχης μόνης οἰκτείρων. τὰς δὲ ἐλάττους, καὶ ἃς δουλεύειν οὐχ ἡ αἰχμαλωσία μᾶλλον, ἀλλὰ συνήθεια κατηνάγκαζε, θεραπαίνας ἑκάστοις διανέμων. τὸ δὲ νῦν παρὸν, ἕν τι τῶν λαφύρων αἰτῶ παρ᾽ ὑμῶν. τὴν κόρην ταύτην τὴν ξένην. ἣν δυνάμενος ἐμαυτῷ δοῦναι, βέλτιον παρὰ τοῦ κοινοῦ λαβεῖν ἡγοῦμαι, καὶ γὰρ εὔηθες τὴν αἰχμάλωτον βιασάμενον, ἀκόντων τι τῶν φίλων φαίνεσθαι διαπραττόμενον. ἀλλὰ καὶ ταύτην αἰτῶ παρ᾽ ὑμῶν, οὐ προῖκα τὴν χάριν. ἀλλ᾽ ἀντιδοὺς τὸ μηδὲν αὐτὸς τῶν ἄλλων τῆς λείας μεταλαβεῖν. ἐπειδὴ γοῦν τὴν πάνδημον ἀφροδίτην τὸ προφητικὸν ἀτιμάζει γένος, οὐ τῆς καθ᾽ ἡδονὴν χρείας, ἀλλὰ τῆς εἰς διαδοχὴν σπορᾶς, τήν δε ἐμαυτῷ γενέσθαι διεσκεψάμην. ἐγὼ δὲ καὶ τὰς αἰτίας ὑμῖν ἀπολογήσασθαι

βούλομαι.

οἵαν ἀεὶ κέχρημαι πρὸς ὑμᾶς

Pandemos uen)



Βούλομαι. πρῶτον μὲν συγγενὴς εἶναί μοι δοκεῖ. τεκμαίρομαι δὲ τῷ τε ἀμφ᾽ αὐτὴν εὑρεθέντι πλούτῳ, καὶ ὅτι πρὸς τὰς παρούσας οὐ πέπτωκε συμφοράς. ἀλλὰ τὸ φρόνημα πρὸς τὴν ἐξ ἀρχῆς ἀναφέρει τύχην. ἔπειτα τὴν ψυχὴν ἀγαθήν τε καὶ σώφρονα στοχάζομαι. εἰ γοῦν εὐμορφίᾳ νικῶσα τὰς πάσας, αἰδοῖ τοῦ βλέμματος, καὶ τοὺς ὁρῶντας καταστέλλει πρὸς τὸ σεμνότερον, πῶς οὐ τὴν βελτίονα περὶ αὐτῆς εἰκότως παρίστησι φαντασίαν. ὁ δὲ μέγιστόν ἐστι τῶν εἰρημένων, ἱέρεια θεῶν τινος εἶναί μοι φαίνεται. τὴν γοῦν ἱερὰν στολὴν καὶ τὰ στέμματα μεθεῖναι καὶ δυστυχοῦσα, δεινὸν καὶ οὐ θεμιτὸν ἡγεῖται. τίς οὖν γένοιτ᾽ ἂν, ὦ παρόντες, γάμος ἁρμοδιώτερος, τοῦ προφητικοῦ τὴν ἱερωμένην λαμβάνοντος. ἐπευφήμησαν ἅπαντες, καὶ γαμεῖν ἐπ᾽ αἰσίοις ἐκέλευον. ὁ δὲ, ἀναλαβὼν τὸν λόγον, ὑμῖν μὲν ἔχω τὴν χάριν ἔφη. εἰκότα δ᾽ ἂν ποιοῖμεν, εἰ τὴν γνώμην ὅπως ἔχει πρὸς τοῦτο τῆς κόρης μάθοιμεν. εἰ μὲν γὰρ ἔδει τῷ τῆς ἀρχῆς ἀποχρήσασθαι νόμῳ, πάντως ἐξήρκει μοι τὸ βούλεσθαι. βιάζεσθαι γὰρ οἷς ἔξον, τὸ πυνθάνεσθαι περιττόν. εἰ δὲ γάμος τὸ γινόμενον, τὸ παρ᾽ ἀμφοτέρων βούλημα, συνδεῖν ἀναγκαῖον. καὶ ἀποστρέψας τὸν λόγον, πῶς οὖν ἔχεις ὦ κόρη πρὸς τὸ συνοικεῖν ἡμῖν διηρώτα, καὶ ἅμα τίνες εἶεν ἢ ἐκ τίνων φράζειν ἐκέλευεν. ἣ δὲ, πολλὴν τινα χρόνον τὸ βλέμμα τῇ γῇ προσερείσασα, καὶ πυκνὰ τὴν κεφαλὴν ἐπισείουσα, λόγον τινὰ καὶ ἐννοίας ἀθροίζειν ἐῴκει, καὶ δή ποτε πρὸς τὸν θύαμιν ἀντωπήσασα, καὶ πλέον ἢ πρότερον αὐτὸν ὑπὸ κάλλει καταστράψασα, καὶ γὰρ πεφοίνικτο τὴν παρειὰν ὑπὸ τῶν ἐνθυμημάτων, πλέον ἢ συνήθους, καὶ τὸ βλέμμα κεκίνητο πρὸς τὸ γοργότερον, ἑρμηνεύοντος τοῦ κνήμωνος, μᾶλλον ἔφη, ὁ μὲν λόγος ἥρμοζεν, ἀδελφῷ τῷ ἐμῷ θεαγένει τούτῳ, πρέπειν γοῦν οἶμαι, γυναικὶ μὲν σιγὴν, ἀνδρὶ δὲ ἀπόκρισιν ἐν ἀνδράσιν. ἐπεὶ δὲ ἤδη κἀμοὶ λόγου μεταδεδώκατε καὶ τοῦτο πρῶτον ἔνδειγμα φιλανθρωπίας παρέχεσθε, τὸ πειθοῖ μᾶλλον ἢ βίᾳ τῶν δικαίων πειρᾶσθαι τυγχάνειν. ἄλλως τε δὲ ὅτι καὶ τὸ πᾶν εἰς ἐμὲ τείνει τῶν εἰρημένων, ἐκβαίνειν ἀναγκάζομαι. τοὺς ἐμαυτοῦ τε καὶ παρθένων νόμους, καὶ πρὸς τὴν πρόθεσιν τοῦ κρατοῦντος ἀποκρίνασθαι. περὶ γάμου, καὶ ταῦτα καὶ ἐν ὁμίλῳ τοσούτων ἀνδρῶν. ἔστι δὴ τὰ περὶ ἡμῶν τοιάδε. γένος μὲν ἐσμὲν, ἴωνες. ἐφεσίων δὲ τὰ πρῶτα γεγονότες.

 καὶ ἀμφιθα-

Signũ nobilis animi

καὶ γαμεῖν ἐπ᾽ αἰσίοις ἐκέλευον)

ἀντωπήσασα

Theagenes frater Charicleæ

Genus & patria Charicleæ & theagenis

ἀμφιθαλεῖς ὄντες, νόμου τοὺς τοιούτους καλοῦντος ἱερατεύειν, ἐγὼ μὲν Ἀρτέμιδος. Ἀπόλλωνος δὲ ὁ ἐμὸς ἀδελφὸς οὗτος ἐλαχάνομεν. ἐπετείου δὲ, τῆς τιμῆς οὔσης, καὶ τοῦ χρόνου πληρουμένου, θεωρίαν εἰς Δῆλον ἤγομεν. ἔνθα μουσικούς τε καὶ γυμνικοὺς ἀγῶνας διαθήσεσθαι, καὶ τὴν ἱερωσύνην ἀποθήσεσθαι κατά τι πάτριον ἐμέλλομεν. ὁλκὰς οὖν ἐπληροῦτο χρυσοῦ τε καὶ ἀργύρου καὶ ἐσθήτων, καὶ τῶν ἄλλων ὅσα πρός τε τοὺς ἀγῶνας, καὶ τὴν πάνδημον εὐωχίαν ἐπαρκέσειν ἔμελλε, καὶ ἀνηγόμεθα. τῶν μὲν πατέρων γήρατε προσηκόντων, καὶ δέει τοῦ πλοῦ καὶ τῆς θαλάττης, οἴκαδε καταμεινάντων. ἄλλων δὲ πολιτῶν εἰς πλῆθος τῶν μὲν, ἐπὶ τὴν αὐτὴν ὁλκάδα συνεμβάντων, τῶν δὲ σκάφεσιν ἰδίοις χρωμένων. ἐπεὶ δὲ τὸ πολὺ τοῦ πλοῦ διήνυστο, κλυδώνιον ἀθρόως ἐμπεσὸν, καὶ ἄνεμος ἐξώστης, καὶ λαίλαπες συμμιγεῖς, καὶ πρηστῆρες, τὴν θάλατταν καταιγίζουσαι, τὴν ναῦν τοῦ εὐθέος παραφέρουσι. τοῦ κυβερνήτου πρὸς τὸ ὑπερβάλλον κακὸν ἐνδόντος, καὶ τῷ βιαίῳ, τὴν ὁλκάδα ἐκστάντος, καὶ τῇ τύχῃ κυβερνᾶν ἐπιτρέψαντος. ἠγόμεθα οὖν ὑπὸ τοῦ ἀεὶ πνέοντος, ἡμέρας μὲν ἑπτὰ, νύκτας δὲ ἴσας, καὶ τέλος εἰς τὴν ἀκτὴν ἐξωκείλαμεν. ἔνθα πρὸς ὑμῶν ἑάλωμεν. οὗ καὶ τὸν πολὺν ἑωράκατε φόνον. τῶν ναυτῶν ἡμῖν παρὰ τὴν εὐωχίαν, ἣν ἐπὶ σωτηρίοις ἤγομεν ἐπιθεμένων. ἀνελεῖν τε διὰ τὰ χρήματα βουλευσαμένων. ἕως σὺν πολλῷ τῷ κακῷ καὶ ὀλέθρῳ τῶν οἰκείων ὁμοῦ πάντων αὐτῶν δὲ ἐκείνων ὀλλύντων καὶ ὀλλυμένων, ἐπεκρατήσαμεν ἐξ ἁπάντων, ὡς μή ποτε ὄφελον, οἰκτρὸν περισωθέντες λείψανον. ἐν μόνον ἐν δυστυχήμασι εὐτυχοῦντες, ὅτι θεῶν τις εἰς χεῖρας τὰς ὑμετέρας ἤγαγε, καὶ οἱ περὶ θανάτου δεδιότες, περὶ γάμου σκοπεῖν ἐπεστράφησαν. ὃν οὐ βούλομαι κατ' οὐδένα τρόπον ἀρνήσασθαι. τότε γὰρ αἰχμάλωτον οὖσαν τῷ κρατοῦντι τῆς εὐνῆς ἀξιοῦσθαι, πᾶσαν εὐδαίμονα τύχην ὑπερβέβηκε. τό, τε θεοῖς ἀνακειμένην προφήτου παιδὶ μετ' ὀλίγον θεοῦ νεύοντος καὶ προφήτῃ συνοικεῖν, οὐ πάντῃ πᾶσιν ἔοικεν εἶναι ἐκ τῆς θείας κηδεμονίας ἄμοιρον. ἓν μόνον αἰτῶ, καὶ δός ὦ Θύαμι. συγχώρησόν εἰς ἄστυ με πρότερον ἐλθοῦσαν, ἢ ἔνθα βωμὸς ἢ ναὸς Ἀπόλλωνι νενόμισται, τῆς ἱερωσύνης καὶ τὰ ταύτης ἀποθέσθαι σύμβολα. βέλτιον μὲν γὰρ εἰς Μέμφιν, ὅταν καὶ τὴν τιμὴν



Clydoniu

ἄνεμος ἐξώστης

Soteria



ἀνακαλέσῃ τῆς προφητείας, οὕτω καὶ ὁ γάμος εὐθυμότερος ἄγοιτο, νίκῃ συναπτόμενος, καὶ ἐπὶ κατορθουμένοις τελούμενος. εἰ δὲ καὶ πρότερον, ἐν σοὶ καταλείψω τὴν σκέψιν. μόνον τελεσθείη μοι τὰ πάτρια πρότερον, καὶ οἶδα ὡς ἐπινεύσεις, ἱεροῖς τε ἐκ παίδων ὡς φὴς ἀνακείμενος, καὶ τὸ περὶ τοὺς θεοὺς ὅσιον ἀποσεμνύνων, καὶ ἡ μὲν ἐνταῦθα τῶν λόγων ἐπαύσατο. δακρύων δὲ ἤρξατο. τῶν δὲ παρόντων, οἱ μὲν ἄλλοι πάντες ἐπῄνουν, καὶ πράττειν οὕτως ἐκέλευόν τε, καὶ ἑτοίμως ἔχειν ἐβόων. ἐπῄνει δὲ καὶ ὁ Θύαμις, ἑκών τε τὸ μέρος καὶ ἄκων. ὑπὸ μὲν τοῦ περὶ τὴν Χαρίκλειαν ἐπιθυμίας καὶ τὴν παροῦσαν ὥραν, ἀπέραντον χρόνου μῆκος εἰς ὑπέρθεσιν ἡγούμενος. ὑπὸ δὲ τῶν λόγων, ὥσπερ τινὸς σειρῆνος κεκηλημένος, καὶ πρὸς τὸ πείθεσθαι κατηναγκασμένος. ἅμα δὲ τι καὶ πρὸς τὸ ἐνύπνιον ἀναφέρων, καὶ τὸν γάμον ἐπὶ τῆς Μέμφιν ἔσεσθαι καταπιστεύων. καὶ διαλύει μὲν τὸν σύλλογον, τὴν λείαν πρότερον διανείμας. πολλὰ τῶν ἐξαιρέτων αὐτὸς ἑκόντι παραχωρούντων κομισάμενος. ἐπέστελλε δὲ εἰς δεκάτην εὐτρεπισμένους εἶναι τὴν ὁρμὴν ὡς ἐπὶ τὴν Μέμφιν ποιησομένους. τοῖς δὲ Ἕλλησι, τὴν προτέραν ἀπεκλήρου σκηνήν. συνεσκήνου δὲ αὐτοῖς καὶ ὁ Κνήμων αὖθις ἐκ προστάγματος. οὐ φρουρὸς ἔτι τὸ ἐντεῦθεν. ἀλλὰ συνόμιλος ἀποδεδειγμένος, καὶ δίαιταν τῆς ἁβροτέραν τῆς οὔσης παρεῖχεν ὁ Θύαμις. καὶ εἶτα καὶ τὸν Θεαγένην εἰς αἰδῶ τῆς ἀδελφῆς ὁμοδίαιτον ἐποιεῖτο. αὐτὴν δὲ τὴν Χαρίκλειαν οὐδὲ ὁρᾶν τὰ πολλὰ διεγνώκει. τοῦ μὴ τῇ θέᾳ ὑπέκκαυμα γίγνεσθαι τοῦ ἐγκειμένου πόθου, καὶ πρᾶξαί τι παρὰ τὰ δόξαντα καὶ προδηλωθέντα κατηναγκασθείη, καὶ ὁ μὲν Θύαμις ἐκ τούτων παρῃτεῖτο τὴν ὄψιν τῆς κόρης. οὐ δυνατὸν βλέπειν ἅμα καὶ σωφρονεῖν ἡγούμενος. ὁ δὲ Κνήμων ἐπειδὴ τάχιστα πάντες ἐκ ποδῶν ἦσαν ἄλλος κατ' ἄλλο τῆς λίμνης καταδυόντες, ἣν τῷ Θεαγένει βοτάνην ὑπέσχετο τῇ προτεραίᾳ, μακρὰν ὀλίγον τῆς λίμνης ἄποθεν ἐπορεύετο. καὶ τούτῳ σχολῆς ἐπιλαβόμενος ὁ Θεαγένης, ἐδάκρυέ τε καὶ ἀνῴμωζε. πρὸς μὲν τὴν Χαρίκλειαν οὐδ' ὅτι οὖν διαλεγόμενος. θεοὺς δὲ συνεχῶς ἐπικαλούμενος μάρτυρας. τῆς δὲ, εἰ τὰ συνήθη καὶ κοινὰ ταῦτα θρηνεῖ πυνθανομένης, ἢ εἰ μή τι πεπόνθοι καινότερον, καὶ τί γένοιτ' ἄν, ἔφη ὁ Θεαγένης καινότερον, ἤτι ἀθεμιστότερον, ἢ ὅρκων μὲν



οὐ δυνατὸν βλέπειν ἅμα καὶ σωφρονεῖν

∴ rf. ἐπινευούσης



σπονδῶν παραβαινομένων, Χαρικλείας δὲ λήθην ἐμοῦ λαβούσης, καὶ πρὸς ἄλλων γάμους ἐπινευούσης. εὐφήμει, ἔφη ἡ κόρη. μὴ δέ μου γίνου τῶν συμφορῶν βαρύτερος. μηδὲ τοσαύτην ἔχων ἐκ τῶν παρελθόντων τῆς κατ' ἐμοῦ διὰ τῶν ἔργων δοκιμασίαν, ἐκ λόγων ἐπικαίρων, καὶ πρός τι χρειωδῶς εἰρημένων, ἄγε δι' ὑποψίας, εἰ δὲ μή, γίγνεται τοὐναντίον, καὶ μᾶλλον αὐτὸς μεταβάλλεσθαι δόξεις, ἢ μεταβαλλομένην εὑρήσεις. ἐγὼ γὰρ δυστυχεῖν μὲν οὐκ ἀρνοῦμαι. μὴ σωφρονεῖν δέ, οὐδὲν οὕτω βίαιον, ὥστε με μεταπεισθῆναι. ἓν μόνον οἶδα μὴ σωφρονοῦσα τὸν ἐξ ἀρχῆς ἐπὶ σοὶ πόθον. ἀλλὰ καὶ τοῦτον ἔννομον. οὐ γὰρ ὡς ἐραστῇ πειθομένη, ἀλλ' ὡς ἀνδρὶ συνθεμένη τότε πρῶτον ἐμαυτὴν ἐπέδωκα, καὶ εἰς δεῦρο διετέλεσα, καθαρὰν ἐμαυτήν, καὶ ἀπὸ τῆς ὁμιλίας φυλάττουσα. πολλάκις μὲν ἐπιχειροῦντα διωσαμένη. τὸν δὲ ἐξ ἀρχῆς ἡμῖν συγκείμενόν τε καὶ ἐνώμοτον ἐπὶ πᾶσι γάμον, ἔνθεσμον εἴ πη γένοιτο περισκοποῦσα. πῶς οὖν οὐκ ἂν εἴης ἄτοπος, εἰ τὸν βάρβαρόν με τοῦ Ἕλληνος, τὸν λῃστὴν τοῦ ἐρωμένου πιστεύοις ἐπίπροσθεν ἄγειν. τί οὖν ἐβούλετό σοι τὰ τῆς καλῆς δημηγορίας ἐκείνης ἔφη ὁ Θεαγένης. τὸ μὲν γὰρ ἀδελφόν με σαυτῆς ἀναπλάττειν, σοφὸν εἰς ὑπερβολὴν καὶ πόρρω τὴν Θύαμιν τῆς ἐφ' ἡμῖν ζηλοτυπίας ἀπάγον, καὶ συνεῖναι ἡμᾶς ἀλλήλοις ἀδεῶς παρασκευάζον. συνίην καὶ τῆς Ἰωνίας καὶ τῆς περὶ τὴν Δῆλον πλάνης, ὅτι τῶν ὄντων ἦν καὶ ἀληθῶν ἐπικαλύμματα, καὶ πλάνην τῷ ὄντι τοῖς ἀκούουσιν ἐπάγοντα. τὸ δὲ ἑτοίμως οὕτως ἐπινεύειν τὸν γάμον, καὶ συντίθεσθαι διαρρήδην, καὶ καιρὸν ὁρίζειν, ταῦτα συμβάλλειν οὔτε ἐδυνάμην οὔτε ἐβουλόμην. εὐχόμην δέ, καταδῦναι μᾶλλον, ἢ τοιαύτην ἐπιδεῖν τῶν ἐπί σοι πόνων τε καὶ ἐλπίδων τὴν τελευτήν. ἡ Χαρίκλεια περιβαλοῦσα τὸν Θεαγένην, καὶ μυρία φιλήσασα, καὶ διάβροχον ποιήσασα τοῖς δάκρυσιν, ὡς ἥδιστα ἔφη δέχομαί σου, τοὺς ἐπ' ἐμοὶ τούτους τοὺς φόβους. δῆλος γὰρ εἶ κἀκ τούτων, μὴ ὀκλάσας τὸν ἐπ' ἐμοὶ πόθον ὑπὸ τῶν πολλῶν συμφορῶν. ἀλλ' εὖ ἴσθι Θεάγενες, οὐδ' ἂν τὸ παρὸν ἀλλήλοις διελεγόμεθα, μὴ τούτων οὕτως ἐπηγγελμένων. ὁρμὴν γὰρ ὡς οἶσθα κρατούσης ἐπιθυμίας, μάχη μὲν ἀντίτυπος ἐπιτείνει. λόγος δὲ εἴκων, καὶ πρὸς τὸ βούλημα συντρέχων, τὴν πρώτην

καὶ ζευ-

Theagenes frater nō erat Charicleæ sed fictū fuit à chariclea opportune

ἐπινεύειν τὸν γάμον

ὀκλάσας



καὶ ζέουσαν φορὰν ἔστειλε, καὶ τὸ κάτοξυ τῆς ὀρέξεως, τῷ ἡδεῖ τῆς ἐπαγγελίας κατεύνασε. πρώτην γὰρ ὡς οἶμαι πεῖραν οἱ ἀγροικότερον ἐρῶντες τὴν ὑπόσχεσιν νομίζουσι, καὶ κρατεῖν ἀπὸ τῆς ἐπαγγελίας ἡγούμενοι, πρᾳότερον διάγουσιν ἐπὶ τῶν ἐλπίδων σαλεύοντες. ἃ δὴ καὶ αὐτὴ προμηθουμένη, τοῖς λόγοις ἐμαυτὴν ἐξεδόμην. θεοῖς τὰ ἐξῆς ἐπιτρέψασα, καὶ δαίμονι τῷ τὴν ἀρχὴν λαχόντι, τὸν ἡμέτερον ἐπιτροπεύειν ἔρωτα. πολλὰ μία ἡμέρα καὶ δύο πολλάκις ἔδοσαν τῶν εἰς σωτηρίαν, καὶ τύχας παρέσχον, ἃ βουλαῖς ἄνθρωποι μυρίαις οὐκ ἐξεῦρον. τοῦτό τοι καὶ αὐτὴ τὸ παρὸν ἐπινοίαις ὑπερεθέμην. τὰ πρόδηλα τοῖς ἀδήλοις διακρουσαμένη. φυλακτέον οὖν ὦ γλυκύτατε καθάπερ πάλαισμα τὸ πλάσμα, καὶ σιγητέον οὐ πρὸς τοὺς ἄλλους μόνους, ἀλλὰ καὶ πρὸς αὐτὸν Κνήμωνα. φιλάνθρωπος μὲν γὰρ ἐστὶ περὶ ἡμᾶς καὶ Ἕλλην. ἀλλ' αἰχμάλωτος, καὶ τῷ κρατοῦντι πλέον ἂν οὕτω τύχῃ χαριζόμενος. οὔτε γὰρ φιλίας χρόνος, οὔτε ἀγχιστείας θεσμός, ἐνέχυρον ἡμῖν ἀκριβὲς τῆς πίστεως αὐτοῦ τῆς περὶ ἡμᾶς δίδωσι. διὸ κἂν ἔκ τινος ὑπονοίας ἐπιψαύσῃ ποτὲ τῶν ἡμετέρων, ἀρνητέον τὴν πρώτην. καλὸν γάρ ποτε καὶ τὸ ψεῦδος, ὅταν ὠφελοῦν τοὺς λέγοντας, μηδὲν καταβλάπτῃ τοὺς ἀκούοντας. ταῦτα τῆς Χαρικλείας καὶ τοιαῦτα πρὸς τὸ βέλτιστον ὑποτιθεμένης, ὁ Κνήμων εἰστρέχει λίαν ἐσπουδασμένος, καὶ πολὺν ἐκ τῶν ὄψεων θόρυβον ἐπαγγελλόμενος, καὶ ὦ Θεάγενες. τὴν μὲν πόαν ἥκω σοι φέρων ἔλεγε, καὶ θεράπευε τὰς πληγὰς ἐπιθέμενος. χρὴ δὲ πρὸς ἕτερα τραύματα καὶ φόνους ἴσους εἶναι παρεσκευασμένους. τοῦ δὲ σαφέστερον ὅτι λέγοι δηλοῦν ἱκετεύοντος, οὐ καιρὸς ἔφη τὸ παρὸν ἀκούειν. δέος γὰρ προληφθῆναι τοὺς λόγους ὑπὸ τῶν ἔργων. ἀλλ' ἕπου τὴν ταχίστην. συνεπέσθω δὲ καὶ ἡ Χαρίκλεια, καὶ παραλαβὼν ἄμφω παρὰ τὸν Θύαμιν ἦγε, καὶ κρανός τι διασμῶντα, καὶ πάλτον θήγοντα καταλαβὼν εἰς καιρὸν ἔφη πρὸς ὅπλοις τυγχάνεις. ἀλλ' αὐτός τε ἐνδύου καὶ τοὺς ἄλλους κέλευε. πλῆθος γὰρ πολεμίων ὅσον οὐδέπω περὶ ἡμᾶς, καὶ τοσοῦτον ἀπολείπονται, ὅσον τοῦ λόφου τοῦ πλησίον ὑπερκύπτον προϊδὼν ἥκω δρομαῖος τὴν ἔφοδον προμηνύων. οὐδὲν τάχους ἀνιείς, ἀλλὰ καὶ ὅσους ἐδυνάμην ἐν τῷ διέκπλῳ τῷ

μέχρι

Nitimur in vetitum semp cupimus q: negata

Quando metiri sit utile

διασμῶντα

πάλτον

ὅσον οὐδέπω

ὅσον οὐδέπω

μέχρι δεῦρο, παρασκευάζεσθαι διαγγείλας. ἀνείλατο πρὸς ταῦτα
ὁ θύαμις, καὶ πρῶτον χαρίκλειαν διηρώτα, καθάπερ περὶ ἐκείνης πλέον,
ἢ περὶ αὐτοῦ δεδιώς. ἐπεὶ δὲ ἐπὶ τῇ φλοιᾷ τῇ πλησίον ὑπεσταλμέ-
νην ἔδειξεν ὁ κνήμων, σὺ μὲν λαβὼν ταύτην ἄγε εἰς τὸ σπήλαιον

Φλοιᾷ

πρὸς μόνον ἔλεγεν. οὗ καὶ τὰ κειμήλια ἡμῖν ἐν ἀσφαλεῖ τεθησαύρι-
σται. καὶ καθεὶς ὦ φίλος, καὶ τῷ στομίῳ τὸ πῶμα ὡς ἔθος ἐπαγαγὼν,
ἧκε τὴν ταχίστην ὡς ἡμᾶς. ὁ δὲ πόλεμος ἡμῖν μελήσει. τὸν δὲ ὑπα-
σπιστὴν ἱερεῖον ἄγειν προσέταττεν. ὡς ἂν, θεοῖς ἐγχωρίοις ἐναγίσαν-
τες, οὕτω τῆς μάχης ἄρχοιεν. καὶ ὁ μὲν κνήμων τὸ προστεταγμέ-

ἄρχοιεν τῆς μάχης

νον ἔπραττε. καὶ πολλὰ τὴν χαρίκλειαν ὀδυρομένην, καὶ θάμα πρὸς
τὸν θεαγένην ἐπιστρεφομένην, ἦγε, καὶ εἰς τὸ ἄντρον ἐνέβαλε. τὸ
δὲ ἦν οὐ φύσεως ἔργον, οἷα πολλὰ περὶ γῆν τε καὶ ὑπὸ γῆν αὐτό-
ματα σηραγγοῦται. ἀλλὰ τέχνης λῃστρικῆς τὴν φύσιν μιμησαμένης.

σηραγγοῦται

καὶ χειρῶν αἰγυπτίων ὄρυγμα, πρὸς σκύλων φυλακὴν, περιέργως
κοιλαινόμενον. εἴργαστο δὲ ὧδέ πως. στόμιον ἦν αὐτῷ στενόπορόν τε
καὶ ζοφῶδες. οἰκήματος κρυφίοις θύραις ὑποκείμενον. ὡς τὸν οὐδὸν,
θύραν ἄλλην τῇ καθόδῳ γίγνεσθαι ὡς πρὸς τὴν χρείαν. ἐνέπιπτέ τε
αὐτῇ ῥᾳδίως καὶ ἀνεπτύσσετο. τὸ δὲ, αὐτόθεν εἰς αὐλῶνας σκολιοὺς
ἀτάκτως σχιζόμενον. οἱ γὰρ ἐπὶ τοὺς μυχοὺς πόροι καὶ αὔλακες, τῇ
μὲν ἕκαστος ἰδίᾳ τεχνικῶς πλανώμενοι, τῇ δὲ ἀλλήλοις ἐμπίπτον-
τες, καὶ ῥιζηδὸν πλεκόμενοι, πρὸς μίαν εὐρυχωρίαν τὴν ἐπὶ τὸν πυ-
θμένα συρρέοντες, ἀνεστομοῦντο. καθ' ὃ καὶ φέγγος ἀμυδρὸν ἔκ τι-
νος διατρήσεως πρὸς ἄκροις τῆς λίμνης ἐνέπιπτεν. ἐνταῦθα ὡς κα-
θῆκε τὴν χαρίκλειαν ὁ κνήμων, καὶ πρὸς τὸ ἔσχατον τοῦ ἄντρου διε-
βίβασε τῇ πείρᾳ χειραγωγήσας, πολλὰ καὶ ἐπιθαρσύνας, καὶ ὡς
εἰς ἑσπέραν ἅμα τῷ θεαγένει φοιτήσειν κατεπαγγειλάμενος, οὐ γὰρ
ἐπιτρέψειν αὐτῷ συμπλακῆναι τοῖς πολεμίοις, ἀλλὰ διαδρᾶσαι
ἔτι τὴν μάχην, οὐδὲν φθεγξαμένην, ἀλλ' ὥσπερ θανάτῳ τῷ κακῷ
βεβλημένην, καὶ ὥσπερ ψυχῆς τοῦ θεαγένους ἀφῃρημένην, ἄπνουν
καὶ σιγῶσαν ἀπολιπὼν, ἀνεδύετο τοῦ σπηλαίου, καὶ τὸν οὐδὸν

ἀνεδύετο τοῦ σπηλαίου

ἐπαγαγὼν, καί τι ὑποδακρύσας, αὐτόν τε τῆς ἀνάγκης, κἀκείνην
τῆς τύχης, ὅτι μονονουχὶ ζῶσαν εἴη καταθάψας, καὶ τὸ φαιδρότα-
τον τῶν ἐν ἀνθρώποις χαρίκλειαν νυκτὶ καὶ ζόφῳ παραδεδωκὼς,





ἀπέτρεχεν ὡς τὸν θύαμιν, καὶ καταλαμβάνει ζέοντα πρὸς τὴν
μάχην, καὶ αὐτόν τε ἅμα τῷ θεαγένει, λαμπρῶς ἐξωπλισμένον,
καὶ τοὺς ἤδη περὶ αὐτὸν συνειλεγμένους, πρὸς τὸ μανικώτερον τῷ λό-
γῳ παρασκευάζοντα. στὰς γὰρ εἰς μέσους ἔλεγε. συστρατιῶται, προ-
τρέπειν μὲν ὑμᾶς, οὐκ οἶδ' ὅτι δεῖ διὰ πλειόνων. αὐτούς τε ὑπο-
μνήσεως οὐδὲν δεομένους ἀλλὰ βίον ἀεὶ τὸν πόλεμον ἡγουμένους, καὶ
ἄλλως τῆς ἀπροσδοκήτου τῶν ἐναντίων ἐφόδου, τὸ παρέλκον τῶν λό-
γων ὑποτεμνομένης. ὧν γὰρ ἐν ἔργοις οἱ πολέμιοι, τούτοις μὴ διὰ τῶν
ὁμοίων σὺν τάχει τὴν ἄμυναν ἐπάγειν, παντάπασίν ἐστιν τοῦ προ-
σήκοντος ὑστερούντων. εἰδότες οὖν ὡς οὐχ ὑπὲρ γυναικῶν ἐστὶ καὶ
παίδων λόγος, ὃ δὴ πολλοῖς εἰς τὸ παροξῦναι, καὶ μόνον πρὸς μά-
χην ἤρκεσε. καὶ ταυτὶ γὰρ ἡμῖν ἐλάττονος λόγου, καὶ τοσαῦτα ἔ-
χειν ἔξεσται, ὅσα καὶ νικᾶν περιγίνεται, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ εἶναι,
καὶ ψυχῶν τῶν ἡμετέρων. οὐ γὰρ ἐπὶ ῥητοῖς ποτε λῃστρικοῖς ἔληξε
πόλεμος. οὐδὲ ἐν σπονδαῖς ἔσχε τὴν τελευτήν. ἀλλ' ἢ περιεῖναι
κρατοῦντας, ἢ τεθνάναι τοὺς ἁλόντας ἀναγκαῖον. οὕτω τοῖς ἐχθί-
στοις, ψυχήν τε ἅμα καὶ τεθηγμένοι συμπίπτωμεν. ταῦτα εἰπὼν,
τὸν ὑπασπιστὴν περιεσκόπει, καὶ ὀνομαστὶ θέρμουθιν ἐκάλει πολλά-
κις. ὡς δὲ ἦν οὐδαμοῦ, πολλὰ διαπειλήσας, ἐπὶ τὴν πορθμίδα δρο-
μαῖος ἐσπούδαζεν. ὁ γὰρ πόλεμος ἤδη συνερράγειν, καὶ παρῆν
ὁρᾶν καὶ πόρρωθεν τοὺς τὰ ἔσχατα ἐπὶ τὰς εἰσβολὰς τῆς λίμνης οἰ-
κοῦντας ἁλισκομένους. οἱ γὰρ ἐπεληλυθότες τῶν ὑποπιπτόντων, ἢ
καὶ φυγῇ χρωμένων, τὰ σκάφη καὶ τὰς καλύβας ἐνεπίμπρασαν.
ὑφ' ὧν τῆς φλογὸς ἐπὶ τὸ πλησίον ἕλος διαρριπιζομένης, καὶ τὸν
πολὺν κατ' αὐτὸ κάλαμον σωρηδὸν νεμομένης, ἄφραστόν τι καὶ
ἀφόρητον ἐπὶ τοὺς ὀφθαλμοὺς σέλας ἔμπυρον. ἐπὶ δὲ τὴν ἀκοὴν ἦχος
κατάκροτος ἐπεφέρετο. καὶ πολέμου πᾶν εἶδος καὶ ἐνηργεῖτο καὶ

κατάκροτος ἦχος

ἐξηκούετο. τῶν μὲν ἐγχωρίων προθυμίᾳ καὶ ῥώμῃ πάσῃ τὴν μάχην
ὑφισταμένων. τῶν δὲ τῷ τε πλήθει καὶ τῆς ἐφόδου τῷ ἀπροσδοκή-
τῳ πλεῖστον ὑπερφερόντων, καὶ τοὺς μὲν ἐπὶ γῆς ἀναιρούντων, τοὺς
δὲ εἰς τὴν λίμνην, αὐτοῖς σκάφεσι καὶ αὐτοῖς οἰκήμασι βαπτιζόντων.
ὑφ' ὧν ἁπάντων δοῦπός τις πρὸς τὸν ἀέρα συμμιγὴς ἤρετο, πε-
ζομαχούντων ὁμοῦ καὶ ναυμαχούντων, ὀλλύντων τε καὶ ὀλλυμένων.

αἵματι τὴν λίμνην φοινιττόντων, πυρὶ δὲ καὶ ὕδατι συμπλεκομένων. ἅπερ ὡς εἶδέ τε καὶ ἤκουσεν ὁ θύαμις, ἐνθύμιον αὐτῷ τὸ ὄναρ γίγνεται. καθὸ τὴν ἶσιν ἑώρα, καὶ τὸν νεὼν ἅπαντα λαμπάδων καὶ θυσιῶν ἀνάμεστον, καὶ ταῦτα ἐκεῖνα εἶναι τὰ νῦν ὁρώμενα. καὶ πρὸς τὰ ἐναντία τῶν προτέρων τὴν ὄψιν συνέβαλλεν. ὡς ἔχων οὐκ ἕξει τὴν χαρίκλειαν, ὑπὸ τοῦ πολέμου ταύτης ἀφαιρεθείσης, καὶ ὡς φονεύσει καὶ οὐ τρώσει ξίφει. καὶ οὐκ ἀφροδίτης νόμῳ, καὶ πολλὰ τῇ θεῷ ὡς δολερᾷ ὀνειδίσας, καὶ δεινὸν ἡγησάμενος εἴ τις ἄλλος ἐγκρατὴς ἔσται χαρικλείας, μικρὸν ὑπέχειν τοὺς σὺν αὐτῷ κελεύσας, ἕως ἂν τὸ ὑπομένοντας ποιεῖσθαι δοκῇ τὴν μάχην φράξας κλοπεύοντας περὶ τὸ νησίδιον, καὶ διὰ τῶν περιξ ἑλῶν κρυφίους τὰς ἐμβολὰς ποιουμένους, ἀγαπητῶς γὰρ ἄν, καὶ οὕτως ἀντισχεῖν πρὸς τὸ πλῆθος τῶν πολεμίων, αὐτὸς δῆθεν ὡς τὸν θέρμουθιν ἐπιζητήσων, καὶ τοῖς ἑστίοις θεοῖς κατευξόμενος, ἐπιτρέψαι τε μηδενὶ συγχωρήσας, ἐπὶ τὸ δωμάτιον ἐμμανὴς ἀνέστρεφε. δυσανάκλητον δὲ πρὸς ὅπερ ἂν ὁρμήσῃ τὸ βάρβαρον ἦθος. κἂν ἀπογνῷ τὴν αὐτοῦ σωτηρίαν, ἅπαν τὸ φίλον εἴωθεν ἤτοι συνέσεσθαι αὐτοῖς καὶ μετὰ θάνατον ἀπατώμενον, ἢ χειρὸς πολεμίας καὶ ὕβρεως ἐξαιρούμενον. ὑφ᾽ ὧν καὶ ὁ θύαμις τῶν μὲν ἐν χερσὶ πάντων ἀμνημονήσας, καὶ ταῦτα ὥσπερ ἄρκυσι τοῖς πολεμίοις κεκυκλωμένος. ἔρωτι δὲ καὶ ζηλοτυπίᾳ καὶ θυμῷ κάτοχος, ἐπὶ τὸ σπήλαιον ἐλθὼν ὡς εἶχε δρόμου καθαλλόμενος, ἐμβοῶν τε μέγα καὶ πολλὰ αἰγυπτιάζων, αὐτοῦ που περὶ τὸ στόμιον ἐντυχὼν τινὶ ἑλληνίδι γλώττῃ προσφθεγγομένῃ, ἀπὸ τῆς φωνῆς ἐπ᾽ αὐτὴν χειραγωγηθεὶς, ἐπιβάλλει τε τῇ κεφαλῇ τὴν λαιὰν χεῖρα, καὶ διὰ τῶν στέρνων παρὰ τὸν μαζὸν ἐλαύνει τὸ ξίφος, καὶ ἡ μὲν ἔκειτο πικρῶς. ἐλεεινόν τε ἅμα καὶ ἔσχατον κωκύσασα. ὁ δὲ, ἀναδραμὼν, καὶ τὸν οὐδὸν ἐπαγαγὼν, καὶ χνοῦν ὀλίγον ἐπιφορήσας, καὶ ταῦτά σοι τὰ παρ᾽ ἡμῶν νυμφικὰ δῶρα σὺν δάκρυσιν εἰπὼν, ἐπί τε τὰ σκάφη παραγενόμενος, τούς τε ἄλλους καταλαμβάνει δρασμὸν ἤδη βουλεύοντας, τῶν πολεμίων ἐγγύθεν ὁρωμένων, τόν τε θέρμουθιν ἥκοντα καὶ τὸ ἱερεῖον μεταχειριζόμενον. καὶ τὸν μὲν λοιδορησάμενος, εἰπών τε, ὡς ἔφθη τὸ κάλλιστον θυμάτων ἱερουργήσας, ἐπιβαίνει τε τοῦ σκάφους αὐτός τε καὶ ὁ θέρ-

οὐδὸν ἐπαγαγών



ὁ θέρμουθις, καὶ τρίτος ὁ ἐρέτης. οὐ γὰρ πλείονας οἷά τε φέρειν τὰ λιμναῖα σκάφη, ἀπὸ μόνου ξύλου καὶ πρέμνου παχέος ἑνὸς, ἀγροικότερον κοιλαινόμενα. συναπαίρει δὲ καὶ ὁ θεαγένης ἅμα τῷ κνήμωνι καθ᾽ ἕτερον σκάφος, καὶ ἄλλος κατ᾽ ἄλλο πορθμεῖον, καὶ οὕτως ἅπαντες. ἐπεὶ δὲ τῆς νήσου μικρὸν ἄποθεν ἤραντο καὶ περιπλεύσαντες μᾶλλον ἢ ἀποπλεύσαντες, ἐπέσχον τὴν εἰρεσίαν, καὶ τὰ σκάφη διέταττον ὥσπερ μέτωπον, ὡς ἐναντίοι τοὺς πολεμίους δεξάμενοι, πλησιάσαντας μόνον, καὶ μὴ δὲ τὸ ῥόθιον ὑπενεγκόντες, οἱ μὲν ἄλλοι πάντες, ὁμοῦ τε εἶδον καὶ ἔφυγον. οὐδὲ τὸν ἐνυάλιον, ἔνιοι κέλαδον ἀνασχόμενοι. ὑπεχώρουν δὲ, θεαγένης τε καὶ ὁ κνήμων, οὐ πρὸς τὸν φόβον τὸ πλέον ἐνδόντες. μόνος δὲ ὁ θύαμις, τὸ μέν τοι τὴν φυγὴν ἴσως αἰσχυνόμενος, τάχα δέ που καὶ εἶναι μετὰ χαρίκλειαν οὐκ ἀνεχόμενος, ἐνέβαλεν ἑαυτὸν τοῖς πολεμίοις. ἤδη δὲ εἰς χεῖρας ὄντων, ἀνεβόησέ τις. οὗτος ἐκεῖνος ὁ θύαμις. φυλάττου πᾶς, καὶ παραχρῆμα τὰ σκάφη πρὸς κύκλον ὑποστρέψαντες, εἶχον ἐν μέσῳ. τοῦ δὲ ἀμυνομένου, καὶ τῷ δόρατι τοὺς μὲν τρώσαντος, τοὺς δὲ, ἀνελόντος, θαύματος ἦν ἐπέκεινα τὸ γιγνόμενον. εἷς γὰρ οὐδεὶς ξίφος οὔτε ἔβαλεν, οὔτε ἔφερεν. ἀλλὰ πᾶσαν ἕκαστος εἰσεφέρετο σπουδὴν ζῶντα λαβεῖν. ὁ δὲ, ἀντεῖχεν ἐπὶ πλεῖστον. ἕως ἀφαιρεῖται μὲν τοῦ δόρατος πλειόνων ἅμα ἐπιλαβομένων. ἀποβάλλει δὲ καὶ τὸν ὑπασπιστὴν, λαμπρῶς μὲν συναγωνισάμενον, τραυματίαν δὲ ὥσπερ ἐδόκει καιρίως γεγενημένον, καὶ πρὸς τὸ ἀνέλπιστον ἐνδόντα, εἴς τε τὴν λίμνην ἑαυτὸν καθέντα, καὶ βολῆς ἐκτὸς ἐμπειρίᾳ τοῦ νεῖν ἀναδύντα, χαλεπῶς τε πρὸς τὸ ἕλος ἀπονηξάμενον, καὶ ταῦτα οὐδενὸς τὴν ἐπιδίωξιν φροντίσαντος. ἤδη γὰρ τὸν θύαμιν ᾑρήκεσαν, καὶ νίκην ὁλόκληρον τὴν ἑνὸς ἀνδρὸς ἅλωσιν ἡγοῦντο. καὶ τοσούτοις τοῖς φιλίοις ἐλάττους γεγονότες, πλέον ἔχαιρον τὸν αὐτόχειρα ζῶντα περιέποντες, ἢ τοὺς οἰκείους ᾤκτειρον ἀποβεβληκότες. οὕτως ἄρα λῃσταῖς καὶ ψυχῶν αὐτῶν ἐστὶ χρήματα προτιμότερα. καὶ τὸ φιλίας ὄνομα, καὶ συγγενείας, πρὸς ἓν τὸ κέρδος ὁρίζεται. ὡς δὴ καὶ τούτοις συνέβαινεν. ἐτύγχανον μὲν γὰρ ὄντες τῶν τὸν θύαμιν καὶ τοὺς σὺν αὐτῷ κατὰ τὰς

ἔθιον

ὡς γὰρ οὐδείς

περιέποντες

ἡρακλεωτικὰς ἐκβολὰς ἀποδράντων. ἀγανακτήσαντες δὲ ὅτι
τῶν ἀλλοτρίων ἐστέρηντο, καὶ τὴν ἀφαίρεσιν τῶν σκύλων, ὡς ἰδίων πε-
ριαλγήσαντες, τούς τε ὑπολειφθέντας αὐτῶν οἴκοι συλλεξάμε-
νοι, καὶ τὰς πέριξ ὁμοίως κώμας προσκαλεσάμενοι, ἐπὶ ὁμοίᾳ, καὶ
ἴσῃ τῶν ληφθησομένων διανομῇ, τῆς μὲν ἐφόδου κατέστησαν ἡγε-
μόνες. τὴν δὲ θύαμιν ἐζώγρουν ἐπὶ τοιάνδε τινὰ αἰτίαν. πετόσι-
ρις ἀδελφὸς ἦν αὐτῷ ἐπὶ τὴν μέμφιν. οὗτος ἐπιβουλῇ τὴν ἱερω- Petosiris
σύνην τῆς προφητείας παρὰ τὸ πάτριον τὸν θύαμιν παρελόμενος,
νεώτερος αὐτὸς ὤν, τὸν πρεσβύτερον ἐξάρχειν ληστρικοῦ πυνθα-
νόμενος, δεδιὼς μὴ καιροῦ λαβόμενος ἐπέλθοι ποτὲ, ἢ καὶ χρό-
νος τὴν ἐπιβουλὴν φωράσειεν, ἅμα δὲ καὶ ὑποψίας εἶναι παρὰ τοῖς
πολλοῖς αἰσθόμενος, ὡς ἀνῃρηκὼς τὸν θύαμιν οὐ φαινόμενον, χρή-
ματα πάμπολλα καὶ βοσκήματα τοῖς ζῶντα προσκομίσασιν εἰς
τὰς κώμας τὰς ληστρικὰς διαπέμπων ἐπεκήρυξεν. ὑφ' ὧν ἁλόν-
τες οἱ λῃσταὶ, καὶ μηδὲ παρὰ τὸ ζέον τῆς μάχης τῆς μνήμης τὸ κέρδος
ἀποβαλόντες, ἐπειδή τις ἐγνώρισε, πολλῶν θανάτων ἐζώγρη-
σαν, καὶ τὸν μὲν δέσμιον ἐπὶ τὴν γῆν παραπέμπουσι. τὴν ἡμί- Thyamis captus
σειαν αὐτῷ μοῖραν εἰς τὴν φυλακὴν ἀποκληρώσαντες. καὶ πολ-
λὰ τῆς δοκούσης φιλανθρωπίας ἐπιμεμφόμενον, καὶ τὸν δεσμὸν ἀ-
γανακτοῦντα μᾶλλον ἢ θάνατον. οἱ δὲ ὑπόλοιποι πρὸς τὸ νησίον
ἐτράπησαν, ὡς τὰ ἐπιζητούμενα κειμήλια κατ' αὐτὸν εὑρήσοντες.
ὡς δὲ πᾶσαν ἐπιδραμόντες, καὶ μέρος οὐδὲν ἀζήτητον ἀπολιπόν-
τες, οὐδὲν γοῦν τῶν ἐλπισθέντων, ἢ μικροῖς ἐπετύγχανον, εἴ τι καὶ πε-
ριελέλειπτο ἐπὶ τὸ σπήλαιον ὑπὸ τῇ γῇ κρυπτόμενον, πῦρ ἐπὶ τὰς
σκηνὰς ἐμβαλόντες, ἑσπέρας ἤδη προσιούσης, καὶ φόβον
ἐγκαταμεῖναι τῇ νήσῳ παρεχούσης, δέει τοῦ μὴ λο-
χηθῆναι πρὸς τῶν διαδράντων, ἐπὶ τὰ οἰ-
κεῖα ἀπεχώρησαν.



# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙ-
# ΚΩΝ ΛΟΓΟΣ Β.

Η ΜΕΝ δὴ νῆσος ὧδε ἐπυρπολεῖτο. τοὺς δὲ ἀμφὶ τὸν
θεαγένην καὶ τὸν κνήμωνα, ἕως μὲν ἥλιος ἦν ὑπὲρ
γῆν, τὸ κακὸν ἐλάνθανεν. ἡ γὰρ πυρὸς ὄψις ἀμαυ-
ροῦται δι' ἡμέρας, ὑπὸ τῶν ἀκτίνων τοῦ θεοῦ καταυ-
γαζομένη. ἐπειδὴ δὲ ἔδυ, καὶ νύκτα ἐπήγαγεν, ἥ τε
φλὸξ ἀπρόσμαχον τὴν αὐγὴν ἀπολαβοῦσα καὶ πορρωτάτω διε-
φαίνετο, αὐτοί τε τοῦ ἕλους τῇ νυκτὶ θαρροῦντες προέκυψαν, καὶ
λαμπρῶς ἤδη τὴν νῆσον ὑπὸ τοῦ πυρὸς ἐχομένην ὁρῶσι, καὶ ὁ μὲν
θεαγένης παίων τὴν κεφαλὴν καὶ τίλλων τὰς τρίχας, ἐρρίφθω
φησὶν ὁ βίος εἰς τὴν τήμερον. ἠνύσθω, λελύσθω πάντα. φόβοι, κίν-
δυνοι, φροντίδες, ἐλπίδες, ἔρωτες. οἴχεται χαρίκλεια. θεαγένης
ἀπόλωλε, μάτην ὁ δυστυχὴς δειλὸς ἐγενόμην, καὶ δρασμὸν ὑπέ- Theagenis thre-
στην ἄνανδρον. σοὶ γλυκεῖα περισώζων ἐμαυτόν. οὐ μὴν ἔτι σωθή- ni putantis Cha-
σομαι σοῦ φιλτάτη κειμένης. οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ τὸ χα- ricleã mortuã
λεπώτατον. οὐδὲ ἐν χερσὶν ἀπολιπούσης τὸν βίον ὡς ἠβουλήθης.
ἀλλὰ πυρὸς οἴμοι γέγονας ἀνάλωμα. τοιαύτας ἐπὶ λαμπάδας
ἀντὶ τῶν νυμφικῶν τοῦ δαίμονος ἅψαντος, καὶ δεδαπάνηται τὸ
ἐξ ἀνθρώπων κάλλος ὡς μηδὲ λείψανον τῆς ἀψευδοῦς ὡραιότη-
τος, ἀλλὰ νεκροῦ γοῦν ὑπολελεῖφθαι τοῦ σώματος. ὢ τῆς ὠμότητος,
καὶ τῆς ἀρρήτου τοῦ δαίμονος βασκανίας. προσαφῄρηταί με καὶ τὰ
τελευταῖα περιβαλεῖν. ἐσχάτων φιλημάτων καὶ ἀψύχων ἀπεστε-
ρήθην, ταῦτα λέγοντος, καὶ τὸ ξίφος περισκοποῦντος, ὁ κνήμων
ἀθρόον τῆς χειρὸς ἀπεκρούσατο. καὶ τί ταῦτα ἔλεγεν ὦ θεάγενες.
τί τὴν οὖσαν θρηνεῖς. ἔστι χαρίκλεια καὶ σώζεται. θάρσει, τοῦ δὲ, πρὸς
ἄφρονας ταῦτα καὶ παῖδας ὦ κνήμων εἰπόντος, ἀπόλωλε καὶ με
τὸν ἥδιστον ἀφελόμενος θάνατον. ἐπώμνυεν ὁ κνήμων, καὶ ἅπαν-
τα ἔλεγε. τὸ πρόσαγμα τοῦ θυάμιδος. τὸ σπήλαιον. ὡς καθῆκεν
αὐτός. ὡς ἔχει φύσεως τὸ ἄντρον. ὡς οὐδὲν δέος εἰς τὸ βάθος διι-
κνεῖσθαι τὸ πῦρ, ὑπὸ τῶν ἀπείρων ἑλιγμῶν ἀποκοπτόμενον. ἀνέπνει
πρὸς ταῦτα ὁ θεαγένης, καὶ πρὸς τὴν νῆσον ἔσπευδε, καὶ τὴν οὐ

περιοῦσαν περὶ νῶ προὔβλεπε, καὶ θάλαμον ἑαυτῷ τὸ σπήλαιον ἀνέ-
πλαττε, σὺν ἐσομένης αὐτῷ κατ' αὐτὸ θρήνους ἀγνοῶν. ἀνήγοντο
οὖν ἐπεσπουδασμένως αὐτερέται τὸν πλοῦν ἀνύοντες. ὁ γὰρ δὴ πορ-
θμεύων αὐτοῖς παρὰ τὴν πρώτην συμβολὴν καθάπερ ἀπὸ ὕσπλη-
γος τῆς βοῆς ἀπεσφενδόνητο. τῇδε οὖν κἀκεῖσε παρεφέροντο τοῦ
εὐθέως. οἷα δὴ ἀπειρίᾳ τε τὴν εἰρεσίαν οὐχ ὁμοζυγοῦντες. καί τι
καὶ ἀνέμου πρὸς ἐναντίον ἐμπίπτοντος. ἀλλ' ἐνίκα τὴν ἀτεχνίαν, τὸ
γνώμης τὸ πρόθυμον. χαλεπῶς τε καὶ σὺν ἱδρῶτι πολλῷ τῇ νή-
σῳ προσορμίσαντες, ὡς εἶχον τάχους ἐπὶ τὰς σκηνὰς ἀνέτρεχον,
καὶ τὰς μὲν καταλαμβάνουσιν ἤδη κατηθαλωμένας, καὶ περὶ τόπῳ
μόνῳ γνωριζομένας. τὸν λίθον δὲ τὸν οὐδὸν τοῦ σπηλαίου τὸ κά-
λυμμα διαφαινόμενον. ὁ γὰρ ἄνεμος ἐπίφορος ταῖς καλύβαις ἐμ-
πνεύσας, καὶ οἷα δὴ λεπτοῖς καλάμοις, καὶ τοῖς ἑλείοις διαπλό-
κοις τῇ ῥιπῇ παρὰ πάροδον καταφλέξας μικροῦ καὶ ἰσόπεδον ἐπεδεί-
κνυ τὸ ὑποκείμενον. τῆς μὲν φλογὸς ὀξέως μαρανθείσης, καὶ εἰς τέ-
φραν ἀναλυθείσης. τῆς δὲ σποδιᾶς, τῆς μὲν πολλῆς περὶ ῥοίζῳ περι-
ενεχθείσης. ὀλίγης δὲ τῆς ὑπολειπομένης, πρὸς τὸ πνέον ἁπάσης σχε-
δὸν ἀποσβεσθείσης, καὶ πρὸς τὸ βάσιμον ἀποψυγείσης. δᾷδας
οὖν ἡμιφλέκτους ἀνευρόντες, καὶ λείψανα καλάμων ἐξάψαντες,
καὶ τὸ στόμιον ἀνοίξαντες κατέθεον ἡγουμένου τοῦ κνήμωνος. ἐπεὶ δὲ
ὀλίγον ἀπέδυσαν, ἀθρόον ὁ κνήμων ἀνέκραγεν. ὦ Ζεῦ τί τοῦτο. ἀ-
πολώλαμεν. ἀνῄρηται χαρίκλεια, καὶ τότε λαμπάδιον εἰς τὴν
γῆν καταβαλὼν ἀπέσβεσε, καὶ περὶ χεῖρε τοῖς ὀφθαλμοῖς ἐπαγὼν,
εἰς γόνυ τε ὀκλάσας, ἐθρήνει. ὁ δὲ θεαγένης ὥσπερ τινὸς πρὸς βίαν
ὤσαντος ἐπὶ τὸ σῶμα τῆς κειμένης, κατενεχθεὶς, ὁ μὲν, ἐπὶ πλεῖ-
στον ἀπρὶξ εἴχετο, καὶ προσεπεφύκει πανταχόθεν ἐναγκαλιζόμε-
νος. ὁ δὲ κνήμων ὅλον ὄντα πρὸς τῷ πάθει καταμαθὼν, καὶ τῇ συμ-
φορᾷ βεβαπτισμένον, δεδιώς τε μή τι κακὸν ἑαυτῷ ἐργάσηται.
τὸ ξίφος ὑφαιρεῖ λάθρα τῆς θήκης ὑπὸ τὴν πλευρὰν αἰωρουμένης.
καὶ μόνον καταλιπὼν ἀνέδραμεν ὡς τὰς δᾷδας ἀναψάμενος, κἂν
τούτῳ τραγικόν τι καὶ γοερὸν ὁ θεαγένης βρυχώμενος, ὢ πάθους ἀ-
τλήτου φησίν. ὢ συμφορᾶς θεηλάτου. τίς οὕτως ἀκόρεστος ἐριννὺς,
τοῖς ἡμετέροις κακοῖς ἐνεβάκχευσε. φυγὴν τῆς ἐνεγκούσης ἐπιβα-
λοῦσα.

αὐτερέται

ὁμοζυγοῦντες

τὸν λίθον τὸν οὐδὸν τοῦ σπηλαίου

ἀθρόον ἀνέκραγε

Charicleamortua

ἀπρίξ

τῇ συμφορᾷ βεβαπτισμένος



λοῦσα. κινδύνοις θαλασσῶν. κινδύνοις πειρατηρίων ὑποβαλοῦσα.
λῃσταῖς παραδοῦσα πολλάκις. τῶν ὄντων ἀλλοτριώσασα. ἓν μόνον ἀν-
τὶ πάντων ὑπελείπετο, καὶ τοῦτο ἀνήρπασαι. κεῖται χαρίκλεια, καὶ
πολεμίας χειρὸς ἔργον ἡ φιλτάτη γεγένηται. δῆλον μὲν ὡς σωφρο-
σύνης ἀντεχομένη, καὶ ἐμοὶ δῆθεν ἑαυτὴν φυλάττουσα. κεῖται οὖν
ὅμως ἡ δυστυχής. οὐδὲν μὲν αὐτὴ τῆς ὥρας ἀποναμένη, εἰς οὐδὲν ὄφε-
λος ἐμοὶ γενομένη. ἀλλ' ὦ γλυκεῖα πρόσφθεγξαι τὰ τελευταῖα καὶ
εἰωθότα. ἐπίσκηψον εἴ τι κατὰ μικρὸν ἐμπνεῖς. οἴμοι σιωπᾷς, καὶ τὸ
μαντικὸν ἐκεῖνο καὶ θεηγόρον στόμα σιγὴ κατέχει, καὶ ζόφος τὴν πυρ-
φόρον, καὶ χάος τὴν ἐκ τῶν ἀνακτόρων κατείληφεν. ὀφθαλμοὶ δὲ
ἀφεγγεῖς, οἱ πάντας τῷ κάλλει καταστράψαντες. οὓς οὐκ εἶδεν ὁ φο-
νεύσας. οἶδα ἀκριβῶς. ἀλλ' ὦ τί ἄν σε τίς ὀνομάσειε. νύμφην; ἀλλ'
ἀνύμφευτος. γαμετήν; ἀλλ' ἀπείρατος. τίνα οὖν ἀνακαλέσω. τί-
να προσφθέγξομαι λοιπὸν, ἢ ἄρα τὸ πάντων ὀνομάτων ἥδιστον,
χαρίκλεια. ὦ χαρίκλεια, θάρσει, πιστὸν ἔχεις τὸν ἐρώμενον. ἀπολήψῃ
με μικρὸν ὕστερον. ἰδοὺ γάρ σοι χοὰς ἐπάξω τὰς ἐμαυτοῦ σφαγάς.
καὶ σπείσομαι τὸ σοὶ φίλιον αἷμα τοὐμόν. ἕξει δὲ ἡμᾶς αὐτοσχέδιον
μνῆμα τὸ δὲ τὸ σπήλαιον. ἐξέσται πάντως ἀλλήλοις συνεῖναι με-
τά γοῦν θάνατον, εἰ καὶ ζῶσιν ὁ δαίμων οὐκ ἐπέτρεψε, καὶ ἅμα λέ-
γων, ἐπέβαλε τὴν χεῖρα ὡς τὸ ξίφος σπασόμενος. ὡς δὲ οὐχ εὕρισκεν,
ὢ κνήμων ἐβόησεν, ὡς σύ με ἀπολώλεκας. προηδίκησας δὲ καὶ χα-
ρίκλειαν. τῆς ἡδίστης αὐτὴν κοινωνίας. ἤδη δεύτερον ἀποστερήσας,
καὶ ταῦτα διεξιόντος, ἐκ μυχῶν τοῦ σπηλαίου, φωνῆς τις ἦχος ἐξη-
κούετο. θεάγενες καλούσης. ὁ δὲ οὐδὲν ταραχθεὶς, ὑπήκουσέ τε καὶ ἥξω
φιλτάτη ψυχὴ ἔλεγεν. δῆλος εἶ περὶ γῆν ἔτι φερομένη. τὸ μὲν,
ὅτι τοιούτου σώματος, δι' οὗ πρὸς βίαν ἐξηλάθης ἀποστατεῖν οὐ φέρουσα,
τὸ δὲ, διὰ τὸ ἄταφον ἴσως ὑπὸ νερτερίων εἰδώλων εἰργομένη. κἂν
τούτῳ τοῦ κνήμωνος ἅμα δᾳσὶν ἡμμέναις ἐπιστάντος, αὖθις ὁ αὐτὸς
ἦχος ἐξηκούετο, καὶ ἰὼ τὸ λεγόμενον θεάγενες. ὁ δὲ κνήμων ἀναβοή-
σας, ὦ θεοὶ ἔφη οὐ χαρικλείας ἐστὶν ἡ φωνή; σώζεσθαί μοι δοκεῖ θεά-
γενες. ἀπὸ γὰρ τῶν ἐσχάτων, καὶ καθ' ὃ μέρος αὐτὴν οἶδα τοῦ ἄντρου κατα-
λιπὼν, ἡ φωνή μοι βάλλει τὴν ἀκοήν. οὐ παύσῃ ἔφη ὁ θεαγένης ἀ-
πατῶν με πολλάκις; καὶ μὴν ἀπατῶ σε καὶ ἀπατῶμαι τὸ μέρος
εἶπεν

Threni theagenis sup[er] mortua charíclea

αὐτοσχέδιον μνῆμα

εἶπεν ὁ κνήμων, εἰ χαρίκλειαν οὖσαν ταυτηνὶ τὴν κειμένην εὕροιμεν, καὶ ἅμα λέγων, ἀνέστρεφεν ἐπ᾽ ὄψιν τὴν κειμένην, καὶ ἰδὼν τί ποτε ἀνέκραγεν, ὦ δαίμονες τεράστιοι. θίσβης ἡ ὄψις. ὑπέβη δὲ εἰς τοὐπίσω, καὶ τρόμῳ συσχεθεὶς, ἀχανὴς εἱστήκει. ὁ δὲ θεαγένης, ἔμπνους ἐκ τῶνδε γενόμενος, καὶ πρὸς τὸ εὔελπι τὴν γνώμην ἀνατρέψας, ἀνεκαλεῖτό τε λειποψυχοῦντα τὸν κνήμωνα, καὶ παρὰ τὴν χαρίκλειαν ὡς ὅτι τάχιστα ποδηγεῖν ἱκέτευε. μικρὸν οὖν διαλιπὼν εἰς ἑαυτόν τε γενόμενος ὁ κνήμων, τὴν κειμένην αὖθις ἐπεσκοπεῖτο. ἡ δὲ ἦν ἀληθῶς ἡ θίσβη, καὶ ξίφος τε πλησίον ἐκπεπτωκὸς ἐγνώριζον ἀπὸ τῆς λαβῆς. ὃ παρὰ τὸν φόνον ὁ θύαμις ὑπὸ θυμοῦ καὶ σπουδῆς ἐναπέλιπε τῇ σφαγῇ, καὶ δέλτον τινὰ τῶν στέρνων ὑπὸ τῇ μασχάλῃ προκύπτουσαν ἀνελόμενος, ἐπειρᾶτο τὶ τῶν ἐγγεγραμμένων ἐπιγνῶναι. ἀλλ᾽ ὁ θεαγένης οὐκ εἴα λιπαρῶς ἐγκείμενος, καὶ τὴν φιλτάτην λέγων κομιζώμεθα πρότερον, εἰ μή τις ἡμᾶς παίζει καὶ νυνὶ δαίμων. ταῦτα δὲ ἐξέσται καὶ μετὰ ταῦτα γινώσκειν. ἐπείθετο ὁ κνήμων, καὶ τήν τε δέλτον ἐπικομιζόμενοι, καὶ τὸ ξίφος ἀνελόμενοι, παρὰ τὴν χαρίκλειαν ἔσπευδον. ἡ δὲ χερσί τε ἅμα
∴ καὶ ποσὶν ἐπὶ τὴν αὐγὴν ἀνερπύσασα, προσδραμοῦσα τε τῷ θεαγένει, τοῦ αὐχένος ἐξεκρέματο, καὶ ἡ μὲν, ἔχω σε θεάγενες. ὁ δὲ, ζῇς μοι χαρίκλεια πολλάκις ἔλεγον, καὶ τέλος εἰς τοὔδαφος ἀθρόον κατεφέροντο, καὶ εἴχοντο ἀλλήλων, ἄναυδοι μὲν, ἀλλ᾽ ὥσπερ ἡνωμένοι,
» καὶ μικροῦ ἔδει ἀποθνήσκειν αὐτούς. οὕτως ἄρα καὶ τὸ χαρᾶς ὑ-
» περβάλλον, εἰς ἀλγεινὸν περιέστη πολλάκις, καὶ τῆς ἡδονῆς τὸ ἄμετρον,
» ἐπίσπαστον λύπην ἐγέννησεν. ὡς δὴ κἀκεῖνοι παρ᾽ ἐλπίδα σωθέντες ἐκινδύνευον, ἕως ὁ κνήμων πίδακά τινα διασμώμενος, καὶ τὴν συρρυεῖσαν κατὰ βραχὺ νοτίδα, κοίλαις ταῖς χερσὶν ὑδρευσάμενος, τό πρόσωπόν τε αὐτῶν ἐπέρρωννε, καὶ θαμὰ τῶν ῥινῶν ἐπαφώμενος, ἐπὶ τὸ φρονεῖν ἐπανήγαγεν. οἱ δὲ, ἑτέρως μὲν ἀλλήλοις ἐντυχόντες, ἑαυτούς τε κειμένους καταλαβόντες, ὀρθωθέντες τὸ ἀθρόον, ἠρυθρίων τὸν κνήμωνα, καὶ πλέον ἡ χαρίκλεια, θεωρὸν τῶνδε γεγενημένον, καὶ νέμειν συγγνώμην ἱκέτευον. ὁ δὲ, ἐπιμειδιάσας, καὶ πρὸς τὸ φαιδρότερον αὐτοὺς ἀνιεὶς, ταῦτα μὲν ἔφη καὶ ἐπαίνων ἄξια κατ᾽ ἐμὲ κριτὴν καὶ ἄλλον, ὅστις ἔρωτι προσπαλαίσας,

διασμώμενος



σας, ἡττήθη τὴν μάχην ἡδέως, καὶ τὰ ἐκείνου σωφρόνως ἔγνωκεν ἀπαραίτητα πτώματα. ἀλλ᾽ ἐκεῖνα ὦ θεάγενες, οὔτε ἐπαινεῖν εἶχον, ἅπερ ᾐσχυνόμην τε καὶ ὁρῶν ὡς ἀληθῶς, ὅτε τὴν ξένην καὶ προσήκουσαν οὐδαμόθεν γυναῖκα περιπεσὼν ἐθρήνεις ἀγεννῶς, καὶ ταῦτα παρεῖναι καὶ ζῆν σοι τὴν φιλτάτην ἐμοῦ διατεινομένου, καὶ ὁ θεαγένης. παῦε φησὶν ὦ κνήμων διαβάλλων με πρὸς χαρίκλειαν, ἣν ἐθρήνουν ἐν ἀλλοτρίῳ σώματι, ταύτην εἶναι τὴν κειμένην ἡγούμενος. ἐπεὶ δὲ ἀπάτην ἐκεῖνα θεῶν τις εὖγε ποιῶν ἔδειξεν, ὥρα σοι σαυτὸν ὑπομνῆσαι τῆς ἀνανδρείας, ὑφ᾽ ἧς ἐθρήνεις μὲν ἐμοῦ τὰ ἐμὰ πρότερος, τὴν δὲ ἀπροσδόκητον τῆς κειμένης ἐπίγνωσιν, ὥσπερ ἐπὶ σκηνῆς δαίμονας ἀπεδιδράσκες, ἔνοπλος καὶ ξιφήρης τὴν γυναῖκα νεκρὰν καὶ ταύτην ὑποφεύγων, ὁ γενναῖος καὶ ἀττικὸς πεζομάχος. ἐγέλασαν πρὸς ταῦτα βραχύ τι καὶ βεβιασμένον. οὐδὲ τοῦτο ἀδάκρυτον. ἀλλ᾽ ὡς ἂν, ἐν τοσαύτῃ τῇ συμφορᾷ, πλέον τῷ θρήνῳ κεκερασμένοι. μικρὸν οὖν ἡ χαρίκλεια διαλιποῦσα, καὶ τὴν παρειὰν ὑπὸ τὸ οὖς ἐπικνῶσα, μακαρίζω μὲν ἔφη τὴν θρηνηθεῖσαν ὑπὸ θεαγένους, ἢ καὶ φιληθεῖσαν, ὥς φησι κνήμων, ἥ τίς ποτε καὶ ἐστίν. ἀλλ᾽ εἰ μή τι με δακνομένην ἔρωτι ὑπονοεῖν μέλλετε, τίς ἄρα ἦν ἡ εὐδαίμων ἐκείνη καὶ δακρύων ἀξιωθεῖσα θεαγένους, καὶ τίνα τρόπον τὴν ἄγνωστον ὡς ἐμὲ φιλεῖν ἐξηπατήθης, ἐβουλόμην εἴ πῃ γινώσκεις μανθάνειν. καὶ ὃς θαυμάσεις μὲν ἔφη. θίσβην δ᾽ οὖν εἶναι κνήμων ὁ δὲ φησὶ τὴν ἀθηναίαν ἐκείνην τὴν ψάλτριαν. τὴν τῶν εἰς αὐτὸν ἐπιβουλῶν καὶ δημαινέτης ποιήτριαν. τῆς δὲ χαρικλείας ἐκπεπληγμένης, καὶ πῶς ἦν εἰκὸς ὦ κνήμων εἰπούσης τὴν ἐκ μέσης τῆς ἑλλάδος, ἐπ᾽ ἐσχάτοις γῆς αἰγύπτου καθάπερ ἐκ μηχανῆς ἀναπεμφθῆναι, πῶς δὲ καὶ ἐλάνθανεν ἡμᾶς δεῦρο κατιόντας. ταῦτα μὲν οὐκ ἔχω λέγειν ἀπεκρίνατο πρὸς αὐτὴν ὁ κνήμων. ἃ δ᾽ οὖν ἔχω γινώσκειν ἀμφ᾽ αὐτῆς, τοιάδε ἐστίν. ἐπειδὴ γὰρ ἡ δημαινέτη μετὰ τὴν ἀπάτην εἰς τὸν βόθρον ἑαυτὴν ἀπεκρήμνισεν, ὁ δὲ πατὴρ ἐξήγγειλε τῷ δήμῳ τὸ γεγενημένον, παρὰ μὲν τὴν πρώτην ἐτύγχανε συγγνώμης, καὶ αὐτὸς μὲν ὅπως ἂν, κάθοδόν ἐμοί τε λάβοι παρὰ τοῦ δήμου, καὶ πρὸς ζήτησιν ἐκπλεύσειε τὴν ἐμὴν διετίθετο. ἡ δὲ θίσβη τὴν ἀσχολίαν τῆς

εὖγε ποιῶν

ἐπικνῶσα

ἐκείνου, σχολὴν ἑαυτῆς ἐποιεῖτο, καὶ τοῖς συμποσίοις ἀδεῶς, ἑαυτήν τε καὶ τὴν τέχνην ἐξεμίσθου, καί ποτε καὶ προευδοκιμήσασαν τὴν Ἀρσινόην, ἀναβεβλημένον αὐλοῦσαν, ἐπιτροχάδην αὐτὴ ψάλασα, καὶ γλαφυρὸν τῇ κιθάρᾳ προσάσασα, ἔλαθεν ἑταιρικὴν ζηλοτυπίαν, σὺν πολλῷ καθ' ἑαυτὴν κινήσασα τῷ φθόνῳ, καὶ πλέον ὅτε τις αὐτὴν Ναυκρατίτης ἔμπορος ὑπόχρυσος ὄνομα Ναυσικλῆς ἐνηγκαλίζετο. τὴν Ἀρσινόην, καὶ ταῦτα πρότερον γινωσκομένην αὐτῷ παραγκωνισάμενος. ἐπειδὴ κυρτουμένην αὐτῇ τὴν παρειὰν ἐν τοῖς αὐλήμασιν εἶδε καὶ πρὸς τὸ βίαιον τῶν φυσημάτων, ἀπρεπέστερον ἐπὶ τὰς ῥῖνας ἐνισταμένην, τότε ὄμμα πιμπράμενον, καὶ τῆς οἰκείας ἕδρας ἐξωθούμενον ὑφ' ὧν οἰδουμένη πρὸς χόλον καὶ ζῆλον πυρακτουμένη, τοῖς οἰκείοις τῆς Δημαινέτης προσιοῦσα, τὴν κατ' αὐτῆς ἐπιβουλὴν ὑπὸ τῆς Θίσβης ἐξηγόρευσε. τὰ μὲν, αὐτὴ καθ' αὑτὴν ὑποτοπήσασα. τὰ δὲ, καὶ τῆς Θίσβης αὐτῇ παρὰ τὴν ἑταιρείαν ἐξειπούσης. συνελθόντες οὖν ἐπὶ τὸν πατέρα τὸν ἐμὸν οἱ κατὰ γένος τῇ Δημαινέτῃ προσήκοντες, καὶ τοὺς δεινοτάτους τῶν ῥητόρων πρὸς τὴν κατηγορίαν ἐπὶ πολλοῖς χρήμασιν ἀναβιβασάμενοι, ἄκριτον καὶ ἀνέλεγκτον ἀνῃρῆσθαι τὴν Δημαινέτην ἐβόων, καὶ τὴν μοιχείαν προκάλυμμα τοῦ φόνου συγκεῖσθαι διεξῄεσαν, καὶ ἐπιδεικνῦσαι τὸν μοιχὸν, ἢ ζῶντα ἢ τεθνηκότα ἠξίουν. ἢ καὶ τοὔνομα φράζειν μόνον ἐκέλευον, καὶ τέλος τὴν Θίσβην εἰς βασάνους ἐξῄτουν. ὡς δὲ ὑπισχνούμενος ὁ πατὴρ οὐκ εἶχε παραδοῦναι, προειδομένης ταῦτα ἐκείνης ἔτι τῆς δίκης συνισταμένης, καὶ οὕτω συγκειμένου αὐτῇ πρὸς τὸν ἔμπορον, δρασμῷ χρησαμένης, ὁ δῆμος ἀγανακτήσας, φονέα μὲν οὐκ ἔκρινεν ἅπαντα ὡς ἔλεγεν ὑποθέμενον. ὡς δὲ συναίτιον, τῆς τε εἰς Δημαινέτην ἐπιβουλῆς, καὶ τῆς ἐμῆς ἀδίκου φυγῆς. τοῦ τε ἄστεος ἐδίωξε, καὶ δημοσίᾳ τῶν ὄντων ἐζημίωσε. τοιαύτης τῶν δευτέρων γάμων τῆς πείρας ἀπονάμενος. οὕτω μὲν ἡ κακίστη Θίσβη καὶ δίκας ὑπ' ὄψεσι νυνὶ ταῖς ἐμαῖς ὑποσχοῦσα, τῶν ἀθλίων ἐξέπλευσε. καὶ ταῦτα μόνον ἔχω γινώσκειν, Ἀντικλέους τινὸς κατὰ τὴν Αἴγιναν ἐξαγγείλαντος. ᾧ καὶ δεύτερον εἰς τὴν Αἴγυπτον συνέπλευσα, εἴ πῃ κατὰ τὴν Ναυκρατίαν εὕροιμι τὴν Θίσβην, καὶ εἰς τὰς Ἀθήνας ἐπαναγαγὼν, λύσαιμι μὲν τὰς κατὰ τοῦ πατρὸς ὑπονοίας τε καὶ αἰτίας. ἀπαιτήσαιμι δὲ τῆς εἰς πάντας ἡμᾶς ἐπιβουλῶν τὰς δίκας, ἐνθάδε

νυνὶ

ὑποτοπήσασα



νυνὶ καὶ σὺν ὑμῖν ἐξετάζομαι. τὴν δὲ αἰτίαν, καὶ ὅπως, καὶ ὅσα τοῦ μεταξὺ χρόνου ὑπέστην, εἰσαῦθις ἀκούσεσθε. τὸ δὲ ὅπως ἡ Θίσβη κατὰ τὸ ἄντρον, καὶ πρὸς τίνων ἀνῄρηται, θεοῦ τινὸς ἂν, ἴσως δέοιτο φράζοντος. ἀλλ' εἰ δοκεῖ τὴν δέλτον ἣν πρὸς τοῖς στέρνοις αὐτῆς εὑρήκαμεν, ἐπισκοπῶμεν. εἰκός τι πλέον ἐντεῦθεν ἡμᾶς ἐκμαθεῖν. ἐδόκει ταῦτα. καὶ διανοίξας, ἐπήρχετο, καὶ ἦν τὰ γεγραμμένα, τοιάδε. Κνήμωνι τῷ δεσπότῃ, ἡ πολεμία καὶ ἐπαμύνασα Θίσβη. πρῶτα μὲν εὐαγγελίζομαί σε τὴν Δημαινέτης τελευτήν. δι' ἐμοῦ μὲν ὑπὲρ σοῦ γενομένην. τὸ δὲ ὅπως, εἴ με προσδέξαιο παρὰ σοὶ διηγήσομαι. ἔπειτα φράζω. κατὰ τὴν δέ με νυνὶ εἶναι τὴν νῆσον, δεκάτην ἤδη ταύτην ἡμέραν, πρός τινος τῶν τῇδε λῃστῶν ἁλοῦσαν. ὃς καὶ ὑπασπιστὴς εἶναι τοῦ λῃστάρχου θρύπτεται, κἀμὲ κατακλείσας ἔχει. μηδὲ ὅσον προκύψαι τῶν θυρῶν ἐπιτρέπων. ὡς αὐτός φησι διὰ φιλίαν τὴν πρὸς ἐμὲ ταύτην ἐπιθεὶς τὴν τιμωρίαν. ὡς δὲ ἔχω συμβάλλειν ἀφαιρεθῆναί με πρός τινος δεδιώς. ἀλλ' ἐγώ σε θεῶν τινος ἐνδόντος. καὶ εἶδον ὦ δέσποτα παριόντα καὶ ἐγνώρισα, καὶ τήνδε σοι τὴν δέλτον διὰ τῆς συνοίκου πρεσβύτιδος, λάθρα διεπεμψάμην. τῷ καλῷ καὶ Ἕλληνι καὶ φίλῳ τοῦ ἄρχοντος ἐγχειρίζειν φράσασα. ἐξελοῦ δή με χειρῶν λῃστρικῶν, καὶ ὑπόδεξαι τὴν σαυτοῦ θεραπαινίδα, καὶ εἰ μὲν βούλει σῶζε μαθὼν ὡς ἃ μὲν ἀδικεῖν ἔδοξα, βιασθεῖσα. ἃ δὲ τετιμώρημαι τὴν σοὶ πολεμίαν, ἑκοῦσα διαπραξαμένη. εἰ δὲ ἔχει σέ τις ἀμετάβλητος ὀργή, κέχρησο ταύτῃ κατ' ἐμοῦ πρὸς ὃ βούλει. μόνον ὑπὸ σοὶ γενοίμην, εἰ καὶ τεθνάναι δέοι. βέλτιον γὰρ ὑπὸ χειρῶν ἀνῃρῆσθαι τῶν σῶν, καὶ κηδείας μεταλαβεῖν Ἑλληνικῆς, ἢ θανάτου βαρυτέραν ζωὴν, καὶ φίλτρον βαρβαρικὸν ἔχθρας ἀνιαρότερον τοῦ Ἀττικῆς ἀνέχεσθαι. τοιαῦτα μὲν ἡ Θίσβη καὶ ἡ δέλτος ἔφραζεν. ὁ δὲ Κνήμων ὦ Θίσβη ἔφη σὺ μὲν καλῶς ποιοῦσα τέθνηκας, καὶ γέγονας ἡμῖν αὐτάγγελος τῶν ἑαυτῆς συμφορῶν. ἐξ αὐτῶν ἐγχειρίσασα τῶν σῶν σφαγῶν τὴν διήγησιν. οὕτως ἄρα τιμωρὸς ἐριννὺς τὴν ἐπὶ πᾶσαν ὡς ἔοικεν ἐλαύνουσά σε, οὐ πρότερον ἔστησε τὴν ἔνδικον μάστιγα πρὶν καὶ ἐν Αἰγύπτῳ με τυγχάνοντα τὸν ἠδικημένον, θεατὴν ἐπιστῆσαι τῆς κατὰ σοῦ ποινῆς. ἀλλὰ τίν' ἦν ἄρα, ὃ καὶ πάλιν σε κατ' ἐμοῦ τεχναζομένην καὶ σοφιζουσαν διὰ τοῦ γράμματος, ἡ δίκη προαφείλετο τῶν ἐγχειρημάτων. ὡς κἀγώ σε καὶ κειμένην ἔχω δι' ὑποψίας, καὶ σφόδρα δέδοικα μὴ καὶ πλάσμα οὐδὲν ἡ Δημαινέτης τελευτή, κἀμὲ μὲν ἠπάτησαν οἱ ἐξαγγείλαντες, σὺ δὲ

καὶ διαπόντιος ἥκεις, ἐτόρευσαν καθ' ἡμῶν σκηνὴν ἀττικὴν καὶ ἐν αἰγύπτῳ τραγῳδήσουσι. οὐ παύσῃ ἔφη Θεαγένης ἄγαν ἀνδριζόμενος, εἴδωλά τε καὶ σκιὰς εὐλαβούμενος; οὐ γὰρ δὴ καὶ μέ τε καὶ τὴν ἐμὴν ὄψιν εἴποις ἂν ὡς ἐγοήτευσεν, οὐδὲν κοινωνοῦντα τοῦ δράματος. ἀλλ' ἡ μὲν, κεῖται σῶμα νεκρὸν ὡς ἀληθῶς, καὶ τοῦτό γε ἕνεκα θάρσει παντοίως ὦ Κνήμων. τίς δὲ ἄρα ποτὲ ἐστὶν ὁ σὸς εὐεργέτης, ὁ ταύτην ἀνῃρηκώς. ἢ πῶς δεῦρο καθημένην ἢ πότε, σφόδρα διαπορῶν ἐκπέπληγμαι. τὰ μὲν ἄλλα οὐκ ἔχω λέγειν ἔφη ὁ Κνήμων. ὁ δὲ ἀνῃρηκὼς ἐπίπαν ἐστὶ Θύαμις. εἰ δεῖ τῷ ξίφει τεκμαίρεσθαι, ὃ παρὰ τὴν σφαγὴν εὑρήκαμεν. ἐκείνου γὰρ εἶναι γνωρίζω, καὶ τὸ ἐπίσημον τουτὶ τῆς λαβῆς, ἐλέφας εἰς ἀετὸν ἐκτετόρνευται. ἆρ' οὖν εἴποις ἂν φησὶν ὁ Θεαγένης, καὶ ὅπως, καὶ πότε, καὶ δι' ἣν αἰτίαν ἔδρασε τὸν φόνον; καὶ πῶς ταῦτα ἂν, εἰδείην ἀπεκρίνατο. οὐ γὰρ δὴ μαντικόν με τὸ σπήλαιον ἀνέδειξε, καθάπερ τὸ ἄδυτον τὸ Πυθοῖ. καὶ ἐν Τροφωνείου λόγος θεοφανεῖν τοὺς ὑπεισελθόντας. ἀνῴμωξαν ἀθρόον ὁ Θεαγένης καὶ ἡ Χαρίκλεια, καὶ ὦ Πυθοῖ καὶ Δελφοὶ θρηνοῦντες ἐβόων. ὁ δὲ Κνήμων ἐκπέπληκτο, καὶ ὅτι πεπόνθοιεν πρὸς τὸ ὄνομα τῆς Πυθοῦς, οὐκ εἶχε συμβάλλειν, καὶ οἱ μὲν ἐν τούτοις ἦσαν. ὁ δὲ Θέρμουθις ὁ τοῦ Θυάμιδος ὑπασπιστής, ἐπειδὴ κατὰ τὴν μάχην τρωθεὶς ἀπενήξατο πρὸς τὴν γῆν, νυκτὸς ἐπιγενομένης, πορθμείῳ φερομένῳ κατὰ τὸ ἕλος ἐκ τῶν ναυαγίων ἐπιτυχών, ἑαυτόν τε ἐνθέμενος ἐπὶ τὴν νῆσον, καὶ παρὰ τὴν Θίσβην ἔσπευδε. ταύτην ὀλίγων πρόσθεν ἡμερῶν ἀγομένην ὑπὸ τοῦ ἐμπόρου τοῦ Ναυσικλέους, κατά τινα στενὴν τῆς ὑπωρείας ὁδὸν λοχήσας ὁ Θέρμουθις ἀφήρητο. παρὰ δὲ τὸν τοῦ πολέμου θόρυβον, καὶ τὴν τῶν ἐναντίων ἔφοδον, ὅτε αὐτὸν οἴσοντα τὸ ἱερεῖον ἀπέστελλεν ὁ Θύαμις ἔξω βελῶν ποιούμενος, καὶ περισώζειν ἑαυτῷ βουλόμενος, ἔλαθεν εἰς τὸ σπήλαιον καθεὶς, καὶ πρὸς τὸν τάραχον καὶ τὴν σπουδὴν, αὐτοῦ που περὶ τὸ στόμιον καταλιπών. ἔνθα ὡς ἐνεβλήθη κατὰ τὴν πρώτην ἐγκαταμείνασαν. δέει τε τῶν παρόντων φόβων, καὶ ἀγνοίᾳ τῶν πρὸς τὰ βάθη φερόντων ἀτραπῶν, ἐντυχὼν ὁ Θύαμις, ὡς Χαρίκλειαν ἀναιρεῖ τὴν Θίσβην. παρὰ δὴ ταύτην ὡς διαδράσας τὸν ἐκ τοῦ πολέμου κίνδυνον ὁ Θέρμουθις ἐπειγόμενος, ἐπειδὴ τῇ νήσῳ

προσέ-

ἐκτετόρνευται ἐλέ-
φας εἰς ἀετόν



προσέσχεν ὡς εἶχε τάχους, ἐπὶ τὰς σκηνὰς ἀνέτρεχε. καὶ μὲν, ἦσαν οὐδὲν ἔτι πλὴν ὅτι τέφρα. τὸ δὲ στόμιον ἀπὸ τοῦ λίθου χαλεπῶς ἀνευρὼν, καλάμους τε, εἴ πη τινὲς ἔτι σμυχόμενοι περιελείφθησαν ἀψάμενος, κατέθεεν ὡς εἶχε σπουδῆς. ὀνόματί τε Θίσβην ἐκάλει. μέχρι τοῦ ὀνόματος ἑλληνίζων. ὡς δὲ εἶδε κειμένην, ἐπὶ πολὺ μὲν ἀχανὴς εἱστήκει. τέλος δὲ θροῦν τινα καὶ βόμβον αἰσθόμενος ἐκ τῶν κοιλῶν τοῦ σπηλαίου φερόμενον, διελέγοντο γὰρ ἔτι πρὸς ἑαυτοὺς Θεαγένης τε καὶ Κνήμων, τούτους ἐκείνους εἶναι τοὺς σφαγέας τῆς Θίσβης εἴκαζε, καὶ ἀμηχάνως εἶχε ὅτι καὶ δράσειεν. ὑπὸ μὲν θυμοῦ λῃστρικοῦ καὶ βαρβαρικῆς ὀργῆς, πλέον τότε δι' ἐρωτικὴν ἀποτυχίαν ἐπιτεινομένης ὁμόσε χωρεῖν αὐτόθι τοῖς νομιζομένοις αἰτίοις ἐπειγόμενος. ἀπορίᾳ δὲ ὅπλων καὶ ξίφους, ἄκων πρὸς ἐγκράτειαν καταστελλόμενος. ἐδόκει δὲ αὐτῷ βέλτιστον εἶναι, μὴ ὡς πολέμιον ἐντυγχάνειν τὴν πρώτην. εἰ δὲ εὐπορήσειεν ἀμυντηρίου, μετιέναι τοὺς πολεμίους, καὶ οὕτω κρίνας, ἐφίσταται τοῖς ἀμφὶ τὸν Θεαγένην, ἄγριόν τε καὶ τραχὺ περισκοπῶν, καὶ τὸ κρυπτόμενον βούλημα τῆς ψυχῆς βλέμμασι καταμηνύων. οἱ δὲ, ὡς εἶδον ἄνδρα γυμνὸν, ἀπροσδόκητον, θαυματίαν, φονῶντα τὴν ὄψιν, ἡ μὲν Χαρίκλεια καὶ πρὸς τὰ κοιλότερα τοῦ σπηλαίου κατέδυσε. τάχα μὲν καὶ εὐλαβηθεῖσα τὴν γυμνὴν καὶ οὐκ εὐσχήμονα τοῦ φανέντος ὄψιν. ὁ δὲ Κνήμων, ἠρέμα καὶ ὑπεδιδίδρασκε. γνωρίζων μὲν τὸν Θέρμουθιν. ὁρῶν δὲ παρὰ ἐλπίδα καί τι τῶν ἀτοπωτέρων αὐτὸν ἐγχειρήσειν προσδοκῶν. ἀλλὰ τὸν Θεαγένην οὐ κατέπληττεν ἡ θέα μᾶλλον, ἢ παρώξυνε, καὶ τότε ξίφος ἐπανατεινόμενος ὡς πατάξων εἴ τι παρὰ λόγον ἐγχειροίη, καὶ στῆθι ἔλεγεν οὗτος. ἢ βεβλήσῃ. βέβλησαι δὲ οὐδέπω, διότι σε καὶ κατὰ μικρὸν ἐγνώρισα, καὶ τέως ἀμφίβολος ἥκεις τὴν γνώμην, ἐδεῖτο ὑποπεσὼν ὁ Θέρμουθις, ἱκέτης ἐκ τοῦ καιροῦ μᾶλλον, ἢ τοῦ τρόπου γιγνόμενος, καὶ τὸν Κνήμωνα πρὸς ἐπικουρίαν ἐπεκαλεῖτο, καὶ σώζεσθαι δίκαιος εἶναι πρὸς αὐτὸν ἔλεγεν. ἀδικῶν τε οὐδὲν, καὶ τῶν φιλίων εἰς τὴν παρελθοῦσαν ἡμέραν γεγονέναι, καὶ παρὰ φίλους ἥκειν διατεινόμενος. ἐπεκλᾶτο πρὸς ταῦτα ὁ Κνήμων, καὶ προσελθὼν, ἀνίστησί τε τῶν γονάτων ἐχόμενον τοῦ Θεαγένους, καὶ ποῦ Θύαμις ἐπυνθάνετο συνεχῶς. ὁ δὲ πάντα ἔλεγεν. ὡς συνέρραξε τοῖς

ε 3 πολε-

φονῶντα

συνέρραξε
τοῖς πολε-
μίοις

πολεμίοις. ὡς ἐμβαλὼν εἰς μέσους ἐμάχετο. οὔτε ἐκείνων, οὔτε ἑαυτοῦ φειδόμενος. ὡς ἀνῃρεῖτο μὲν ἀεὶ τὸ ὑπὸ χεῖρας γιγνόμενον. ἐδορυφορεῖτο δὲ αὐτὸς ἀπὸ κηρύγματος. πάντα τινὰ θυάμιδος φείδεσθαι προεγγυῶντος, καὶ τέλος μὲν ὡς ἐκεῖνος ὅτι καὶ γέγονεν, οὐκ ἔχω λέγειν. αὐτὸς δὲ τραυματίας ἀπενήξατο πρὸς τὴν γῆν, καὶ τὸ πρὶν ἤδη ζήτησιν ἥκοι τῆς θίσβης ἐπὶ τὸ σπήλαιον. οἱ δὲ, τί διαφέρουσαν αὐτῷ, ἢ πόθεν γνωριζομένην ἐπιζητοίη θίσβην ἠρώτων. ἔλεγε καὶ ταῦτα ὁ θέρμουθις, καὶ διηγεῖτο. ὡς ἐμπόρων ἀφέλοιτο. ὡς ἠράσθη μανικῶς, καὶ τὸν ἄλλον ἐκρυπτεν ἔχων χρόνον. πρὸ δὲ τῆς ἐφόδου τῶν πολεμίων καθῆκεν εἰς τὸ σπήλαιον, καὶ νῦν εὑρίσκει πρός τινων ἀνῃρημένην. οὓς οὐκ ἔχει μὲν γιγνώσκειν. μαθεῖν ἂν, ἡδέως, ὑπὲρ τοῦ γνῶναι καὶ τὴν αἰτίαν, καὶ ὁ κνήμων ἄγαν ἐσπουδασμένως, θύαμις ὃς ἦν ὁ σφαγεὺς ἔλεγεν. ἀπολύσασθαι τῆς ὑποψίας ἑαυτὸν ἐπειγόμενος, καὶ μαρτύριον ἐπεδείκνυ τὸ ξίφος. ὃ πρὸς τὴν σφαγὴν εὑρήκεσαν. ὡς δὲ εἶδεν ὁ θέρμουθις ἔτι τοῦ αἵματος ἀποστάζον, καὶ τοῦ πρὸ ὀλίγου φόνου θερμὸν ἔτι τὸν σίδηρον ἀποπτύοντα, ἐγνώρισέ τε τὸν θυάμιδος, βαθύ τι καὶ βύθιον στενάξας, καὶ τὸ γεγονὸς ὅπως εἶχεν ἀμηχανῶν, ἀχλύϊ καὶ σιγῇ κάτοχος, ἀνεδύετο τοῦ σπηλαίου, καὶ πρὸς τὸ σῶμα τῆς κειμένης ἥκων, ἐπιθεὶς τε τοῖς στέρνοις τὴν κεφαλὴν, ὦ θίσβη ἔλεγε, καὶ τοῦτο πολλάκις, καὶ πλέον οὐδέν. ἕως τὸ ὄνομα κατὰ μέρος ἀποτέμνων καὶ κατὰ μικρὸν ἐκλείπων, ἔλαθεν εἰς ὕπνον ἐκπεσών. τῷ δὲ θεαγένει καὶ τῇ χαρικλείᾳ ἅμα τῷ κνήμωνι, πάντων ἔννοια τῶν καθ' ἑαυτοὺς ἀθρόον ἐπεισῄει, καὶ σκοπεῖν μέν τι βουλομένοις ἐῴκεσαν. τῶν δὲ παρελθόντων ἀλγεινῶν τὸ πλῆθος, καὶ τῶν παρουσῶν συμφορῶν τὸ ἄπορον, καὶ τῶν προσδοκωμένων τὸ ἄδηλον, ἐζόφου τῆς ψυχῆς τὸ λογιζόμενον. εἰς ἀλλήλους δὲ ἐπὶ πλεῖστον ἑώρων. καὶ ἕκαστος τὸν ἕτερον εἰπεῖν τι προσδοκῶν, εἶτα ἀποτυγχάνων εἰς γῆν τὸ βλέμμα ἐπέστρεφε. καὶ ἀνανεύσας αὖθις ἀνέπνευσε. στεναγμῷ τὸ πάθος ἐπικουφίσας, καὶ τέλος, κλίνει μὲν ἑαυτὸν εἰς τὴν γῆν ὁ κνήμων. ὀκλάζει δὲ ἐπὶ πέτραν ὁ θεαγένης. ῥίπτει δὲ ἐπὶ τοῦτον ἑαυτὴν ἡ χαρίκλεια, καὶ τὸν ὕπνον ἐπὶ πολὺ μὲν ἐπιφερόμενον διωθοῦντο. βουλήν τινα στήσασθαι τῶν παρόντων ἐπιθυμοῦντες. λειποθυμίᾳ δὲ καὶ πόνοις ἐνδιδόντες, φύσεως νόμῳ. καὶ ἄκοντες ἐπείθοντο, καὶ

πρὸς



πρὸς ἡδὺ κῶμα διὰ τὸ ὑπερβάλλον τῆς λύπης ὠλίσθησαν. οὕτως ἄρα ποτὲ σώματος πάθει, καὶ τὸ νοερὸν τῆς ψυχῆς συνομολογεῖν ὑπάγεται. ἐπεὶ δὲ μικρὸν ἐσπάσαντο ὕπνου, καὶ τοσοῦτον ὅσον τὰ ἄκρα τῶν βλεφάρων ἐπιλαῖναι, τῇ χαρικλείᾳ τοιόνδε ξυγκειμένῃ, ὄναρ ἐφοίτησεν. ἀνὴρ τὴν κόμην αὐχμηρὸς, καὶ τὸ βλέμμα ὑποκαθήμενος, καὶ τὴν χεῖρα ἔναιμος, ἐμβαλὼν τὸ ξίφος, τὸν ὀφθαλμὸν αὐτῆς τὸν δεξιὸν ἐξῄρητο. ἡ δὲ, ἀνέκραγέ τε αὐτίκα, καὶ οἱ τὸν ὀφθαλμὸν ἀνηρπάσθαι λέγουσα, τὸν θεαγένην ἐκάλει, καὶ ὁ μὲν, παρῆν αὐτίκα πρὸς τὴν κλῆσιν, καὶ τὸ πάθος ὑπερήλγει καθάπερ καὶ τῷ ἐνυπνίῳ αἰσθανόμενος. ἡ δὲ, τῷ τε προσώπῳ τὴν χεῖρα ἐπέβαλε, καὶ τὸ μέρος ὃ κατὰ τὸ ὄναρ ἀπώλεσεν ἐπαφωμένη, πάντοθεν ἐπεζήτει. ὡς δὲ ὄναρ ἦν, ὄναρ ἦν ἔλεγεν. ἔχω τὸν ὀφθαλμόν. θάρσει θεάγενες. ἀνέπνευσε πρὸς τὴν ἀκοὴν ὁ θεαγένης, καὶ εὖ μὲν ποιοῦσα ἔφη τὰς ἡλιακὰς ἀκτῖνας ἀποσώζεις. τί δὲ ἦν ὅμως πέπονθας. ἥτις ἡ ποία σε πτοία γέγονεν. ἀνὴρ ὑβριστὴς ἔφη καὶ ἀτάσθαλος, καὶ οὐδὲ τὴν σὴν ἄμαχον καταδείσας ῥώμην. κειμένῃ μοι πρὸς τοῖς σοῖς γόνασιν ἐπεκώμαζε ξιφήρης, καὶ τὸν ὀφθαλμὸν ὤμην ὡς ἐξεῖλε τὸν δεξιόν. καὶ εἴθε γε ὕπαρ ἦν, καὶ μὴ ὄναρ θεάγενες τὸ φανέν. τοῦ δὲ, εὐφήμησον εἰπόντος, καὶ διότι βέλτιον ἦν ἔφη θατέρου με τῶν ὀφθαλμῶν ἐλαττωθῆναι, ἤπερ ἐπί σε φροντίζειν, ὡς σφόδρα δέδοικα, μὴ εἰς σὲ τείνει τὸ ἐνύπνιον. ἐν ὀφθαλμόν ἐγὼ καὶ ψυχὴν καὶ πάντα ἐμαυτῆς πεποίημαι. παῦσαι ἔλεγεν ὁ κνήμων. ἐπηκροᾶτο γὰρ ἁπάντων πρὸς τὴν ἐξ ἀρχῆς βοὴν τῆς χαρικλείας ἀφυπνισμένος. ἐμοὶ γὰρ ἄλλη παραφράζεσθαι τὸ ὄναρ καταφαίνεται, καὶ εἴγε σοι πατέρες εἰσὶν, ἀπόκριναι. τῆς δὲ, ὁμολογούσης, καὶ εἴποτε ἦσαν εἰπούσης, οὐκοῦν τὸν πατέρα σοι τεθνηκέναι νόμιζε ἔλεγε. τοῦτο δὲ ὧδε συμβάλλω. τοῦ παρελθεῖν εἰς τὸν τῇδε βίον, καὶ τοῦδε τοῦ φωτὸς μεταλαβεῖν, τοὺς φύσαντας ἴσμεν αἰτίους. ὥστε εἰκότως ἐπὶ πατέρα καὶ μητέρα τὴν ὀμμάτων συζυγίαν, ὡς ἂν, φωτεινὴν αἴσθησιν καὶ ὁρατῶν ὑπουργὸν οἱ ὄνειροι σοφίζονται. βαρὺ μὲν ἔφη καὶ τοῦτο ἡ χαρίκλεια. πλὴν ἔστω γε ἀληθὲς μᾶλλον ἢ τὸ ἕτερον, καὶ νικήσειεν ὁ παρὰ σοὶ τρίπους. ἐγὼ δὲ ψευδόμαντις ἀποφανθείην. ταῦτα μὲν οὕτως ἔσται καὶ χρὴ

πιστεύειν

κῶμα

πτοία

ἐπεκώμαζε

πιστεύειν ἔλεγεν ὁ κνήμων. ἡμεῖς δὲ ὀνειρώττειν ὡς ἀληθῶς ἐοίκαμεν, ἐνύπνια μὲν καὶ φαντασίας ἐξετάζοντες, τῶν δὲ καθ' ἑαυτοὺς περίσκεψιν οὐδ' ἥν τινα οὖν προσθέντων, καὶ ταῦτα ἕως ἔξεστι τοῦ αἰγυπτίου τόπου, ἔλεγε δὲ τὸν θέρμουθιν, ἀπολειπομένου, καὶ νεκροὺς ἐρῶντας ἀναπλάττοντος καὶ θρηνοῦντος. ὑπολαβὼν οὖν ὁ θεαγένης, ἀλλ' ὦ κνήμων ἔφη, ἐπειδήπερ θεῶν τις ἡμῖν συνῆψε, καὶ συνέμπορον τῶν δυστυχημάτων πεποίηκεν, ἄρχε βουλῆς. τόπων τε γὰρ τῶν τῇδε καὶ φωνῶν ἔμπειρος, καὶ ἄλλως ἡμεῖς νωθέστεροι συνιδεῖν τὸ δέον, πλείονι κλύδωνι κακῶν βεβυθισμένοι. μικρὸν οὖν ἐπιστήσας ὁ κνήμων, τοιάδε ἔφη. κακῶν μὲν ὦ θεάγενες, ἄδηλον ὅστις πλεονεκτεῖ. ἀφθόνως γὰρ κἀμοὶ τῶν συμφορῶν ὁ δαίμων ἐπήντλησεν. ἐπειδὴ δὲ τὰ παριστάμενα ὡς πρεσβύτερον κελεύετε λέγειν, ἡ μὲν νῆσος ἥδε ὡς ὁρᾶτε ἔρημος, καὶ πλέον ἡμῶν οὐδέν. καὶ χρυσοῦ μὲν καὶ ἀργύρου καὶ ἐσθῆτος, ἀφθονία. πολλὰ γὰρ τάδε ἃ ἤδη τὸ σπήλαιον ὑμῶν τε ἀφελόμενοι, ἄλλων τε ἀποσυλήσαντες ὁ θύαμις καὶ οἱ σὺν αὐτῷ, κατέθεντο. σίτου δὲ καὶ τῶν ἐπιτηδείων ἄλλων, οὐδὲ ὄνομα περιλέλειπται. δέος δὲ διαφθαρῆναι μὲν καταμείναντας ὑπὸ λιμοῦ. διαφθαρῆναι δὲ ἐφόδῳ τινῶν, ἤτοι τῶν ἐναντίων πάλιν ἐλθόντων, ἢ καὶ διὰ τῶν σὺν ἡμῖν γεγονότων, εἰ καθ' ἕνα ποτὲ συλλεγέντων, καὶ τὸν ἐνθάδε θησαυρὸν οὐκ ἀγνοούντων, ἐπέλθοιεν διὰ τὰ χρήματα, τότε οὐκ ἂν φθάνοιμεν παραπολλύμενοι. ἢ ταῖς ὕβρεσι ταῖς ἐκείνων τὸ φιλανθρωπότερον ἐκκείμενοι. ἄλλως τε γὰρ ἄπιστον τὸ βουκόλων γένος, καὶ νῦν πλέον, ὅτε τοῦ καταστέλλοντος τῇ γνώμῃ πρὸς τὸ σωφρονέστερον ἄρχοντος ἀμοιροῦσι. ἀπολειπτέον οὖν ἡμῖν καὶ φευκτέον ὡς ἄρκυς τινὰς καὶ δεσμωτήριον τὴν νῆσον. ἀποπέμψαντας πρότερον τὸν θέρμουθιν, πρόφασιν ὡς πευσόμενον καὶ πολυπραγμονήσοντα, εἴ τι περὶ τοῦ θυάμιδος ἔχοι μανθάνειν. ῥᾷον τε γὰρ ἐφ' ἑαυτῶν ἂν σκοπούμενοι καὶ ἐγχειροῦμεν τὰ πρακτέα, καὶ ἄλλως ἄνδρα ἐκποδὼν ποιήσασθαι καλόν, φύσει τε ἀβέβαιον καὶ ληστρικὸν καὶ δύσερι τὸ ἦθος. πρὸς δὲ καὶ ὑποψίας τι φέροντα εἰς ἡμᾶς, τῆς θίσβης ἕνεκα, καὶ οὐκ ἂν παυσόμενον εἰ μὴ ἐπιβουλεύσειεν, εἰ καιροῦ λάβοιτο. ἐπηρέθη ταῦτα καὶ ἐδόκει γίγνεσθαι, καὶ ὁρμήσαντος αὐτοῦ τὸ στόμιον τοῦ σπηλαίου, καὶ γάρ τι καὶ

ἡμέραν

οὐκ ἂν φθάνοιμεν

ὑπηρέθη

∴ ἄπληστον



ἡμέραν ἤδη ξυνιεῖσαν, διανέστησάν τε τὸν θέρμουθιν, ὁ λοχερῶς τῷ ὕπνῳ κατεχημένον, καὶ ὅσα εἰκὸς ἦν τῶν βουληθέντων φρασάντων, καὶ ῥαδίως ὑπόκουφον ἄνδρα πεισάντων, τότε σῶμα τῆς θίσβης εἰς τι κοῖλον ἐνθέντων, καὶ τὴν τέφραν τὴν ἐκ τῶν σκηνῶν ὅσα γῆν ἐπιφορησάντων, καὶ τὰ εἰωθότα διὰ τὴν ὁσίαν ἐξ ὧν ὁ καιρὸς ἐδίδου πληρωσάντες, καὶ δάκρυα καὶ θρήνους ἀντὶ πάντων τῶν νομιζομένων ἐναγισάντων, ἐξέπεμπον ἐφ' ἣν ἔδοξε βουλὴν τὸν θέρμουθιν. ὁ δὲ βραχὺ προελθών, ἀνέστρεφέ τε, καὶ οὐκ ἄν, ἔφη μόνος πορεύεσθαι. οὐδὲ ἀναρρίψειν τοσοῦτον κίνδυνον κατασκοπῆς, εἰ μὴ καὶ κνήμων ἐθέλοι κοινωνεῖν τῆς πράξεως. ἀποδειλιῶντα δὴ πρὸς ταῦτα τὸν κνήμωνα θεασάμενος ὁ θεαγένης, καὶ γὰρ φράζων τὰ λεχθέντα πρὸς τοῦ αἰγυπτίου δῆλος ἦν ὑπεραγωνιῶν, σὺ δὲ ἔφη τὴν μὲν γνώμην ἐῤῥωμένως τις ἄρα ἦσθα, τὸ λῆμμα δὲ ἀσθενέστερος. γνωρίζω δέ σε ἄλλοις τε, καὶ οὐχ ἥκιστα τοῖς νῦν. ἀλλὰ θῆγε τὸ φρόνημα καὶ πρὸς τὸ ἀνδρειότερον ὄρθου τὴν γνώμην. τὸ μὲν γὰρ παρόν, ἀναγκαῖον δοκεῖ οὕτω συντίθεσθαι, τοῦ μή τινα τοῦ δρασμοῦ λαβεῖν αὐτὸν ὑπόνοιαν, καὶ συμπορεύεσθαι τὴν πρώτην. δέος δὲ δὴ πάθειν οὐδέν, ἀνάπλεω τὴν χεῖρα ξυνιέναι, ξιφήρη καὶ πεφραγμένον αὐτόν. καιροῦ δὲ λαβόμενον ἐγκαταλείψειν διαλαθόντα, καὶ ἥκειν παρ' ἡμᾶς οὗπερ ἄν, συνθώμεθα. συνθώμεθα δὲ εἰ δοκεῖ, κώμην τινὰ πλησίον, εἴπη γιγνώσκεις σήμερον. εὖ λέγειν ἔδοξε τῷ κνήμωνι. καὶ χέμμιν τινὰ κώμην οὕτω καλουμένην ἔφραζεν. εὐδαίμονά τε καὶ πολυάνθρωπον καὶ ταῖς ὄχθαις τοῦ νείλου, πρὸς ἐπιτειχισμὸν τῶν βουκόλων ἐπὶ λόφου παρῳκημένην. ἀπέχειν δὲ περαιωθεῖσι τὴν λίμνην, στάδια οὐ πολλῷ λειπόμενα τῶν ἑκατόν. δεῖν δὲ εὐθὺς πρὸς μεσημβρίας ὁρῶντας ἰέναι. χαλεπῶς μὲν ἀπεκείνατο ὁ θεαγένης, χαρικλείας γε ταύτης ἕνεκα, τοῦ βαδίζειν μακρότερον ἀήθως ἐχούσης, καὶ ἐλευσόμεθα δ' οὖν ὅμως, εἰς πτωχοὺς, καὶ τοὺς διὰ τροφὴν ἀγύρτας ἑαυτοὺς μεταπλάσαντες. νὴ δία εἶπεν ὁ κνήμων. καὶ γὰρ τῶν ὄψεων σφόδρα διεστραμμένως ἔχετε. ἡ δὲ χαρίκλεια καὶ πλέον, ἅτε καὶ τὸν ὀφθαλμὸν ἀρτίως ἐκκεκομμένη, καὶ ἐμοὶ δοκεῖτε τοιοίδε ὄντες, οὐκ ἀκόλους, ἀλλ' ἄορας τε καὶ λέβητας αἰτήσειν. πρὸς ταῦτα ἐμειδίασεν ὀλίγον καὶ βεβιασμένον, καὶ μό-

g νοις τοῖς

ἀναρρίψειν

λῆμμα

Chemmis uic)

ἀγύρτας

ἀκόλους

ἄορας

λέβητας

νοις τοῖς χείλεσιν ἐπιτρέχον. ὅρκοις δὲ πιστωσάμενοι τὰ δόξαντα, καὶ μή ποτε ἀπολείψειν ἑκόντες ἐπιμαρτυρόμενοι τοὺς θεούς, ἔπραττον ὡς ἐβούλετο ἡ σκέψις. ὁ μὲν δὴ κνήμων καὶ ὁ θέρμουθις, ἅμα ἡλίῳ τὴν λίμνην περαιωθέντες, ἐχώρουν διὰ ὕλης τινὸς βαθείας δυσδιέξοδον παρεχομένης. ἡγεῖτο δὲ ὁ θέρμουθις. τοῦτο τοῦ κνήμωνος καὶ εἰπόντος καὶ βουληθέντος, πρόφασιν μὲν αὐτῷ τὴν ἐμπειρίαν τῆς δυσχωρίας ἀναθέντος, καὶ ἡγεμονεύειν τῆς ὁδοῦ ἐπιτρέψαντος. πλέον δὲ τὸ ἀσφαλὲς αὐτῷ περιποιοῦντος, καὶ καιρὸν τοῦ διαδρᾶναι προμνώμενος. ἐπεὶ δὲ προϊόντες ἐνέτυχον ποίμναις, οἱ δὲ νομεύοντες ἀπέδρασαν, καὶ πρὸς τὸ πυκνότερον τῆς ὕλης κατέδυσαν. κριόν τινα τῶν ἡγουμένων καταθύσαντες, ἐπί τε τοῦ πυρὸς ὃ προητοίμαστο τοῖς νομεῦσιν ἀφανήναντες, ἐνεφοροῦντο τῶν κρεῶν. οὐδὲ τὴν ἀποχρῶσαν ὄπτησιν ἀναμείναντες, ἐπειγομένης ὑπὸ τοῦ λιμοῦ τῆς γαστρός. οἷον οὖν λύκοι τινὲς ἢ θῶες ἐλάφυσσον τὰ ἀεὶ τετμημένα, καὶ πρὸς ὀλίγον τῷ πυρὶ μεμολυσμένα. τὰ δὲ ἡμίοπτα, ταῖς παρειαῖς ἐν τῇ βρώσει τοῦ αἵματος ἀπέσταζον. ὡς δὲ ἐνεφορήθησαν γάλακτος ἐμπιόντες, ὅσον τῆς προκειμένης εἶχοντο. καὶ ἦν μὲν ὥρα περὶ βουλυτὸν ἤδη. ἐπεὶ δὲ λόφον τινὰ ἀνιόντες, ὑπὸ τοῦτον εἶναι τὴν κώμην ἔφραζεν ὁ θέρμουθις, οὗπερ τὴν θύαμιν συνειλημμένον, ἢ καὶ κατέχεσθαι, ἢ ἀνῃρῆσθαι εἴκαζεν, διαφθορέναι οἱ τὴν γαστέρα πρὸς τῆς ἀδδηφαγίας ἠπιᾶτο. καὶ ἐνίσκεσθαι χαλεπῶς ἐκ τοῦ γάλακτος ἔλεγεν ὁ κνήμων. προφθάνειν τε τὸν θέρμουθιν προσεκελεύετο. αὐτὸς δὲ ἐπικαταλήψεσθαι. τοῦτο ποιῶν ἅπαξ μὲν καὶ αὖθις, καὶ τρίτον ἐπαληθεύσας ὤφθη, καὶ καταλαμβάνειν χαλεπῶς ἔλεγεν. ὡς δὲ εἰς ἔθος τὸν αἰγύπτιον ἐνεβίβασεν, ἔλαθε τὸ τελευταῖον ἐναπομείνας, καὶ πρὸς τὰ χαλεπώτερα τοῦ δάσους κατὰ τοῦ πρανοῦς ἑαυτὸν ὡς εἶχε τάχους ἐπαφεὶς, διεδίδρασκε. καὶ ὁ μὲν, ἐπειδὴ πρὸς τὰς ἀκρωρείας ἐγένετο τοῦ ὄρους, ἀνέπαυεν ἑαυτὸν ἐπί τινος πέτρας. ἑσπέραν τε καὶ νύκτα ἀναμένων, καθ' ἣν συνέκειτο αὐτοῖς ἥκειν εἰς τὴν κώμην, τὰ περὶ τὴν θύαμιν πολυπραγμονεῖν, καὶ ἅμα καὶ τὸν κνήμωνα περισκοπῶν, εἴποι ποτὲ ἐπέλθοι, βουλὴν εἰς αὐτὸν ποιούμενος ἀτοπωτέραν. οὐ γὰρ ἀνίει τῆς γνώμης τὸ εἰς αὐτὸν ὕποπτον ὡς ἀνελόντα τὴν θίσβην, καὶ ὅπως ἂν οἱ ποτὲ

διαχρή-

δυσδιέξοδον

δυσχωρ

ἀφανήναντες

λύκοι

θῶες

βουλυτόν

+ παρειαῖς



διαχρήσαιτο ἐννοῶν. ἐπιθέσθαι τε μετὰ τοῦτον καὶ τοῖς περὶ τὸν θεαγένην ἐλύττα. ὡς δὲ ὁ κνήμων ἐφαίνετο οὐδαμοῦ, τῆς δὲ νυκτὸς ἐγίγνετο ἀωρί, πρὸς ὕπνον τραπεὶς ὁ θέρμουθις, χαλκεόν τινα καὶ πύματον ὕπνον ὑπνώσεν. ἀσπίδος δήγματι, μοιρῶν τάχα βουλήσει. πρὸς οὐκ ἀνάρμοστον τὸ τέλος καταστρέψας. ὁ δὲ κνήμων, ἐπειδὴ τὴν ἀρχὴν ἀπέλιπε τὸν θέρμουθιν, οὐ πρότερον ἀνέπνευσε τῆς φυγῆς, ἕως τὸ νυκτὸς ἐπελθὸν κνέφας, ἐπέδησεν αὐτῷ τὴν ὁρμήν. αὐτοῦ τε οὖν κατέληπτο, ἑαυτὸν ἐγκρύψας, καὶ τῶν φυλλάδων ὅσον πλεῖστον ἠδύνατο ἐφ' ἑαυτὸν ἐφαμήσας. ὑφ' ἧς κείμενος, τὰ πολλὰ μὲν ἄϋπνος ἐταλαιπωρεῖτο. πάντα καὶ κτύπον, καὶ ἀνέμου ῥιπὴν, καὶ φύλλου κίνησιν, θέρμουθιν ἡγούμενος. εἰ δέ που καὶ μικρὸν ἐκνικηθείη πρὸς ὕπνον, φεύγειν ἐδόκει, καὶ θαμὰ πρὸς τὰ κατόπιν ὑπέστρεφε, καὶ περιεσκόπει τὸν οὐδαμοῦ διώκοντα, καὶ βουλόμενος καθεύδειν, ἀπείχετο τοῦθ' ὃ ἐβούλετο. χαλεπωτέροις ὀνείροις τῆς ἀληθείας ἐντυγχάνων. πρός τε τὴν νύκτα, καὶ χαλεπαίνειν ἐῴκει, μακροτέραν τῶν ἄλλων ὑποτιθέμενος. ὡς δὲ ἡμέραν ἄσμενος εἶδε, πρῶτα μὲν ἐκτέμνει τῆς κόμης τὸ περιττότερον, καὶ ὅσον αὐτῷ εἰς τὸ λῃστρικώτερον εἶδος παρὰ τοῖς βουκόλοις ἤσκητο. τοῦ μὴ ἀποτρόπαιος ἢ ὕποπτος εἶναι τοῖς ἐντυγχάνουσι. βουκόλοι γὰρ ἄλλα τε πρὸς τὸ φοβερώτεροι φαίνεσθαι, καὶ «
δὴ καὶ τὴν κόμην εἰς ὀφρὺν ἕλκουσι καὶ σοβοῦσι τῶν ὤμων ἐπιβαίνουσαν. «
εὖ τοῦτο εἰδότες. ὡς κόμη, τοὺς μὲν ἐρωτικοὺς ἱλαρωτέρους. τοὺς δὲ «
λῃστρικοὺς φοβερωτέρους ἀποδείκνυσιν. ἀποτεμὼν οὖν ὁ κνήμων ὅσον εἰκὸς ἦν ἔλαττον κομᾶν τοῦ λῃστρικοῦ τὸν ἁβρότερον, ἐπὶ τὴν χέμμιν τὴν κώμην, οὗ τῷ θεαγένει συνετέτακτο ἔσπευδεν. ἤδη δὲ αὐτῷ πλησιάζοντι τῷ νείλῳ, καὶ πρὸς τὴν χέμμιν περαιοῦσθαι μέλλοντι, πρεσβύτης τις ἀνὴρ ἐναλύων ταῖς ὄχθαις ἐφάνη, καὶ δολιχόν τινα τῷ ῥείθρῳ πολλάκις ἄνω καὶ κάτω παραθέων, καὶ ὥσπερ τῷ ποταμῷ φροντίδων τινῶν κοινούμενος. ἡ κόμη πρὸς τὸ ἱερώτερον καθεῖτο, καὶ ἀκριβῶς ἦν λευκή. τὸ γένειον λάσιον καὶ σεμνότερον βαθυνόμενον. στολὴ καὶ ἐσθὴς ἡ ἄλλη πρὸς τὸ ἑλληνικώτερον βλέπουσα. μικρὸν οὖν ἑαυτὸν ἐπιστήσας ὁ κνήμων, ὡς ἀντιπαρέθειτο πολλάκις ὁ πρεσβύτης, οὐδὲ εἴ τις αὐτῷ πάρεστιν ἐπαισθάνεσθαι δοκῶν, οὕτως ἄρα ὅλος τῶν φροντισμάτων ἦν,

 καὶ

ἀωρὶ τῆς νυκτὸς ἐγίνετο

Thermutis mors

ἐφαμήσας

ἀποτρόπαιος

ἐναλύων

τῷ ποταμῷ φροντίδων τινῶν κινού μενος

καὶ πρὸς μόνην τὴν σκέψιν ὁ νοῦς ἐφύλαζε, κατὰ πρόσωπον ὑπαν-
τιάσας, πρῶτα μὲν χαίρειν ἐκέλευε. τοῦ δὲ, οὐ δύνασθαι φήσαντος,
ἐπειδὴ μὴ οὕτω συμβαίνειν αὐτῷ παρὰ τῆς τύχης, θαυμάσας ὁ Κνή-
μων, ἕλληνα δὲ εἶπεν ὁ ξένος, ἢ πόθεν. ὁ δὲ οὔτε ἕλλην οὔτε ξένος.
ἀλλ' ἐντεῦθεν αἰγύπτιος. πόθεν οὖν ἑλληνίζεις τὴν στολήν. δυστυ-
χήματα ἔφη τὸ λαμπρόν με τοῦτο σχῆμα μετημβίασε. τοῦ δὲ Κνή- μετημβίασε. ff / μετημφίασε
μωνος, εἰ φαιδρύνεταί τις ἐπὶ συμφοραῖς θαυμάζοντος, καὶ ταῦ-
τα μαθεῖν ἀξιοῦντος. ἰλιόθεν με φέρεις ἀπεκρίνατο ὁ πρεσβύτης.
καὶ σμῆνος κακῶν, καὶ τὸν ἐκ τούτων βόμβον, ἄπειρον ἐπὶ σεαυτὸν
κινεῖς. ἀλλὰ ποῖ δὴ πορεύῃ καὶ πόθεν ὢν νεανία. πῶς δὲ τῇ φωνῇ
ἕλλην ἐν αἰγύπτῳ. γελοῖον ἔφη ὁ Κνήμων, τῶν γὰρ περὶ σεαυτὸν οὐδὲν
ἐκδιδάξας, πρότερος καὶ ταῦτα ἐρωτηθείς, τὴν ἐμῶν γνῶσιν ἐπι-
ζητεῖς. οὐκ ὄνειδος ἐπειδὴ ἕλληνι ἔοικας ἀνδρί, καί σε τίς ὡς ἔοικε
μετασχηματίζει τύχη, καὶ πάντως τὰ ἡμέτερα ποθεῖς ἀκούειν. ὠδί-
νω δὲ καὶ οὕτω πρός τινας ἐξειπεῖν. εἶπον ἄν, τάχα καὶ τοῖσδε τοῖς
καλάμοις περὶ τὸν μῦθον, εἰ μὴ σοὶ προσέτυχον. ὄχθας μὲν Νείλου Τοῖσδε τοῖς καλά / μοις εἶπον ἄν
τάσδε καὶ Νεῖλον ἀπολίπωμεν. οὐ γὰρ ἡδὺ μακροτέρων διηγημά-
των, ἀκροατήριον τόπος, ἡλίου μεσημβρίᾳ φλεγόμενος. πρὸς δὲ
τὴν κώμην ἣν ὁρᾷς ἀντικρὺ ἤδη ἴωμεν. εἰ μή σε τι προυργιαί-
τερον ἀποκαλεῖ. ξενιῶ δέ σε, οὐκ ἐν ἐμαυτοῦ. ἀλλ' ἐν ἀνδρὸς ἀγα-
θοῦ. κἀμὲ ὡς ἱκέτην ὑποδεξαμένου. παρ' ᾧ γνώσῃ τε τἀμὰ βουλόμε-
νος. ἀναθήσῃ δ' ἐν μέρει καὶ τὰ περὶ σεαυτόν. ἴωμεν ἔφη ὁ Κνήμων, ἀναθήσῃ
καὶ γάρ μοι καὶ ἄλλως ἡ πρὸς τὴν κώμην ὁδὸς σπουδάζεται ἀναμέ-
νειν τινὰς ἐν ταύτῃ τῶν ἐπιτηδείων συντεταγμένῳ. σκάφους οὖν
ἐπιβάντες, πολλὰ δὲ περὶ τὴν ὄχθην ἐσάλευεν εἰς χρείαν τοῦ διαπορ-
θμεύειν ἤδη μισθῷ παρασκευασμένα, περαιοῦνται πρὸς τὴν κώμην.
ἔστε τῇ καταγωγῇ ἀφικνοῦνται, οὗ κατέλυεν ὁ πρεσβύτης, καὶ κατωγωγή. diuer / sorium. domicilium
τὸν μὲν τοῦ οἴκου δεσπότην οὐ καταλαμβάνουσιν. ὑποδέχονται
δὲ αὐτοὺς προθυμότατα. θυγάτηρ τε τοῦ ἑστιάτορος ἤδη γάμου
ὡραία. θεραπαινίδες τε ὅσαι περὶ τὴν οἰκίαν. αἳ τὸν ξένον ἴσα καὶ πα-
τέρα ἦγον. οὕτως οἶμαι πρὸς τοῦ κεκτημένου, καὶ ἡ μέν τι ἀπένιζε τῶ
πόδε, καὶ τῆς κόνεως ἠλευθέρου τὰ ὑπὸ κνήμην. ἡ δέ, ἐφρόντιζε τῆς
εὐνῆς, καὶ μαλθακὴν ηὐτρέπιζε τὴν κατάκλισιν. ἑτέρα κάλπην
ἔφερε.



ἔφερε καὶ πυρὰν ἔκαιε, καὶ ἄλλη τράπεζαν εἰσεφέρετο. ἄρτου τε
πυρίνου. καὶ ὡραίων παντοίων βρίθουσαν. ὃ δὴ καὶ Κνήμων θαυμά-
σας, ἀλλ' ἢ ξενίου Διός ὡς ἔοικεν εἰς αὐλὰς ἥκομεν, ὦ πάτερ. οὕτως
ἀπροφάσιστος ἡ θεραπεία, καὶ πολὺ τὸ εὖνουν τῆς γνώμης ἐμφαί- ἀπροφάσιστος
νουσα. οὐκ εἰς Διός ἔφη. ἀλλ' εἰς ἀνδρὸς Δία τὸν ξένιον καὶ ἱκέσιον ἀ-
κριβοῦντος. βίος γὰρ ὦ παῖ κἀκείνῳ, πλάνος καὶ ἔμπορος, καὶ πολ-
λὰς μὲν αἱ πόλεις, πολλῶν τε ἀνθρώπων ἤθη τε καὶ νοῦς εἰς πεῖραν
ἥκουσιν. ὅθεν ὡς τὸ εἰκός, ἄλλους τε κἀμὲ οὐ πρὸ πολλῶν τῶνδε ἡμε-
ρῶν ἀλύοντα καὶ πλανώμενον, ὁμορόφιον ἐποιήσατο, καὶ τίς ἡ
πλάνη ὦ πάτερ ἣν λέγεις. παίδων ἔφη πρὸς λῃστῶν ἀφαιρεθείς,
καὶ τοὺς μὲν ἀδικοῦντας γινώσκων, ἐπαμύναι δὲ οὐκ ἔχων, εἰλοῦ-
μαι περὶ τὸν τόπον, καὶ θρήνοις παραπέμπω τὸ πάθος ὥσπερ οἶ-
μαί τις ὄρνις, ὄφεως αὐτῆς τὴν καλιὰν πορθοῦντος. ἐν ὀφθαλμοῖς τε
τὴν γονὴν θοινωμένου, προσελθεῖν μὲν ὀκνεῖ. φεύγειν δὲ οὐ φέρει. πό-
θος γὰρ ἐν αὐτῇ τὸ πάθος ἀνταγωνίζεται. τετριγυῖα δὲ περιποτᾶται.
τὴν πολιορκίαν εἰς ὦτα ἀνήμερα, καὶ οἷς ἔλεον οὐκ ἐγνώρισεν ἡ
φύσις, ἀνήνυτον ἱκετηρίαν τὸν μητρῷον εἰσάγουσα θρῆνον. ἆρα
οὖν ἄν. ἐθέλοις ἔφη ὁ Κνήμων καὶ ὅπως καὶ πότε τὸν βαρὺν τοῦ-
τον ὑπέστης πόλεμον ἐξειπεῖν; εἰς αὖθις ἔφη νῦν δὲ ὥρα καὶ τὴν
γαστέρα θεραπεύειν. ἣν τάδε ἀποσκώπτων ὅμηρος, καὶ ὡς πάν- Οδυσ.ρ
τα δεύτερα αὐτῆς ποιεῖται, θαυμασίως οὐλομένην ὠνόμασεν.
ἀλλὰ πρότερον ἡμῖν ὡς νόμος αἰγυπτίων σοφοῖς, σπεισάσθω τὰ πρὸς
τοὺς θεούς. οὐ γὰρ δήπου καὶ τοῦτο ὑπερβῆναι πείσει, μὴ οὕτω ποτὲ
πάθος ἰσχύσειεν, ὡς μνήμην τὴν εἰς τὸ θεῖον ἐκπλῆξαι, καὶ ταῦτα
εἰπών, ἀπέχει τῆς φιάλης ἄκρατον ὕδωρ, καὶ σπένδω μὲν ἔλεγε Libationes fie / bant effuso uino / aut aqua.
θεοῖς ἐγχωρίοις τε καὶ ἑλληνίοις, καὶ αὐτῷ γε ἀπόλλωνι πυθίῳ, καὶ
προσέτι θεαγένει καὶ χαρικλείᾳ, τοῖς καλοῖς τε καὶ ἀγαθοῖς. ἐπει-
δὴ καὶ τούτους εἰς θεοὺς ἀναγράφω, καὶ ἅμα ἐδάκρυσεν ὥσπερ ἑτέ-
ραν αὐτοῖς σπονδὴν ἐπιφέρων τοὺς θρήνους. ἐπάγη πρὸς τὴν ἀκοὴν
τῶν ὀνομάτων ὁ Κνήμων. ἄνω τε καὶ κάτω τὸν πρεσβύτην ἐπι- ἀναγράφω. i. / repono.
θεωρήσας, τί λέγεις ἔφη. παῖδες οὖν εἰσί σοι τῷ ὄντι θεαγένης καὶ χα-
ρίκλεια; παῖδες εἶπεν ὦ ξένε. ἀμήτορες ἐμοὶ γεγονότες. τύχη
γάρ μοι θεοὶ τούτους ἀνέδειξαν, καὶ ἀπέτεκον αἱ ψυχῆς ὠδῖνες, καὶ



Libationes quomodo

φύσις ἢ διάθεσις ἐπ' αὐτοὺς ἐνομίσθη, καὶ πατέρα με ἀπὸ ταύτης ἐκεῖνοι καὶ ἐνόμισαν καὶ ὠνόμασαν. ἀλλὰ σὺ δὴ πόθεν εἰπέ μοι τούτους ἐγνώρισας. οὐκ ἐγνώρισα ἔφη μόνον ὁ Κνήμων, ἀλλὰ καὶ σώζεσθαί σοι αὐτοὺς εὐαγγελίζομαι. Ἄπολλον ἔφη ἀναβοήσας καὶ θεοί, καὶ ποῦ γῆς οὗτοι δεῖκνυε. σωτῆρα σε καὶ θεοῖς ἰσοστάσιον ἡγήσομαι. μισθὸς δέ μοι τίς ἔσται ἔφη. τὸ μὲν παρὸν ἡδεῖς, εὐχαριστεῖα ξενίων δὲ οἶμαι τὸ κάλλιστον ἀνδρὶ νοῦν ἔχοντι. εἰ δὲ καὶ τῆς ἐνεγκούσης ἐπιβαίης μέν, ἔσεσθαι δέ μοι τοῦτο οὐκ εἰς μακρὰν οἱ θεοὶ προσημαίνουσιν, ἀρύσῃ πλοῦτον ὅσον ἄν, δύναιο πλεῖστον. μέλλοντα εἶπε καὶ ἄδηλα κατεγγυᾶς, ἐξὸν ἐκ τῶν παρόντων ἀμείβεσθαι. ἐπάγγελλε εἴ τι παρὸν ὁρᾷς. ὡς ἕτοιμος ἐγώ, καὶ μέρος τι προσθεῖναι τοῦ σώματος οὐδὲν δεῖ μέλος ἀκρωτηριάζειν, ἀλλ' ἅπαν ἔχειν ἡγήσομαι. εἰ τούτους ὁπόθεν εἰσίν, ἢ ἐκ τίνων φύντες, ἢ πῶς δεῦρο ἀφιγμένοι, καὶ ποίαις κεχρημένοι τύχαις ἐθελήσειας ἐξαγορεύειν. ἕξεις ἀπεκρίνατο τὸν μισθὸν μέγαν τινά, καὶ οὐχ οἷον ἄλλον, οὐδ' εἰ τὰ τῶν ἀνθρώπων χρήματα ἁπάντων ἐτύγχανες. ἀλλὰ τὸ παρόν, τροφῆς ὀλίγον ἀπογευσώμεθα. μακροτέρας γὰρ δεήσει, σοί τε τῆς ἀκροάσεως, ἐμοί τε τῆς ἀφηγήσεως. ἐντραγόντες οὖν τῶν τε καρύων καὶ σύκων, ἀρτιδρεπῶν τε φοινίκων, καὶ ἄλλων δὴ τοιούτων, ὑφ' ὧν ἐξ ἔθους ὁ πρεσβύτης ἐσιτεῖτο, ψυχῆς γοῦν διὰ βρῶσιν οὐδὲ ἓν ἀφῃρεῖτο, ἐπεῤῥόφουν ὁ μὲν τοῦ ὕδατος, ὁ δὲ καὶ οἴνου ὁ Κνήμων. ὅστις καὶ μικρὸν διαλιπών, ὁ Διόνυσος εἶπεν οἶσθα ὦ πάτερ, ὡς χαίρει μύθοις, καὶ κωμῳδίας φιλεῖ; κἀμὲ οὖν τὰ νῦν εἰσῳκισμένος, ἀνίησι πρὸς τὴν ἀκρόασιν. τόν τε ἐπηγγελμένον πρὸς σοῦ μισθόν, ἀπαιτεῖν ἐπείγει. καὶ ὥρα σοι τὸ δρᾶμα καθάπερ ἐπὶ σκηνῆς τῷ λόγῳ διασκευάζειν. ἀκούοις ἄν, ἔφη. ἀλλ' εἴθε γε, καὶ τὸν χρηστὸν Ναυσικλέα παρεῖναι ἡμῖν συνέβαινεν. ὃν πολλάκις δι' ὄχλου γιγνόμενον μυθεῦσαι τὴν ἀφήγησιν ἄλλως ἄλλοτε διεκρουσάμην. ποῦ δ' ἂν εἴη τὰ νῦν ἠρώτα ὁ Κνήμων. ὡς τοὔνομα τοῦ Ναυσικλέους ἐπέγνων. ἐπ' ἄγραν ἔφη πεπόρευται. τὴν ὁποίαν πάλιν ἐρομένου, θηρίων ἔφη τῶν χαλεπωτάτων. οἳ καλοῦνται μὲν ἄνθρωποι καὶ βουκόλοι. λῃσταὶ δέ εἰσι τὸν βίον καὶ δυσάλωτοι παντάπασιν. σπηλαίοις καὶ σήραγξι τοῦ ἕλους χρώμενοι. ἐγκαλῶν δὲ αὐτοῖς τίνα αἰτίαν, ἀττικῆς ἔφη ἐρωμένης ἁρπαγήν,

ἰσοστάσιον

κατεγγυᾶς

Nausicles

σήραγξι



ἣν Θίσβην ἐκεῖνος ὠνόμαζε. φεῦ εἶπεν ὁ Κνήμων, καὶ ἀθρόον ἐσιώπησεν ὥσπερ ἑαυτοῦ λαβόμενος. τοῦ δὲ πρεσβύτου τί πέπονθας ἐρομένου, πρὸς ἄλλα ὁ Κνήμων ἀπάγων, θαυμάζω ἔφη πῶς, ἢ τίνι χειρὶ πεποιθὼς ἐνετυμήθη τὴν ἔφοδον. καὶ ὅς βασιλεῖ ἔφη τῷ μεγάλῳ σατραπεύει τὴν Αἰγύπτου Ὀροονδάτης, οὗ κατὰ πρόσταγμα φρούραρχος Μιτράνης τὴν δὲ κεκλήρωται τὴν κώμην. τοῦτον δὴ ὁ Ναυσικλῆς ἐπὶ χρήμασι μεγάλοις, ἄγει σὺν ἵππῳ καὶ ἀσπίδι πολλῇ. χαλεπαίνει δὲ τὴν ἀφαίρεσιν τῆς ἀττικῆς κόρης. οὐχ ὡς ἐρωμένης μόνον, καὶ μουσουργίαν ἀρίστης, ἀλλ' ὅτι αὐτὴν καὶ βασιλεῖ τῶν Αἰθιόπων ἀπάξειν ἔμελλεν, ὡς αὐτὸς ἔφασκε γαμετῇ τῇ ἐκείνου συμπότριαν καὶ συνόμιλον τὰ ἑλλήνων ἐσομένην. ὡς οὖν μεγάλων καὶ πολλῶν τῶν ἐπ' αὐτῇ προσδοκωμένων χρημάτων ἐστερημένος, πᾶσαν ἐγείρει καὶ κινεῖ μηχανήν, ἐπέῤῥωσέ τε καὶ αὐτὸς πρὸς τὴν πρᾶξιν, εἴπη ἄρα καὶ τὰς πύλας μοι προδιασώσειν ἐνθυμούμενος. ὑπολαβὼν οὖν ὁ Κνήμων, ἅλις ἔφη βουκόλων καὶ σατραπῶν καὶ βασιλέων αὐτοῦ. ἔλαθες γάρ με μικροῦ καὶ εἰς πόρρας τοῦ λόγου διαβιβάζων. ἐπεισόδιον δὴ τοῦτο, οὐδέν φασι πρὸς τὸν Διόνυσον ἐπεισκυκλήσας. ὡς ἐπάναγε τὸν λόγον πρὸς τὴν ὑπόσχεσιν. εὕρηκα γάρ σε κατὰ τὸν Πρωτέα τὸν Φάριον, οὐ κατ' αὐτὸν τρεπόμενον εἰς ψευδομένην καὶ ῥέουσαν ὄψιν. ἀλλά με παραφέρειν πειρώμενον. μανθάνοις ἄν, ἔφη ὁ πρεσβύτης. διηγήσομαι δέ σοι τὰ ἐμαυτοῦ πρότερον ἐπιτεμών. οὐ σοφιζόμενος ὡς αὐτὸς οἴει τὴν ἀφήγησιν. ἀλλ' εὔτακτόν σοι καὶ προσεχῆ τῶν ἑξῆς παρασκευάζων τὴν ἀκρόασιν. ἐμοὶ πόλις Μέμφις. πατὴρ δὲ καὶ ὄνομα Καλάσιρις. βίος δέ, νῦν μὲν ἀλήτης. πρότερον δὲ οὐ πάλαι προφήτης. ἐγένετό μοι καὶ γυνὴ νόμῳ τῆς πόλεως, καὶ ἀπεγένετο θεσμῷ τῆς φύσεως. ταύτης εἰς τὴν ἑτέραν λῆξιν ἀναλυθείσης. χρόνον μέν τινα διῆγον ἀπαθὴς κακῶν, ἐπὶ παισὶ δυσὶ τοῖς ἐξ αὐτῆς ἀβρυνόμενος. οὐ πολλοῖς δὲ ὕστερον ἔτεσιν, οὐρανία φωστήρων εἱμαρμένη περίοδος, τρέπει τὰ καθ' ἡμᾶς. καὶ ὄμμα κρόνιον εἰς τὸν οἶκον ἐνέσκηψε. τὴν ἐπὶ τὸ χεῖρον μετάγον μεταβολήν. ἐκφεύγειν δὲ οὐκ ἐφικτόν. κέρδος δὲ ὡς ἐν τοῖς τοιούτοις ἡ πρόγνωσις. ἀμβλύνουσα τοῦ δεινοῦ τὸ φλεγμαῖνον. συμφορὰς γὰρ ὦ

παῖ

ἔφοδον

Oroondates

Mitranes

ἐπεισόδιον

ἐπεισκυκλήσας

Proteus

Calasiris

ἀλήτης

λῆξιν

ὄμμα χρόνιον

ὄμμα χρόνιον

» πον, τὸ μὲν ἀπροσδόκητον, ἀφόρητον. τὸ δὲ προεγνωσμένον, οἰστότερον. τὸ μὲν γὰρ ἡ διάνοια φόβῳ προληφθεῖσα κατέπληξε. τὸ δὲ ἡ συνήθεια τῷ λογισμῷ διέλυσε. γίνεται δὲ περὶ ἐμὲ τοιόνδε τι. γυνή μου θρακική, τὴν ὥραν ἀκμαίαν, καὶ τὸ κάλλος δευτέραν μετὰ χαρίκλειαν ἔχουσα. ὄνομα ῥοδῶπις. οὐκ οἶδ᾽ ὁ πόθεν ἢ ὅπως κακῇ μοίρᾳ τῶν ἐγνωκότων ὁρμηθεῖσα, ἐπεπόλαζε τὴν αἴγυπτον, καὶ ἤδη καὶ εἰς τὴν μέμφιν ἐκώμαζε, πολλῇ μὲν θεραπείᾳ. πολλῷ δὲ πλούτῳ δορυφορουμένη. πᾶσι δὲ ἀφροδισίοις θηράτροις ἐξησκημένη. οὐ γὰρ ἦν ἐντυχόντα μὴ ἁλῶναι. οὕτως ἄφυκτόν τινα καὶ ἀπρόσμαχον ἑταιρείας σαγήνην ἐκ τῶν ὀφθαλμῶν ἐπεσύρετο. ἐφοίτα δὲ θαμὰ καὶ εἰς τὸν νεὼν τῆς ἴσιδος, ἧς προεφήτευον, καὶ τὴν θεὸν συνεχῶς ἐθεράπευε. θυσίαις τε καὶ ἀναθήμασι πολυτελέσι. αἰσχύνομαι λέγειν, ἀλλ᾽ εἰρήσεται, γίνεται δὲ ἡ καμοῦ κρείττων ὀφθεῖσα πολλάκις. ἡνίκα τὴν διὰ βίου μοι μελετηθεῖσαν ἐγκράτειαν. ἤδη πολύ τε τοῖς σώματος ὀφθαλμοῖς. τοὺς ψυχῆς ἀντιστήσας ἀπῆλθον, τὸ τελευταῖον ἡττηθείς, καὶ πάθος ἐρωτικὸν ὑποφορτισάμενος. ἀρχὴν δὲ τῶν ἐσομένων καὶ προαγορευθέντων μοι πρὸς τοῦ θείου δυσχερῶν, τὴν γυναῖκα φωράσας, καὶ συνεὶς ὡς τῶν πεπρωμένων εἴη ὑπόκρισις, καὶ ὡς ὁ τότε εἰληχὼς δαίμων, οἱονεὶ προσωπεῖον αὐτὴν ὑπῆλθε. τὴν μὲν ἐκ παίδων μοι σύντροφον ἱερωσύνην, ἔγνωκα μὴ καταισχῦναι καὶ αὐτὸς οὐ[illegible]. μὴ δὲ ἱερὰ καὶ τεμένη θεῶν βεβηλῶσαι. τῶν δὲ εἱμαρμένων οὐκ ἔργῳ μὴ γένοιτο, ἀλλ᾽ ἐφέσει μόνῃ τὴν ἁρμόζουσαν ὑπέχων ζημίαν, δικαστὴν ἐμαυτῷ τὸν λογισμὸν ἀναδείξας, φυγῇ κολάζω τὴν ἐπιθυμίαν, καὶ τῆς ἐνεγκούσης ὁ βαρυδαίμων ἐξήειν. ὁ μὲν μὲν εἴκων ταῖς μοιρῶν ἀνάγκαις, καὶ πράττειν ὅτι καὶ βούλοιντο τὰ καθ᾽ ἡμᾶς ἐπιτρέπων. ὁ μὲν δὲ τὴν ἀποτρόπαιον ῥοδῶπιν ἀποφεύγων. ἐδεδίειν γὰρ ὦ ξένε, μή ποτε ὑποκρατοῦντος ἄστεος ὑποβείσαντος, καὶ πρὸς τὸ αἰσχρότερον τῶν ἔργων ἐκνικηθείην. ὁ δὲ ἐμέ τε πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ἐξήλαυνεν, οἱ παῖδες ἦσαν. οὓς ἡ ἀπόρρητός μοι πολλάκις ἐκ θεῶν σοφία, ξιφήρεις ἀλλήλοις συμπεσεῖσθαι προηγόρευε. περιγράφων δὲ τῶν ὀφθαλμῶν, τὴν οὕτως ἀπηνῆ θέαν, ἣν ἐκτραπήσεσθαι καὶ τὸν ἥλιον εἰκάζω, νέφος τὰς ἀκτῖνος προκαλυψάμενον, καὶ πατρῴοις ὄψεσι

Handwritten margin notes: συμφορᾶς τὸ ἀπροσδόκητον ἀφόρητον — Rhodope — ὑπεπόλαζε τὴν αἴγυπτον — ἐκώμαζε — ὑποφορτισάμενος — ἐνεγκούσης. i. patria — ἀποτρέπω — περιγράφων



ὄψεσι τὸν παίδων φόνον ἀθέατον χαριζόμενος, ἐξῴκιζον ἐμαυτὸν φθάσας. πρόφασιν δέ, ὡς εἰς θήβας τὰς μεγάλας ἀνακομίζομαι ποιησάμενος. ὡς ἂν θάτερον τῶν παίδων τὸν πρεσβύτερον θεασαίμην. ἐκεῖ παρὰ τῷ μητροπάτορι τότε διάγοντα. θύαμις ἦν ὄνομα αὐτῷ ὦ ξένε. συνετάραξε πάλιν ὁ κνήμων, ὥσπερ τῷ ὀνόματι τοῦ θυάμιδος πληγείς. σιωπῆσαι τῶν ἑξῆς ἐφιέμενος. ὁ δέ, ἐπέραινε τὸν λόγον ὧδε. παραλείπω τὴν ἐν μέσῳ πλάνην ὦ νεανία. συντελεῖ γὰρ οὐδέν, εἰς τὴν παρὰ σοῦ ζήτησιν. πυνθανόμενος δὲ εἶναί τινα δελφοὺς ἑλλάδα πόλιν, ἱερὰν μὲν ἀπόλλωνος, θεῶν δὲ τῶν ἄλλων τέμενος, ἀνδρῶν δὲ σοφῶν ἐργαστήριον, θορύβου δὲ δημώδους ἐκτὸς ἀνῳκισμένην, ἔστελλον εἰς ταύτην ἐμαυτόν. ἁρμόδιον τῷ προφητικῷ καταγώγιον, τὴν ἱεροῖς καὶ τελεταῖς ἀνακειμένην ὁριζόμενος. διά τε τοῦ κρισαίου κόλπου τῇ κίρρᾳ προσορμισθείς, ἐκ νεὼς ἐπὶ τὴν πόλιν ἀνέθεον. ἐπεὶ δὲ ἐπέστην, ὀμφή με ὡς ἀληθῶς θεία προσέβαλεν αὐτόθεν. καὶ τά τε ἄλλα ἡ πόλις δίαιτημα κρειττόνων ἔδοξε, καὶ οὐχ ἥκιστα τῇ φύσει τῆς περιοχῆς. οἷον γὰρ φρούριον ἀτεχνῶς καὶ αὐτοσχέδιος ἀκρόπολις ὁ παρνασσὸς ἀπαιωρεῖται, προπόδων λαγόσι τὴν πόλιν ἐγκολπωσάμενος. ἄριστα ἔφη λέγεις ὁ κνήμων, καὶ ὡς ἄν τις ἐπιπνοίας ὡς ἀληθῶς πυθικῆς ἐπιθυμούμενος. ταῦτα γὰρ καὶ ὁ πατήρ μοι θέσεως ἔχειν ἔφραζεν. ὅτε αὐτὸν ἱερομνήμονα ἡ πόλις ἀθηναίων ἔστειλεν. ἀθηναῖος ἄρα ἦσθα ὦ παῖ. ναὶ ἔφη. ὄνομα δὲ τίς. κνήμων ἀπεκρίνατο. τύχῃ τινὶ κεχρημένος. εἰσαῦθις ἀκούσῃ, νῦν δὲ ἔχου τῶν ἑξῆς. ἕξομαι ἔφη. καὶ ἐπανήειν πρὸς τὴν πόλιν. ἐπαινέσας οὖν τῶν τε δρόμων καὶ ἀγορῶν καὶ κρηνῶν τὸ ἄστυ, καὶ κασταλίαν αὐτὴν ἣν δὴ καὶ περιρραντήριον ἐποιησάμην, ἐπὶ τὸν νεὼν ἐπέσπευδον. καὶ γάρ με καὶ θροῦς τῶν πολλῶν ἀνεπτέρωσεν, ὥραν εἶναι κινεῖσθαι τὴν θεόπροπον λεγόντων. ἐπεὶ δὲ εἰσελθὼν προσεκύνουν, καί τι καὶ κατ᾽ ἐμαυτὸν ηὐχόμην, ἀνεφθέγξατο ἡ πυθία, τάδε.

Ἴχνος ἀειράμενος ἀπ᾽ εὐστάχυος παρὰ νείλου, »
φεύγεις μοιράων νήματ᾽ ἐρειδομένων. »
Τέτλαθι. σοὶ γὰρ ἐγὼ κυανώλακος αἰγύπτοιο »
αἶψα πέδον δώσω. νῦν δ᾽ ἐμὸς ἔσο φίλος. »

h ταῦτα

Handwritten margin notes: i. ff. κίρρα — Thyamis — Delphi. v. — τέμενος — ἔστελλον — Parnassus. M. — Crissaeus sinus

τοῦ τε ὡς ἐθεασάμην, ἐγὼ μὲν ἐμαυτὸν ἐπὶ πρόσωπον τοῖς βωμοῖς ὑποβαλὼν ἵλεων εἶναι τὰ πάντα ἱκέτευον. ὁ δὲ πολὺς τῶν παρεστώτων ὅμιλος, ἀνευφήμησαν τὸν θεὸν διὰ τὴν ἐπ' ἐμοὶ παρὰ τὴν πρώτην ἐντεῦξιν προφητείας. ἐμὲ δὲ ἐμακάριζον, καὶ περιέπεπον ἐντεῦθεν παντοίως, φίλον ἥκειν με τῷ θεῷ. μετὰ λυκοῦργον τινὰ σπαρτιάτην λέγοντες, καὶ ἐνοικεῖν τε βουλόμενον τῷ τεμένει τοῦ νεὼ συνεχώρουν, καὶ σιτηρέσιον ἐκ τοῦ δημοσίου παρέχειν ἐψηφίσαντο. καὶ συνελόντι λέγειν, ἀγαθῶν ἀπέλιπον οὐδέν. ἢ γὰρ περὶ ἱεροῖς, ἢ περὶ θυσίαις ἐσχολαζόμην. ἃς πολλὰς καὶ παντοίας ἀνὰ πᾶσαν ἡμέραν, ξένος τε καὶ ἐγχώριος λεὼς τῷ θεῷ χαριζόμενοι δρῶσιν, ἢ φιλοσόφοις διελεγόμην. οὐκ ὀλίγος δὲ ὁ τοιοῦτος βίος συρρεῖ περὶ τὸν νεὼν τοῦ πυθίου, καὶ μουσεῖον ἐστὶν ἀτεχνῶς ἡ πόλις, ὑπὸ μουσηγέτῃ θεῷ φοιβαζομένη. τὸν μὲν δὴ πρότερον χρόνον, ἄλλοτε περὶ ἄλλων ἡμῖν αἱ ζητήσεις ἀνεκοινοῦντο. καὶ ὁ μέν τις ὅπως τοὺς ἐγχωρίους αἰγύπτιοι σέβομεν θεοὺς ἀνηρώτα. ὁ δὲ, διὰ τὴν αἰτίαν, ἄλλα παρ' ἄλλοις τῶν ζώων ἐκθειάζεται, καὶ τίς ὁ περὶ ἑκάστου λόγος ἐπυνθάνετο. ἄλλος πυραμίδων κατασκευὴν, ἕτερος συρίγγων πλάνην. καὶ συνελόντα τῶν κατ' αἴγυπτον, ἐν οὐδὲν ἀπελιμπανον ἱστοροῦντες. αἰγύπτιον γὰρ ἄκουσμα καὶ διήγημα πᾶν, ἑλληνικῆς ἀκοῆς ἐπαγωγότατον. τέλος δὲ ποτε περὶ τοῦ νείλου. καὶ τίνες μὲν αὐτοῦ πηγαί. τίς δὲ ἡ παρὰ τοὺς ἄλλους ποταμοὺς ἰδιάζουσα φύσις, καὶ ὁ πόθεν τὴν θερινὴν ὥραν μόνος τῶν πάντων πλημμυρεῖ, πεῦσίν τις ἐμοὶ προσῆγε τῶν ἀστοτέρων. ἐμοῦ δὲ ἅπερ ἐγίγνωσκον εἰπόντος, καὶ ὅσα περὶ τοῦ ποταμοῦ τούτου βίβλοις ἱεροῖς ἀναγεγραμμένα, μόνοις τοῖς προφητικοῖς καὶ γινώσκειν καὶ ἀναγινώσκειν ἔξεστι. καὶ διελθόντος ὡς τὰς μὲν ἀρχὰς ἐκ τῶν ἄκρων τῆς αἰθιοπίας, ἐσχάτων δὲ τῆς λιβύης ἀναλαμβάνει, καθὸ μέρος τὸ κλίμα τὸ ἀνατολικὸν ἀπολῆγον, ἀρχὴν τῇ μεσημβρίᾳ δίδωσιν. αὔξεται δὲ κατὰ τὴν θερινὴν ὥραν, οὐχ ὡς τινὲς ᾠήθησαν πρὸς τῶν ἐτησίων ἀντικρὺ πνεόντων ἀνακοπτόμενος. ἀλλ' αὐτῶν δὴ τούτων τῶν ἀνέμων, κατὰ τροπὴν τὴν θερινὴν ἀπὸ τῶν ἀρκτώων ἐπὶ τὴν μεσημβρίαν πᾶν νέφος ἐλαυνόντων τε καὶ ὠθούντων, ἕως ἐπὶ τὴν διακεκαυμένην ζώνην συνάξωσι, καθ' ἣν διὰ πρόσω φορᾶς ἀνακόπτονται δι' ὑπερβολὴν τοῦ περὶ τὰ μέρη πυρώδους πάσης

τῆς

Lycurgo

συνελόντι λέγειν

βίος. i. genus hominum

Musigetes deo

συρίγγων πλά[νην]

Nilotici incremeti causa

ἐν οὐδὲν



διὰ πρότερον καὶ κατὰ μικρὸν ἀθροισθείσης καὶ παχυνθείσης νοτίδος ἐξατμιζομένης, κἀκ τούτου λάβρων ὑετῶν ἐκρηγνυμένων, ὀργᾷ τε ὁ νεῖλος, καὶ ποταμὸς εἶναι οὐκ ἀνέχεται. ἀλλὰ κατεξανίσταται τῶν ὀχθῶν, καὶ θαλασσώσας τὴν αἴγυπτον, τῇ προσόδῳ γεωργεῖ τὰς ἀρούρας. διὸ πιεῖν τέ ἐστι γλυκύτατος. ἅτε δὴ ὄμβρων οὐρανίων χορηγούμενος, καὶ θίγειν προσηνέστατος. οὐκέτι μὲν θερμὸς ὡς ὅθεν ἤρξατο. ἔτι δὲ χλιαρὸς ὡς ἐκεῖθεν ἀρξάμενος. δι' ἣν αἰτίαν καὶ μόνος ποταμῶν, αὔρας οὐκ ἀναδίδωσι. πάντως ἂν, ὡς τὸ εἰκὸς ἀναδοὺς, εἰ καθώς τινες ἐβουλήθησαν ὡς πυνθάνομαι, τῶν παρ' ἕλλησιν εὐδοκίμων, χιόνος τηκομένης τὸ πλήρωμα ἐλάμβανε. ταῦτά μου καὶ τὰ τοιαῦτα διεξιόντος, ὁ ἱερεὺς τοῦ πυθίου γνώριμος ἐμοὶ γεγονὼς ἐν τοῖς μάλιστα, χαρικλῆς ὄνομα ἦν αὐτῷ, θαυμασίως ἔφη λέγεις. καὶ ταύτῃ τῇ γνώμῃ τίθεμαι καὶ αὐτός. οὕτω καὶ παρὰ τῶν ἐν καταδούποις ἱερέων τοῦ νείλου πυθόμενος. κἀγὼ πρὸς αὐτὸν ὦ χαρίκλεις ἔφην. ἦλθες γὰρ κἀκεῖσε; ἦλθον εἶπεν ὦ σοφὲ καλάσιρι. τί δὲ σε χρέος ἤγαγε πάλιν ἠρώτων. ὁ δὲ δυσπραξία τῶν κατὰ τὴν οἰκίαν ἀπεκρίνατο. ἣ δή μοι καὶ εὐπραξίας αἰτία γέγονεν. ἐμοῦ δὲ τὸ παράδοξον θαυμάσαντος, οὐ θαυμάσῃ ἔφη τὸ πρᾶγμα ὡς γέγονεν εἰ πύθοιο. πεύσῃ δὲ ὅταν σοι βουλομένῳ γίγνηται. οὐκοῦν ὥρα σοι λέγειν. ἔφην δὲ ἐγώ. νῦν γὰρ βούλομαι. μάνθανε εἶπεν ὁ χαρικλῆς τοὺς πολλοὺς μεταστησάμενος, καὶ γάρ σε καὶ διά τι χρήσιμον, ἐμὸν ἀκροατὴν γενέσθαι τῶν συμβεβηκότων πάλαι ἐβουλόμην. ἐμοὶ γήμαντι, παιδία οὐκ ἐγίνετο. ὀψὲ δέ ποτε καὶ βραδὺ τῆς ἡλικίας, πολλὰ τὸν θεὸν ἱκετεύων, θυγατρίου πατὴρ ἀνηγορεύθην. οὐκ ἐπ' αἰσίοις ἔσεσθαί μοι ταύτην τοῦ θεοῦ προαγορεύσαντος. ἦλθε καὶ εἰς ὥραν γάμου καὶ ἐξεδόμην τῶν μνηστευομένων, πολλοὶ δὲ ἦσαν, τῷ παρ' ἐμοὶ κριθέντι καλλίστῳ. καὶ καθ' ἣν νύκτα συγκατεκλίθη τῷ γήμαντι, κατ' αὐτὴν ἡ δυστυχὴς ἐτελεύτα. σκηπτοῦ τινὸς ἢ χειροποιήτου πυρὸς τοῖς θαλάμοις ἐμπεσόντος. καὶ τὸν ὑμέναιον ᾀδόμενον ἔτι, διεδέχετο θρῆνος. καὶ ἀπὸ τῶν παστάδων ἐπὶ τὸ μνῆμα παρεπέμπετο. καὶ δᾷδες αἱ τὸ γαμήλιον ἐκλάμψασαι φῶς, αὗται καὶ τὴν ἐπικήδειον πυρκαϊὰν ἐξῆπτον. ἐπετραγῴδει τούτῳ τῷ δράματι καὶ ἕτερον πάθος ὁ δαίμων.



ὀργᾷ

Charicles

Catadupa

καὶ τὴν μητέρα μοι τῆς παιδὸς ἀφαιρεῖται τοῖς θρήνοις ἐγκαρτε-
ρήσασαν. τὸ δὲ θέλατρον τοῦ κακοῦ μὴ φέρων, ἐμαυτὸν τῆς οὐκ ἐξά-
γω τοῦ βίου. τοῖς θεολογοῦσιν ὡς ἀθέμιτον τὸ πρᾶγμα πειθόμενος.
ὑπεξάγω δὲ τῆς ἐνεγκούσης, καὶ τὴν ἐρημίαν τῆς οἰκίας ἀποδιδρά-
σκω. μέγα γὰρ εἰς λήθην κακῶν ἡ διὰ ὀφθαλμῶν τῆς ψυχῆς ὑπό-
μνησις ἀμαυρουμένη. καὶ πολλοῖς ἐμπλανηθεὶς τόποις, ἦλθον δὴ
καὶ εἰς τὴν σὴν αἴγυπτον, καὶ κατὰ δούπους αὐτούς, ἢ καθ' ἱστορίαν
τῶν καταρράκτων τοῦ νείλου. τῆς μὲν οὖν ἐκεῖσε ἀφίξεως, ἔχεις τὸν
ἀπολογισμὸν ὦ φίλος. ἣν δέ σε βούλομαι προσθήκην γνῶναι τοῦ
διηγήματος, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, αὐτὸ δὴ τὸ κεφάλαιον,
ἀλύοντι μοι περὶ τὴν πόλιν καὶ διατιθεμένῳ σχολήν, καί τινα τῶν
παρ' ἕλλησι σπανίων ὠνουμένῳ, ἤδη γάρ μοι τῆς λίαν ἀλγηδόνος τῷ
χρόνῳ πεπεμμένης, πρὸς τὴν ἐνεγκοῦσαν τε ἐπάνοδος ἐσπούδαζε,
τό, ἀνήρ τις πρόσεισι. τὰ μὲν ἄλλα σεμνὸς ἰδεῖν, καὶ ἀγχίνοιαν ἀπὸ
τοῦ βλέμματος ἐμφανίζων, ἄρτι μὲν τὸν ἔφηβον παραλλάξας. τὴν
χροιὰν δὲ ἀκριβῶς μέλας. καί με ἠσπάζετο, καί τι βούλεσθαι δια-
φράζειν ἔλεγεν ἑλληνίζων οὐ βεβαίως. ἐμοῦ δὲ ἑτοίμως ὑπακούον-
τος, εἴς τινα νεὼν πλησίον κείμενον εἰσαγαγών, φύλλα τινά σε καὶ ῥί-
ζας ἔφη τῶν ἰνδικῶν καὶ αἰθιοπικῶν καὶ αἰγυπτίων ὠνούμενον ἑώ-
ρακα. εἰ δὴ οὖν ἀκραιφνῶς ταῦτα καὶ δόλου παντὸς ἐκτὸς ὠνεῖσθαι
βουληθείης, ἕτοιμος παρέχειν. βούλομαι ἔφην καὶ δείκνυε, καὶ ὃς ὑπὸ
μάλης τι βαλαντίδιον ἔχων, προκομίσας ἐπεδείκνυ, λίθων πολυ-
τίμων ὑπερφυές τι χρῆμα. μαργαρίδες τε γὰρ ἦσαν εἰς καρύου
μικροῦ μέγεθος. εἰς κύκλον τε ἀκριβῶς ἀπηρτισμέναι, σμάραγδοί
τε καὶ ὑάκινθοι. αἱ μέν, οἷα λήιον ἠρινὸν χλοάζουσαι. ἐλαιώδους αὐ-
τὰς τινὸς λειότητος ὑπαυγαζούσης. αἱ δὲ ἀπεμιμοῦντο χροιὰν ἀκ-
τῆς θαλαττίας, ὑπ' ἀγχιβαθεῖ σκοπέλῳ, μικρὸν ὑποφρισσούσης, καὶ
τὸ ὑποκείμενον ἰαζούσης, καὶ ἁπλῶς συμμιγής τις ἦν πάντων ἡ
ποικίλη μαρμαρυγή, τὸν ὀφθαλμὸν εὐφραίνουσα. ἅπερ ὡς εἶδον,
ἄλλους ἔφη ὥρα σοι ζητεῖν ὠνητάς. ὡς ἔγωγε καὶ ἡ
κατ' ἐμὲ περιουσία, σχολῇ γοῦν, εἰ καὶ ἑνὸς εἴη τῶν ὁρωμένων ἰσοστά-
σιος. ἀλλ' εἰ καὶ μὴ πρίασθαι δυνατὸς εἶπε, δῶρον γε λαμβάνειν
οὐκ ἀδύνατος. ἐγὼ μὲν οὐκ ἀνίκανος ἔφη, δῶρον γε λαμβάνειν.



Maxime ad obli
uione malorum
confert absentia

Catadupos . nota

ἀπολόγισμον

ἀνίκανος



σὺ δὲ οὐκ οἶδ' ὅτι βουλόμενος παίζεις ἡμᾶς. οὐ παίζω εἶπε. ἀλλὰ
καὶ σφόδρα σπουδάζω, καὶ ἐπόμνυμί γε τὸν ἱδρυμένον ἐνθάδε
θεόν, ἅπαντα δώσειν. εἰ πρὸς τούτοις καὶ ἕτερον δῶρον ὑποδέ-
ξασθαι βουληθείης, πολὺ τούτων ἐντιμότερον. ἐγέλων πρὸς ταῦ-
τα. τοῦ δέ, τὴν αἰτίαν πυνθανομένου, ὅτι γελοῖον ἔφην εἰ τηλικαῦ-
τα δῶρα καθυπισχνούμενος, προσέτι καὶ μισθὸν ἐπαγγέλλῃ, πο-
λὺ τῶν δώρων ὑπερφέροντα. πίστευε εἶπε. ἀλλ' ἐπόμνυε καὶ αὐ-
τός, ἦ μὴν ἄριστα χρήσασθαι τῷ δώρῳ, καὶ ὡς ἂν αὐτὸς ὑφηγήσω-
μαι. ἐθαύμαζον μέν, ἀπορῶν. ἐπόμνυον δὲ τηλικαῦτα ἐλπίζων.
ἐπειδὴ δέ μοι ὠμώμοσο ὡς ἐκεῖνος ἐπεσκήπτεν, ἄγει με παρ' αὐτὸν
καὶ δείκνυσι κόρην. ἀμήχανόν τι καὶ δαιμόνιον κάλλος. ἣν αὐ-
τὸς μὲν ἑπταετῆ γεγονέναι ἔλεγεν. ἐμοὶ δὲ καὶ ὥρα γάμου πλησιά-
ζειν ἐῴκει. οὕτως ἄρα κάλλους ὑπερβολή, καὶ εἰς μεγέθους ἔμφασιν
φέρει προσθήκην. κἀγὼ μὲν ἀχανὴς εἱστήκειν. ἀγνοίᾳ τε τῶν γιγνο-
μένων, καὶ ἀκορέστῳ θέᾳ τῶν ὁρωμένων. ὁ δὲ ἄρχεται λόγων τοιῶν-
δε. ταύτην ἣν ὁρᾷς ξένε φησίν, ἡ μὲν τεκοῦσα, δι' αἰτίαν ἣν γνώ-
σῃ μικρὸν ὕστερον, ἐν σπαργάνοις ἐξέθετο. τύχης ἀμφιβολίᾳ τὰ
κατ' αὐτὴν ἐπιτρέψασα. ἐγὼ δὲ προστυχών, ἀνειλόμην. οὐ γὰρ
ἦν μοι θεμιτὸν ἐν κινδύνῳ ψυχὴν ἅπαξ ἐνανθρωπήσασαν παρι-
δεῖν. ἓν γὰρ καὶ τοῦτο παράγγελμα, τῶν γυμνῶν παρ' ἡμῖν σοφῶν. ὧν
ἀκουστὴς εἶναι χρόνοις ὀλίγῳ πρόσθεν ἠξιώμην. καὶ ἄλλως τὸ παιδίον
αὐτόθεν μέγα τι καὶ θεῖον τῶν ὀφθαλμῶν ἐξέλαμπεν. οὕτω μοι πε-
ρισκοποῦντι, γοργόν τε καὶ ἐπαγωγὸν ἐνεῖδε. συνεξέκειτο δὲ αὐ-
τῷ καὶ λίθων ὅρμος, ὃν ἀρτίως ἐπεδείκνυον, καὶ ταινία τις ἀπὸ ση-
ρικοῦ νήματος ἐξυφασμένη. γράμμασιν ἐγχωρίοις καὶ διηγήμα-
τι τῶν περὶ τὴν παῖδα κατάστικτος. τῆς μητρὸς οἶμαι σύμβολα ταῦ-
τα καὶ γνωρίσματα τῇ κόρῃ προμηθευσαμένης. ἅπερ ὡς ἀνέγνων,
πόθεν τε οὖσα καὶ τίνος ἔγνων. εἰς ἀγρόν τε κομίζω πόρρω τῆς πό-
λεως ἀπῳκισμένον, καὶ ποιμέσιν ἑαυτοῦ τρέφειν παραδούς, μηδε-
νί τε φράζειν ἐπαπειλήσας, τὰ συνεκτεθέντα κατεῖχον, τοῦ μή
τινα ἐπιβουλὴν γενέσθαι αὐτὰ τῇ κόρῃ. τὰ μὲν οὖν πρῶτα οὕτως
ἐλάνθανεν. ἐπεὶ δὲ τοῦ χρόνου προϊόντος, ἡ τῆς κόρης ἀκμὴ καὶ μεί-
ζον ὥρας ἐφαντάζετο τοῦ εἰωθότος, τὸ κάλλος δ' οὐδ' ἂν, ὑπὸ



Gymnosophistae

γοργόν
ἐπαγωγόν

γὴν κρυπτόμενον ἔλαθεν, ἀλλά μοι δοκεῖ, κἂν ἐκεῖθεν διεκλάμψαι, δείσας μή τι φωραθείη τὰ κατ' αὐτὴν, καὶ ἀπόλοιτο μὲν αὐτὴ, προσαπολαύσω δέ τινος καὶ αὐτὸς ἀηδοῦς ἐκ πεμφθείσης πρεσβείας τῆς παρὰ τὸν αἰγύπτου σατράπην ἐπραγματευσάμην, καὶ ἥκω ταύτην συνεπαγόμενος. διαθέσθαι τὰ κατ' αὐτὴν ἐνθυμούμενος, καὶ τότε μὲν, ὅσον οὐδέπω περὶ ὧν ἥκω διαλεχθήσομαι. χρηματίσαι γὰρ ἡμῖν τήμερον ἐπηγγείλατο. σοὶ δὲ καὶ θεοῖς τοῖς οὕτως ὑποτρέψασιν ἐγχειρίζω τὴν κόρην, ἐφ' οἷς συνθήκαις ταῖς ἐνωμότως ἡμῖν γενομέναις, ἡμῖν ἐλευθέραν ταύτην ἕξειν, καὶ ἐλευθέρῳ πρὸς γάμον ἐκδώσειν, ταύτην, ἣν δὴ καὶ αὐτὸς κομίζῃ παρ' ἡμῶν. μᾶλλον δὲ τῆς συνεκθεμένης μητρός. πιστεύω δέ σε πάντα ἐμπεδώσειν τὰ ὡμολογημένα, τοῖς τε ὅρκοις ἀποθαρσῶν, καὶ τὸν σὸν τρόπον ἐκ πολλῶν τῶν ἡμερῶν, ὧν ἐνθάδε διάγεις, ἑλληνικὸν ὄντα τῷ ὄντι περιειργασμένος. ταῦτά σοι νῦν εἶχον λέγειν ὑπερτεταμένως, καλούσης μὲν τῆς περὶ τὴν πρεσβείαν χρείας. τὰ σαφέστερα δὲ καὶ ἀκριβέστερα τῶν περὶ τὴν κόρην, εἰς αὔριον μυηθήσῃ περὶ τὸν νεὼν τῆς ἴσιδος ἐντυχών. ἐποίουν οὕτως, καὶ παραλαβὼν τὴν κόρην, ἦγον ὑποκαλυψάμενος ὡς ἐμαυτόν. κἀκείνην μὲν τὴν ἡμέραν εἶχον ἐν θεραπείᾳ πολλὰ φιλοφρονούμενος. καὶ πολλὴν τοῖς θεοῖς ὁμολογῶν χάριν, αὐτόθεν τε ἐμαυτοῦ θυγατέρα, καὶ ἐνόμιζον καὶ ὠνόμαζον. εἰς δὲ τὴν ὑστεραίαν ἅμα ἡμέρᾳ, λίαν ἐσπουδασμένως, ἐπὶ τὸν νεὼν τῆς ἴσιδος οὗπερ συνέτακτό μοι πρὸς τὸν ξένον, ὥρμησα, καὶ πλεῖστα ἐμπεριπατήσας, ἐπειδήπερ ἐφαίνετο οὐδαμοῦ, παραγενόμενος εἰς τὰ σατραπεῖα, τὸν πρεσβεύοντα τῶν αἰθιόπων εἴ τις ἑώρα ἐπυνθανόμην. καί μοι τὶς ἀπήγγελλεν, ὡς ἐξώρμησε. μᾶλλον δὲ ἐξελήλατο πρὸ ἡλίου δυσμῶν. εἰ μὴ τῶν ὅρων ἐκτὸς γένοιτο, θάνατον αὐτῷ τοῦ σατράπου διαπειλήσαντος. ἐμοῦ δὲ ἐρομένου τὴν αἰτίαν, ὅτι ἔφη ὁ ἀπαγγέλλων ἐπέταττεν, ἀπέχεσθαι τῶν σμαραγδείων μετάλλων ὡς αἰθιοπίᾳ προσηκόντων, ὑπέστρεφον ἀνιαρῶς ἄγαν διατεθεὶς, καὶ ὥσπερ οἱ βαρεῖαν πληγὴν εἰληφότες. ὅτι δή μοι γνῶναι μὴ ἐξεγένετο τὰ περὶ τῆς κόρης, τίς, ἢ πόθεν, ἢ τίνων. μὴ θαυμάσῃς εἶπεν ὁ κνήμων. ἄχθομαι γὰρ καὶ αὐτὸς οὐκ ἀκούσας. ἀλλ' ἴσως ἀκούσομαι. ἀκούσῃ ἔφη ὁ καλάσιρις. νυνὶ δὲ, ἅπερ ἐξῆς ἐπέραινεν ὁ χαρικλῆς, εἰρήσεται. ἐπειδὴ γάρ φησιν εἰς

ὅσον οὐδέπω

χρηματίσαι

μυηθήσῃ



σιν εἰς τὸ δωμάτιον ἦλθον, ὑπαντᾷ τέ μοι ἡ παῖς, καὶ ἔλεγε μὲν οὐδὲν, οὔπω τῆς ἑλλάδος συνιεῖσα φωνῆς. ἀλλὰ δὲ τῆς χειρὸς ἠσπάζετο. καί με πρὸς τὸ φαιδρότερον ὀφθεῖσα μόνον ἀνίησιν. ἐθαυμάζοντός τε ὅτι καθάπερ οἱ ἀγαθοὶ καὶ εὐγενεῖς τῶν σκυλάκων, πάντα τινὰ καὶ ἐπ' ὀλίγον ἐγνωσμένον σαίνουσιν, οὕτω κἀκείνη τῆς ἐμῆς περὶ αὐτὴν εὐνοίας ὀξέως ᾔσθετο, καὶ ὡς πατέρα περιεῖπεν. ἔγνων οὖν μὴ ἐνδιατρίβειν τοῖς καταδούποις. μή δή τις καὶ δαίμονος βασκανία τῆς δευτέρας με θυγατρὸς στερήσειε, καὶ διὰ τοῦ νείλου κατάρας ἐπὶ θάλατταν, ὑποτυχών τε νεὼς, ἀνηγόμην τὴν ἐπ' οἴκου, καὶ ἔστι νῦν ἡ παῖς ἐνταῦθα σὺν ἐμοί. παῖς μὲν οὖσα ἐμή. καὶ ὄνομα τοὐμὸν ὀνομαζομένη. σαλεύω γὰρ ἐπ' αὐτῇ τὸν βίον, καὶ ἔστι τὰ μὲν ἄλλα καὶ εὐχῆς κρείττων. οὕτω τάχιστα μὲν τὴν ἑλλάδα γλῶτταν εἵλκυσε. τάχιστα δὲ εἰς ἀκμὴν καθάπερ ἔρνος τι τῶν εὐθαλῶν ἀνέδραμεν. ὡραιότητι δὲ σώματος οὕτω δή τι τὰς πάσας ὑπερβέβληκεν, ὥστε πᾶς ὀφθαλμὸς ἑλληνικός τε καὶ ξένος ἐπ' αὐτὴν φέρεται. καὶ ὅπου δὴ φαινομένη ναῶν, ἢ δρόμων ἢ ἀγορῶν, καθάπερ ἀρχέτυπον ἄγαλμα πᾶσαν ὄψιν καὶ διάνοιαν ἐφ' ἑαυτῇ ἐπιστρέφει. ἀλλ' αὕτη τοιαύτη τις οὖσα, λυπεῖ με λύπην ἀνίατον. ἀπαγορεύεται παρ' αὐτῆς γάμος. καὶ παρθενεύειν τὸν πάντα βίον διατείνεται, καὶ τῇ ἀρτέμιδι ζάκορον ἑαυτὴν ὑποδοῦσα, θήραις τὰ πολλὰ σχολάζει, καὶ ἀσκεῖ τοξείαν. ἐμοὶ δὲ ἐστὶν ὁ βίος ἀφόρητος. ἐλπίσαντι μὲν ἀδελφῆς ἐμαυτοῦ παιδὶ, ταύτην ἐκδώσειν. καὶ μάλα γε ἀστείῳ καὶ χαρίεντι λόγον τε καὶ ἦθος νεανίσκῳ. οὔτε γὰρ θεραπεύων, οὔτε ἐπαγγελλόμενος, οὔτε λογισμοὺς ἀνακινῶν πεῖσαι δεδύνημαι. ἀλλὰ τὸ χαλεπώτατον, τοῖς ἐμοῖς τὸ τοῦ λόγου κατ' ἐμοῦ κέχρηται πτεροῖς, καὶ τὴν ἐκ λόγων πολυπειρίαν, ἣν ποικίλην ἐδιδαξάμην πρὸς κατασκευὴν τοῦ τὸν ἄριστον ᾑρῆσθαι βίον ἐπανατείνεται. ἐκθειάζουσα μὲν παρθενίαν, καὶ ἐγγὺς ἀθανάτων ἀποφαίνουσα. ἄχραντον καὶ ἀκήρατον καὶ ἄφθαρτον ὀνομάζουσα. ἔρωτας δὲ καὶ ἀφροδίτην καὶ πάντα γαμήλιον θίασον, ἀποσκορακίζουσα. πρὸς ταῦτα δή σε βοηθεῖν παρακαλοῦμαι, καὶ διὰ τοῦτο καιροῦ λαβόμενος καὶ ἀφορμῆς τῆς ἐκ ταὐτομάτου πως ἐνδοθείσης μακροτέρᾳ πρός σε τοῦ διηγήματος

ἐδεήθην

τοῖς καταδούποις

ζάκορον

θίασον γαμήλι

ἀποσκορακί
ζουσα

ἐδεήθην, καὶ δὸς τὴν χάριν ὦ 'γαθὲ Καλάσιρι. σοφίαν τινὰ καὶ ἴυγ-
γα κίνησον ἐπ' αὐτὴν Αἰγυπτίαν. πεῖσον ἢ λόγοις ἢ ἔργοις, γνωρί-
σαι τὴν ἑαυτῆς φύσιν, καὶ ὅτι γυνὴ γέγονεν εἰδέναι. βουλομένῳ
δέ σοι τὸ πρᾶγμα ῥᾴδιον. οὔτε γὰρ ἀπρόσμικτος. ἐκείνη πρὸς τοὺς
λόγους τῶν ἀνδρῶν. ἀλλὰ τὸ πλεῖστον, τούτοις συνώμιλος ἐπαρθε-
νεύθη. καὶ οἴκησιν οἰκεῖ σοι τὴν αὐτὴν ἐνταῦθα. ἐντὸς φημὶ τοῦ πε-
ριβόλου καὶ περὶ τὸν νεών. ἱκέτην με γιγνόμενον, μὴ περιίδῃς. μὴ δὲ
συγχωρήσῃς, ἄπαιδα καὶ ἀπαραμύθητον καὶ διαδόχων ἔρημον,
ἐν γήρᾳ βαρεῖ διάγειν. μὴ πρὸς Ἀπόλλωνος αὐτοῦ καὶ τῶν ἐγχω-
ρίων σοι θεῶν. ἐδάκρυσα ταῦτα ἀκούων ὦ Κνήμων. ἐπειδὴ κἀκεῖ-
νος οὐκ ἀδάκρυτον τὴν ἱκεσίαν προσῆγε, καὶ ἐπηγγελλόμην εἴτι
δυναίμην συλλήψεσθαι, καὶ ἔτι περὶ τούτων διασκοπουμένων ἡ-
μῶν, εἰσδραμών τις ἀπήγγειλε τὸν ἀρχιθέωρον τῶν Αἰνειάνων, ἐπὶ
θύραις ὄντα, πάλαι διοχλεῖν καὶ παρακαλεῖν τὸν ἱερέα παρεῖναι,
καὶ κατάρχειν τῶν ἱερῶν. ἐμοῦ δὲ ἐρομένου τὸν Χαρικλέα, τίνες οἱ Αἰ-
νιᾶνες, ἥτις ἡ θεωρία καὶ ἣν ἄγουσι θυσίαν, οἱ μὲν Αἰνιᾶνες ἔφη,
Θετταλικῆς ἐστι μοίρας τὸ εὐγενέστατον, καὶ ἀκριβῶς Ἑλληνικόν, ἀφ'
Ἕλληνος τοῦ Δευκαλίωνος, τὸ μὲν ἄλλο τῷ Μαλιακῷ κόλπῳ παρα-
τεινόμενον. μητρόπολιν δὲ σεμνυνόμενον Ὑπάταν. ὡς μὲν αὐτοὶ
βούλονται, ἀπὸ τοῦ τῶν ἄλλων ὑπατεύειν καὶ ἄρχειν ὠνομασμένην.
ὡς δὲ ἑτέροις δοκεῖ, διότιπερ ὑπὸ τῇ Οἴτῃ τῷ ὄρει κατῴκισται. ἡ δὲ
θυσία καὶ ἡ θεωρία τετραετηρίδα ταύτην, ὅτεπερ καὶ ὁ Πυθίων
ἀγών. ἔστι δὲ νῦν ὡς οἶσθα, πέμπουσιν Αἰνειᾶνες Νεοπτολέμῳ τῷ
Ἀχιλλέως, ἐνταῦθα γὰρ ἐδολοφονήθη πρὸς αὐτοῖς τοῖς τοῦ Πυθίου
βωμοῖς, ὑπ' Ὀρέστου τοῦ Ἀγαμέμνονος. ἡ δὲ νῦν θεωρία, καὶ πλεονε-
κτεῖ τὰς ἄλλας. Ἀχιλλείδης γὰρ εἶναι σεμνύνεται ὁ τῆς θεωρίας ἐξάρ-
χων. συνέτυχον γὰρ τῇ προτεραίᾳ τῷ νεανίσκῳ. καί μοι ἀληθῶς
ἔδοξε τοῖς Ἀχιλλείδαις ἐμπρέπειν. τοιοῦτός ἐστι τὴν μορφήν, καὶ το-
σοῦτος ἰδεῖν τὸ μέγεθος, ὡς βεβαιοῦν τῇ θέᾳ τὸ γένος. ἐμοῦ δὲ θαυ-
μάσαντος, καὶ πῶς Αἰνιάνων γένος τυγχάνων, Ἀχιλλείδην ἑαυ-
τὸν ἀναγορεύει φήσαντος, ἡ γὰρ Ὁμήρου τοῦ Αἰγυπτίου ποίησις τὸν
Ἀχιλλέα Φθιώτην ἐνδείκνυται, ὁ μὲν νεανίσκος ἔφη ὁ Χαρικλῆς καὶ
Αἰνιᾶσι τὸν ἥρωα διαγωνίζεται. τὴν Θέτιν ἐκ τοῦ Μαλιακοῦ κόλ-

που

ἴυγγα κίνησον

ἀρχιθέωρον

Αἰνιᾶνες Thessali

Hellenes ab hellene deucalionis f.

Hypata V. unde dicta.

Maliacus sinus

Neoptolemus ubi occisus ab oreste

Homeri ægyptij poesis



που γήμασθαι τῷ Πηλεῖ. καὶ Φθίαν τε περὶ τὸν κόλπον τοῦτον ὀνο-
μάζεσθαι πάλαι διατεινόμενος. τοὺς δὲ ἄλλους διὰ δόξαν τοῦ ἀν-
δρὸς ἐφελκομένους ἑαυτοῖς ἐπιψεύδεσθαι. καὶ ἄλλως δὲ ἑαυτὸν ἐγ-
γράφει τοῖς Αἰακίδαις Μενέσθιον ἑαυτοῦ προπάτορα καταφέρων
τὸν Σπερχειοῦ παῖδα καὶ Πολυδώρας τῆς ἐκ Πηλέως. ὃς καὶ Ἀχιλλεῖ
συνεστράτευσεν ἐν πρώτοις ἐπὶ Ἴλιον, καὶ τοῖς πρώτοις τῶν Μυρμι-
δόνων διὰ τὸ συγγενὲς ἐξῆρχε μοίρας. τῷ δὲ Ἀχιλλεῖ πάντοθεν περι-
φυόμενος, καὶ πανταχόθεν αὐτὸν τοῖς Αἰνιᾶσιν οἰκειούμενος, τεκ-
μήριον λαμβάνει πρὸς τοῖς ἄλλοις οἷς καταλέγει, καὶ τὸν ἐναγι-
σμὸν τὸν Νεοπτολέμῳ πεμπόμενον. οὗ συμπάντων ὥς φησιν, Αἰ-
νιᾶσιν ἐξεχώρησαν Θεσσαλοί, τὸ ἐγγυτέροις εἶναι τοῦ γένους προσμαρ-
τυροῦντες. ἐκείνοις μὲν οὖν οὐδεὶς φθόνος ἔφην ὦ Χαρίκλεις, ἢ χα-
ρίζεσθαι ταῦτα, ἢ καὶ ἐπαληθεύειν ἑαυτοῖς. τὸν δὲ ἀρχιθέωρον εἰσ-
καλεῖσθαι πρόσταξον. ὡς ἔγωγε αὐτοῦ μανικῶς ἀνεπτέρωμαι πρὸς
τὴν θέαν. ἐπένευσεν ὁ Χαρικλῆς. καὶ εἰσῆλθεν ὁ νεανίσκος, Ἀχιλ-
λειόν τι τῷ ὄντι πνέων, καὶ πρὸς ἐκεῖνον τὸ βλέμμα καὶ τὸ φρόνημα
ἀναφέρων. ὀρθὸς τὸν αὐχένα. καὶ ἀπὸ τοῦ μετώπου τὴν κόμην καὶ
πρὸς τὸ ὄρθιον ἀναχαιτίζων. ἡ ῥὶς ἐν ἐπαγγελίᾳ θυμοῦ. καὶ οἱ μυκτῆ-
ρες ἐλευθέρως τὸν ἀέρα εἰσπνέοντες. ὀφθαλμός, οὔπω μὲν χαρο-
πός. χαροπώτερον δὲ μελαινόμενος. σοβαρώτερόν τε ἅμα καὶ οὐκ
ἀνέραστον βλέπων. οἷον θαλάσσης ἀπὸ κύματος εἰς γαλήνην ἄρτι
λεαινομένης. ἐπεὶ δὲ ἡμᾶς τὰ εἰωθότα ἠσπάσατο, καὶ τῶν ἀμοιβαίων
ἔτυχεν, ὥραν εἶναι τοῦ τὴν θυσίαν τῷ θεῷ προσάγειν ἔλεγεν. ὡς ἄν,
καὶ τὸν ἐναγισμὸν τῷ ἥρωι, καὶ τὴν ἐπ' αὐτῷ πομπὴν κατὰ καιρὸν
ἐν δευτέροις ἐπιτελεῖν ἐγγένοιτο. γινέσθω ἔφη Χαρικλῆς, καὶ ἀνι-
στάμενος, ὄψει ἔφη πρός με καὶ τὴν Χαρίκλειαν τήμερον, εἰ μὴ πρό-
τερον εἶδες. συμπαρεῖναι γὰρ καὶ τὴν ζάκορον τῇ πομπῇ καὶ τοῖς
ἐναγισμοῖς τοῦ Νεοπτολέμου πάτριον. ἐμοὶ δὲ ἡ παῖς ὦ Κνήμων,
ἑώρατο ἤδη πολλάκις. καὶ θυσιῶν συνεφήπτετο, καὶ λόγων ἱερῶν
ἔστι ποτὲ ἐπύθετο. ἀλλ' ὅμως ἐσιώπων. τὸ μέλλον ἀπεκδεχόμενος.
καὶ ἅμα τὴν ὁρμὴν ὡς ἐπὶ τὸν νεὼν ἐποιούμεθα. πάντα γὰρ ἤδη πα-
ρεσκεύαστο τὰ πρὸς τὴν θυσίαν τοῖς Θετταλοῖς. ἐπεὶ δὲ ἡμεῖς τε πρὸς
τοῖς βωμοῖς ἐγινόμεθα, καὶ ὁ νεανίας ἤδη τῶν ἱερῶν κατῆρχε, προ-

i κατευ-

Thetis

Menesthius Sperchij f.

Polydora

ἀρχιθέωρον

ἀνεπτέρωμαι

χαροπός

κατευξαμένου τοῦ ἱερέως ἐκ τῶν ἀδύτων ἀναφθέγγεται ἡ Πυθία, τοιάδε.

Τὴν χάριν ἐν πρώτοις αὐτὰρ κλέος ὕστατ' ἔχουσαν,
Φράζεσθ' ὦ Δελφοί. τόν τε θεᾶς γενέτην.
Οἱ νηὸν προλιπόντες ἐμὸν, καὶ κῦμα τεμόντες,
Ἵξοντ' ἠελίου πρὸς χθόνα κυανέην.
Τῇ περ ἀριστοβίων μέγ' ἄεθλιον ἐξάψονται
Λευκὸν ἐπὶ κροτάφων στέμμα μελαινομένων.

Ταῦτα μὲν ὡς εἶπεν ὁ θεὸς, ἀμηχανία πλείστη τοὺς περιεστῶτας εἰσεδύετο. τὸν χρησμὸν ὅτι βούλοιτο φράζειν ἀπορουμένους. ἄλλος γὰρ πρὸς ἄλλο τι τὸ λόγιον ἔσπα. καὶ ὡς ἕκαστος εἶχε βουλήσεως, οὕτω καὶ ὑπελάμβανεν. οὔπω δὲ οὐδεὶς τῶν ἀληθῶν ἐφήπτετο. χρησμοὶ γὰρ καὶ ὄνειροι τὰ πολλὰ τοῖς τέλεσι κρίνονται. καὶ ἄλλως οἱ Δελφοὶ πρὸς τὴν πομπὴν ἐπτοημένοι, μεγαλοπρεπῶς ηὐτρεπισμένην ἠπείγοντο. τὰ χρησθέντα πρὸς τὸ ἀνιχνεύειν ἀκριβὲς ἀμελήσαντες.

# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΩΝ ΛΟΓΟΣ Γ.

ἘΠΕΙ δὲ ἡ πομπὴ καὶ ὁ σύμπας ἐναγισμὸς ἐτελέσθη. καὶ μὴν οὐκ ἐτελέσθη πάτερ ὑπολαβὼν ὁ Κνήμων, ἐμέ γ' οὖν οὔπω θεατὴν ὅσος ὑπέστη λόγος, ἀλλ' εἰς πᾶσαν ὑπερβολὴν ἠπειγμένον τῆς ἀκροάσεως, καὶ αὐτοπτῆσαι σπεύδοντα τὴν πανήγυριν, ὥσπερ κατόπιν ἑορτῆς ἥκοντα τὸ τοῦ λόγου παρατρέχεις. ὁμοῦ τε ἀνοίξας καὶ κλείσας τὸ θέατρον. ἐγὼ μὲν ὦ Κνήμων ἔφη ὁ Καλάσιρις, ἥκιστά σε τοῖς ἔξωθεν καὶ τοιούτοις βούλομαι διοχλεῖν. ἀλλὰ τὰ καιριώτερά σε τῆς ἀφηγήσεως, καὶ ὧν ἐπεζήτεις ἐξ ἀρχῆς συνελαύνων. ἐπεὶ δὲ ἐκ παρόδου θεωρὸς γενέσθαι βεβούλησαι, σὺ μὲν ἀττικὸς ὢν κἀκ τούτου οὐ λέληθας. ἐγὼ δέ σοι τὴν πομπὴν ὀνομαστὴν ἐν ὀλίγοις γενομένην, αὐτῆς τε ἕνεκεν, καὶ τῶν ἐξ αὐτῆς ἀποβάντων, ὡς ἐπιτεμὼν διαθήσομαι. ἡγεῖτο μὲν ἑκατόμβη τῶν τελουμένων ἀνδρῶν, ἀγροικότερον βίον τε καὶ στολὴν ἐφελκο-

Pompæ descriptio



μένων. τὸ μὲν ζῶσμα ἑκάστου, χιτῶνα λευκὸν εἰς ἀγκύλην ἀνέστελλε. χεὶρ δὲ ἡ δεξιὰ σὺν ὤμῳ καὶ μαζῷ παραγυμνουμένη, πέλεκυν δίστομον ἐπεκράδαινεν. οἱ βόες μέλανες πάντες. τὸν αὐχένα σφριγῶντες, καὶ πρὸς κύρτωμα μέτριον ἐγειρόντες. τὸ μὲν κέρας ἀπερίτριπτον καὶ ἀδιάστροφον ὀξυνόντες. ὁ μὲν ἐπίχρυσον. ὁ δὲ ἀνθινοῖς στεφάνοις διάπλοκον. σιμοὶ τὴν κνήμην καὶ βαθεῖαν τὴν φάρυγγα τοῖς γόνασιν ἐπαιωροῦντες. ὁ δὲ ἀριθμὸς ἀκριβῶς ἑκατόμβη, καὶ εἰς ἀλήθειαν τὸ ὄνομα πληροῦντες. ἐπηκολούθει τούτοις ἄλλων ἱερείων διάφορον πλῆθος. ἑκάστου ζώου γένος ἰδίᾳ καὶ εἰς κόσμον ἀγόμενον. αὐλὸς καὶ σύριγξ τελεστικόν τι μέρος καὶ καταγγελτικὸν τῆς θυσίας ὑπαρχόντων. ταύτας τὰς ἀγέλας καὶ τοὺς ἄνδρας βουλάτας. κόραι Θετταλαὶ διεδέχοντο. καλλίζωναί τινες καὶ βαθύζωνοι. καὶ τὴν κόμην ἄνετοι. διῄρηντο δὲ εἰς δύο χορούς, καὶ αἱ μὲν, ἔφερον καλαθίσκους ὁ πρῶτος χορός. ἀνθέων τε καὶ ὡραίων πλήρεις. αἱ δὲ, κανᾶ πεμμάτων τε καὶ θυμιαμάτων κανηφοροῦσαι, τὸν τόπον εὐωδίᾳ κατέπνεον. ἠσχόλουν δὲ οὐδὲν εἰς ταῦτα τὰς χεῖρας. ἀλλ' ὑπὲρ τῆς κεφαλῆς ἀχθοφοροῦσαι πρὸς χορὸν στιχηρὸν καὶ ἐγκάρσιον ἀλλήλων εἴχοντο. ὡς αὐταῖς βαδίζειν τε ἅμα καὶ χορεύειν αὐταῖς ἐγίγνοιτο. τοῦ δὲ μέλους αὐταῖς τὸ ἐνδόσιμον ὁ ἕτερος χορὸς ὑπεσήμαινε. οὗτος γὰρ τὸν ὅλον ἐπετέτραπτο μελῳδεῖν ὕμνον. ὁ δὲ ὕμνος ἦν, ἡ Θέτις ἐπῃνεῖτο καὶ ὁ Πηλεύς. κἀπὶ τούτοις ὁ ἐκείνων παῖς. καὶ ὁ τούτου πάλιν. μετὰ τούτους ὦ Κνήμων τί; Κνήμων ἔφη ὁ Κνήμων, πάλιν γάρ με τῶν ἡδίστων ἀποστερεῖς ὦ πάτερ, αὐτόν μοι τὸν ὕμνον οὐ διερχόμενος, ὥσπερ θεατήν με μόνον τῆς πομπῆς, ἀλλ' οὐχὶ καὶ ἀκροατὴν καθιστάς. ἀκούοις ἂν, ἔφη ὁ Καλάσιρις, ἐπειδήπερ οὕτω σοι φίλον. εἶχε ὧδε ἡ ᾠδή. Τὰν Θέτιν Νηρέως ἀθανάταν εἰναλίοιο κόραν τὰν Διὸς ἐννεσίῃ Πηλεῖ γημαμέναν, τὰν ἁλὸς ἀγλαΐαν ἁμετέραν Παφίην, ἃ δορυμανῆ τόν τ' Ἄρεα πολέμων Ἑλλάδος ἀστεροπὰν ἐξέτεκε λαγόνων δῖον Ἀχιλλῆα τοῦ κλέος οὐράνιον. τῷ ὑπὸ Πύρρα τέκε παῖδα Νεοπτόλεμον περσέπτολιν ῥυσίπολιν Δαναῶν, ἱλήκοις ἥρως ἄμμι Νεοπτόλεμε ὄλβιε. Πυθίᾳ δὴ χθονὶ κευθόμενε, δέχνυσο δ' ὑμνῳδῶν τῶνδε θυηπολίην, πᾶν δ' ἀπέρυκε δέος ἁμετέρας πόλιος. Τὰν Θέτιν ἀείδω χρυσεόθειρα Θέτιν.

ζῶσμα
ἀγκύλην
σφριγῶντες

Canephoræ virgines

ὁ μὲν οὖν ὕμνος ὧν κνήμων τῇ δέ πῃ συνέκειτο, καθόσον ἔχω διαμνημονεύειν. τοσοῦτον δέ τι ἐμμελείας περιῆν τοῖς χοροῖς καὶ οὕτω συμβαίνων ὁ κρότος τοῦ βήματος πρὸς τὸ μέλος ἐρυθμίζετο, ὡς τὸν ὀφθαλμὸν τῶν ὁρωμένων ὑπερφρονεῖν ὑπὸ τῆς ἀκοῆς ἀναπείθεσθαι, καὶ συμπαρέπεσθαι μεταβαινούσαις ἀεὶ ταῖς παρθένοις τοὺς παρόντας, ὥσπερ ὑπὸ τοῦ περὶ τὴν ᾠδὴν ἤχους ἐφελκομένους. ἕως κατόπιν ἐφήβων ἱππικὸν καὶ ὁ τούτων ἵππαρχος ἐκλάμψας, ἀκοῆς κρείττονα πάσης τὴν τῶν καλῶν θέαν ἀπέδειξεν. ὁ μὲν οὖν ἀριθμὸς τῶν ἐφήβων εἰς πεντήκοντα συνετέτακτο. ἐμερίζετο δὲ πέντε καὶ εἴκοσιν ἑκατέρωθεν. μεσοῦντα τὸν ἀρχιθέωρον δορυφοροῦντες. κρηπὶς μὲν αὐτοῖς, ἱμάντι φοινικῷ διάπλοκος ὑπὲρ ἀστράγαλον ἐσφίγγετο. χλαμὺς δὲ λευκή, περόνῃ χρυσῇ πρὸς τοῖς στέρνοις διεφήκωτο. τὴν εἰς ἄκρον πέζαν κυανῇ τῇ κεφαλῇ κεκυκλωμένη. ἡ δὲ ἵππος, θετταλικὴ μὲν πᾶσα καὶ τῶν ἐκεῖθεν πεδίων τὸ ἐλεύθερον βλέπουσα. τὸν γὰρ χαλινὸν ὡς μὲν δεσπότην ἠρνεῖτο, διαπτύουσα καὶ θαμὰ περιαφρίζουσα. ὡς δὲ τὸν νοῦν ὑφηγούμενον τοῦ ἀναβάτου φέρειν ἠνείχετο. φαλάροις δὲ καὶ προμετωπιδίοις, ἀργυροῖς τε καὶ ἐπιχρύσοις ἐξησκημένη. καθάπερ ἀγώνισμα τῶν ἐφήβων τοῦτο πεποιημένων. ἀλλὰ τούτους ὧν κνήμων τοιούτους ὄντας, οὕτως ὑπερεῖδε καὶ παρέδραμεν ἡ τῶν παρόντων ὄψις καὶ πρὸς τὸν ἵππαρχον, ἣν δὲ τὸ μέλημα τὸ ἐμὸν Θεαγένης, ἅπας ἐπέστρεψεν. ὥστε ἔδοξεν ὑπὸ ἀστραπῆς τὸ φαινόμενον πρότερον ἅπαν ἠμαυρῶσθαι. τοσοῦτον ἡμᾶς ὀφθεὶς κατέλαμψεν. ἱππεὺς μὲν καὶ αὐτὸς καὶ ὁπλίτης τυγχάνων. καὶ δόρυ μελίαν χαλκόστομον ἐπισείων. τὸ δὲ κράνος οὐχ ὑπελθών, ἀλλ' ἀπὸ γυμνῆς τῆς κεφαλῆς πομπεύων. φοινικοβαφῆ χλαμύδα καθειμένος. ἧς τὰ μὲν ἄλλα χρυσὸς ἐποίκιλλε. τοὺς λαπίθας ἐπὶ τοὺς κενταύρους ὁπλίζων. ἡ περόνη δέ, ἀθηνᾶν ἠλεκτρίνην ἔστεφε. τὴν γοργοῦς κεφαλὴν εἰς θώρακα προασπίζουσαν. προσέβαλλε δέ τι χάριτος τοῖς γιγνομένοις, καὶ ἀνέμου λιγεῖα ῥιπή, μείλιχον γὰρ ἐπέπνει, τὴν μὲν κόμην ἠρέμα περὶ τὸν αὐχένα διαξαίνουσα, καὶ τοῦ μετώπου τοὺς βοστρύχους παρασείουσα. τῆς δὲ χλαμύδος τὰς ἄκρας τοῖς νώτοις τοῦ ἵππου καὶ μηροῖς ἐπιβάλλουσα. εἶπες ἄν, καὶ τὸν ἵππον αὐτὸν συνιέναι, τῆς ὡραιότητος τοῦ δεσπότου, καὶ ὡς καλὸν





κάλλιστον φέρει τὸν ἡνίοχον αἰσθάνεσθαι. οὕτω τὸν αὐχένα κυμαίνων, καὶ εἰς ὀρθὸν οὖς τὴν κεφαλὴν ἐγείρων, καὶ σοβαρὸν τῆς ὀφρύος κατὰ τῶν ὀφθαλμῶν δινεύων. ἔφερέ τε καὶ ἐφέρετο γαυρούμενος. εὐήνιά τε προποδίζων, καὶ ἐφ' ἑκάτερον ὦμον ἑαυτὸν ἐν μέρει ταλαντεύων. ἄκραν τε τὴν ὁπλὴν τῇ γῇ λεπτὸν ἐπικροτῶν, εἰς γαληνὴν κίνημα τὸ βῆμα κατερρύθμιζεν. ἐξέπληττε μὲν δὴ καὶ πάντας τὰ ὁρώμενα, καὶ τὴν νικητήριον ἀνδρείας τε καὶ κάλλους ψῆφον, τῷ νεανίᾳ πάντες ἀπένεμον. ἤδη δὲ ὅσαι δημώδεις γυναῖκες, καὶ τὸ τῆς ψυχῆς πάθος ἐγκρατείᾳ κρύπτειν ἀδύνατοι, μήλοις τε καὶ ἄνθεσιν ἔβαλλον, εὐμένειαν ἀπ' αὐτοῦ τινὰ ὡς ἐδόκουν ἐφελκόμεναι. κρίσις γὰρ αὕτη μία παρὰ πᾶσιν ἐκρατύνετο, μὴ ἄν φανῆναί τι κατ' ἀνθρώπους, ὃ τὸ Θεαγένους ὑπερβάλλοι τὸ κάλλος. ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς, Ὅμηρος ἄν εἶπεν. ἐπεὶ δὲ τοῦ νεὼ τῆς Ἀρτέμιδος ἐξήλασεν ἡ καλὴ καὶ σοφὴ Χαρίκλεια, τότε ὅτι καὶ Θεαγένην ἡττηθῆναί ποτε δυνατὸν ἔγνωμεν. ἀλλ' ἡττηθῆναι τοσοῦτον, ὅσον ἀκραιφνὲς γυναικεῖον κάλλος τοῦ πρώτου παρ' ἀνδράσιν ἐπαγωγότερον. ἤγετο μὲν γὰρ ἐφ' ἁμάξης ἀπὸ συνωρίδος λευκῶν βοῶν ὀχουμένη. χιτῶνα δέ, ἁλουργῆ ποδήρη χρυσαῖς ἀκτῖσι κατάπαστον ἠμφίεστο. ζώνην δὲ περιεβέβλητο τοῖς στέρνοις. ἣν ὁ τεχνησάμενος, εἰς ἐκείνην τὸ πᾶν τῆς ἑαυτοῦ τέχνης κατέκλεισεν. οὔτε πρότερον τοιοῦτον χαλκευσάμενος, οὔτε αὖθις δυνησόμενος. δυοῖν γὰρ δρακόντοιν τὰ μὲν οὐραῖα περὶ τῶν μεταφρένων ἐδέσμευε. τοὺς δὲ αὐχένας ὑπὸ τοὺς μαζοὺς παραμείψας, καὶ εἰς βρόχον σκολιὸν διαπλέξας, καὶ τὰς κεφαλὰς διολισθῆσαι τοῦ βρόχου συγχωρήσας, ὡς περίττωμα τοῦ δεσμοῦ περὶ πλευρὰν ἑκατέραν ἀπῃώρησεν. εἶπες ἄν, τοὺς ὄφεις, οὐ δοκεῖν ἕρπειν. ἀλλ' ἕρπειν οὐχ ὑπὸ βλοσυρῷ καὶ ἀπηνεῖ τῷ βλέμματι φοβερούς. ἀλλ' ὑγρῷ κοιμήματι διαρρεομένους. οἱ δὲ ἦσαν τὴν μὲν ὕλην χρυσοῖ. τὴν δὲ χροιὰν κυάνεοι. ὁ γὰρ χρυσὸς ὑπὸ τῆς τέχνης ἐμελαίνετο. ἵνα τὸ τραχὺ καὶ μεταβάλλον τῆς φολίδος, τῷ ξανθῷ τὸ μέλαν εἰς κραθὲν ἐπιδείξηται. τοιαύτη μὲν ἡ ζώνη τῆς κόρης. ἡ κόμη δέ, οὔτε πάντη διάπλοκος, οὔτε ἀσύνδετος. ἀλλ' ἡ μὲν πολλὴ καὶ ὑπαυχένιος, ὤμοις τε καὶ νώτοις ὑπεκύμαινε. τὴν δὲ ἀπὸ κορυφῆς καὶ ἀπὸ μετώπου, δάφνης ἁπαλοὶ κλάδοι συν-



κυμαίνων τὸν αὐχένα δινεύων

ἁλουργῆ χιτῶνα

ἔστεφον. ῥοδοδάφνῃ τε καὶ ἡλιάδας διαδέοντα, καὶ σοβεῖν ταῖς αὔραις ἔξω τοῦ πρέποντος οὐκ ἐφιέντα. ἔφερε δὲ τῇ λαιᾷ μὲν τόξον ἐπίχρυσον. ὑπὲρ ὦμον τὸν δεξιὸν τῆς φαρέτρας ἀπηρτημένης. τῇ θατέρᾳ δὲ, λαμπάδιον ἡμμένον, καὶ οὕτως ἔχουσα, πλέον ἀπὸ τῶν ὀφθαλμῶν σέλας ἢ τῶν δᾳδῶν ἀπηύγαζεν. οὗτοι ἐκεῖνοι Χαρίκλεια καὶ Θεαγένης ἀνεβόησεν ὁ Κνήμων, καὶ ποῦ γῆς οὗτοι. δείκνυε πρὸς θεῶν ἱκετεύων ὁ Καλάσιρις, ὁρᾶσθαι αὐτοὺς τῷ Κνήμωνι προσδοκήσας. ὁ δὲ, ὦ πάτερ θεωρεῖν αὐτοὺς καὶ ἀπόντας ᾤηθην οὕτως ἐναργῶς τε καὶ οὓς οἶδα ἰδὼν, ἡ παρὰ σοῦ διήγησις ὑπέδειξεν. οὐκ οἶδα εἶπεν εἰ τούτους εἶδες, οἵους αὐτοὺς κατ' ἐκείνην τὴν ἡμέραν ἡ Ἑλλάς τε καὶ ὁ ἥλιος ἐθεάσατο. οὕτω μὲν περιβλέπτους, οὕτω δὲ εὐδαιμονιζομένους, καὶ τὸν μὲν, ἀνδράσιν, τὴν δὲ γυναιξὶν εὐχὴν γιγνομένους. τὴν γὰρ πρὸς θάτερον αὐτῶν συζυγίαν, ἴσα καὶ ἀθανασίαν ἦγον. πλὴν ὅσον τὸν μὲν νεανίαν οἱ ἐγχώριοι. τὴν κόρην δὲ οἱ Θετταλοὶ πλέον ἐθαύμαζον. ὃ πρῶτον ἔβλεπον ἑκάτεροι μᾶλλον ἀγάμενοι. ξένη γὰρ ὄψις τῆς συνήθους ἑτοιμότερον εἰς ἔκπληξιν. ἀλλ' ὢ τῆς ἡδείας ἀπάτης. ὢ τῆς γλυκείας οἰήσεως. ὅπως με ἀνεπτέρωσας, ὁρᾶν τοὺς φιλτάτους καὶ δεικνῦναι προσδοκηθεὶς ὦ Κνήμων. σὺ δέ με καὶ παντάπασιν ἔοικας ἐξαπατᾶν. ἥξειν γὰρ αὐτοὺς ὅσον οὐδέπω καὶ φανήσεσθαι παρὰ τὴν ἀρχὴν τοῦ λόγου διεγγυώμενος, κἀπὶ τούτοις καὶ μισθὸν τὴν κατ' αὐτοὺς ὑφήγησιν αἰτήσας, ἑσπέρας οὔσης ἤδη καὶ νυκτὸς, οὐδαμοῦ δεικνῦναι παρόντας ἔχεις, καὶ ὃς θάρσει ἔφη καὶ θυμὸν ἔχε ἀγαθὸν ὡς ἐκείνων ἀληθῶς ἡξόντων. νῦν δὲ ἴσως τι κώλυμα γέγονε, καὶ βράδιον ἢ κατὰ τὰ συγκείμενα ἀφικνοῦνται. καὶ ἄλλως οὐδ' ἂν, παρόντας ἔδειξα μὴ τὸ πᾶν τοῦ μισθοῦ κομισάμενος. ὥστε εἰ ποθεῖς τὴν θέαν, πλήρου τὴν ἐπαγγελίαν, καὶ εἰς τέλος ἄγε τὴν διήγησιν. ἐγὼ εἶπεν ἄλλως τε ὀκνῶ τὸ πρᾶγμα πρὸς ὑπόμνησίν με τῶν λυπούντων ἄγον, καί σε ἀποκναίειν ᾤηθην, ἀδολεσχίᾳ τοσαύτῃ πρὸς κόρον γεγενημένον. ἐπεὶ δὲ φιλήκοός τις ὢν φαίνῃ, καὶ καλῶν ἀκουσμάτων ἀκόρεστος, φέρε ὅθεν ἐξέβην τοῦ λόγου εἰσβάλωμεν. ἀψάμενοί τε λύχνου πρότερον, καὶ τὰ κοιταῖα τοῖς νυχίοις θεοῖς ἐπισπείσαντες. ὡς ἂν, τῶν εἰωθότων τε τελεσμένων, ἐννυκτερεύειν ἡμῖν ἐπ' ἀδείας τοῖς διηγήμασιν ἐγγίνοιτο. ταῦτα εἶπε. καὶ λύχνος τε ἡμμένος εἰσεφέρετο θεραπαινίδι. τοῦ πρεσβύτου προστάξαντος, καὶ τὴν

σπονδὴν

πάτερ. semper accentu in ultima profert

οἶδα ἰδών

τὰ κοιταῖα τοῖς νυχίοις θεοῖς ἐπισπείσαντες. el auemaria a la noche

πάτερ.



σπονδὴν ἀπέχεεν. ἄλλους τε τῶν θεῶν, καὶ τὸν Ἑρμῆν ἐπὶ πᾶσιν ἐπικαλούμενος. εὐόνειρόν τε ᾔτει τὴν νύκτα. καὶ φανῆναι αὐτῷ τοὺς φιλτάτους κατὰ γοῦν τοὺς ὕπνους ἱκέτευε. καὶ τούτων τετελεσμένων, ἐπειδὴ τοίνυν ἔφη ὦ Κνήμων τὸ μνῆμα τοῦ Νεοπτολέμου περιεστοιχήσατο ἡ πομπὴ, καὶ τρίτον οἱ ἔφηβοι τοὺς ἵππους περιήλασαν, ὀλόλυξαν μὲν αἱ γυναῖκες. ἠλάλαξαν δὲ οἱ ἄνδρες. τότε ὥσπερ ὑφ' ἑνὶ συνθήματι. βόες. ἄρνες. αἶγες, ἱερεύοντο. καθάπερ μιᾷ χειρὶ πᾶσι τῆς σφαγῆς ἐπενεχθείσης. βωμόν τε παμμεγέθη σχίζαις μυρίαις φορτώσαντες, καὶ τὰ νενομισμένα τῶν ἱερείων ἄκρα πάντα ἐπιθέντες, κατάρχειν τῆς σπονδῆς τὸν ἱερέα τοῦ Πυθίου καὶ τὸν βωμὸν ἀνάπτειν ἠξίουν. ὁ δὲ Χαρικλῆς τὴν μὲν σπονδὴν αὐτῷ προσήκειν ἔλεγε. τὸν βωμὸν δὲ ὁ τῆς θεωρίας ἄρχων ἀναπτέτω, παρὰ τῆς ζακόρου τὴν δᾷδα κομισάμενος. τοῦτο γὰρ ἔθος ὁ πάτριος γινώσκει νόμος. ταῦτα εἶπε. καὶ ὁ μὲν, ἐσπένδετο. τὸ πῦρ δὲ Θεαγένης ἐλάμβανεν. ὅτε ὦ φίλε Κνήμων, καὶ ὅτι θεῖον ἡ ψυχὴ καὶ συγγενὲς ἄνωθεν, τοῖς ἔργοις ἐπιστεύσαμεν. ὁμοῦ τε γὰρ ἀλλήλους ἑώρων. ὥσπερ τῆς ψυχῆς ἐκ πρώτης ἐντεύξεως, τὸ ὅμοιον ἐπιγνούσης καὶ πρὸς τὸ κατ' ἀξίαν οἰκεῖον προσδραμούσης. πρῶτον μὲν γὰρ, ἀθρόον τι καὶ ἐπτοημένον ἔστησαν. καὶ τὴν δᾷδα ὀλκότερον, ἡ μὲν, ἐνεχείριζεν, ὁ δὲ, ὑπεδέχετο. καὶ τοὺς ὀφθαλμοὺς ἀτενεῖς ἐπὶ πολὺ κατ' ἀλλήλων πήξαντες, ὥσπερ εἴπου γνωρίζοντες ἢ ἰδόντες πρότερον, ταῖς μνήμαις ἀναπεμπάζοντες. εἶτα ἐμειδίασαν βραχύ τι καὶ κλεπτόμενον. καὶ μόνῃ τῇ διαχύσει τοῦ βλέμματος ἐλεγχόμενον. ἔπειτα ὥσπερ καταιδεσθέντες τὸ γεγονὸς, ἐπυρρίασαν. καὶ αὖθις τοῦ πάθους οἶμαι καὶ τὴν καρδίαν ἐπιδραμόντος, ὠχρίασαν. καὶ ἁπλῶς μυρίον εἶδος ἐν ὀλίγῳ τῷ χρόνῳ τὰς ὄψεις ἀμφοῖν ἐπεπλανήθη. καὶ μεταβολὴ παντοία χροιᾶς τε καὶ βλέμματος, τῆς ψυχῆς τὸν σάλον κατηγοροῦσα. ταῦτα δὲ τοὺς πολλοὺς ὡς εἰκὸς ἐλάνθανεν. ἄλλον πρὸς ἄλλην χρείαν τε καὶ διάνοιαν ὄντας. ἐλάνθανε δὲ καὶ τὸν Χαρικλέα τὴν πάτριον εὐχὴν καὶ ἐπίκλησιν καταγγέλλοντα. ἐγὼ δὲ πρὸς μίαν τὴν παρατήρησιν τῶν νέων ἠσχολούμην, ἐξ ἐκείνου Κνήμων, ἐξ οὗ περ ὁ χρησμὸς ἐπὶ Θεαγένει θυομένῳ κατὰ τὸν νεὼν ᾔδετο πρὸς ὑπόνοιαν τῶν ἐσομένων. ἀπὸ τῶν ὀνομάτων κεκινημένος. ἀλλ' οὐδὲ ἀκριβῶς οὐδὲν εἶχον τῶν ἑξῆς χρησθέντων συμβαλεῖν. ἐπεὶ δὲ ὀψέ ποτε καὶ ὥσπερ βίαιον τῆς κόρης ἀποσπώμενος ὁ Θεαγένης ὑπέθηκέ τε τὸ λαμπάδιον, καὶ τὸν βωμὸν ἀνῆψε, διελύετο μὲν ἡ πομπή. πρὸς εὐωχίαν τῶν Θετταλῶν τραπέντων. ὁ δὲ ἄλλος

δῆμος

Libatione effudit

Ter equos egerunt ephoebi. Vlulatus q: ore dederunt mulieres.

φορτώσαντες

τὰ νενομισμένα τῶν ἱερέων ἄκρα πάντα ἐπιθέντες

δῆμος ἐπ' οἴκου τὸν ἴδιον ἕκαστος ἀνεχώρησεν. ἡ χαρίκλεια δὲ ἐφεστρίδα λευκὴν ἐπιβαλομένη σὺν ὀλίγοις τοῖς συνήθεσιν ἐπὶ τὴν ἐν τῷ περιβόλῳ τοῦ νεὼ καταγωγὴν ὥρμησεν. οὐδὲ γὰρ ᾤκει σὺν τῷ νομιζομένῳ πατρί. τῆς ἀπιστείας ἕνεκα πανταχόθεν ἑαυτὴν χωρίζουσα. περιεργότερος τοίνυν ὑφ' ὧν ἠκηκόειν τε καὶ ἑωράκειν γεγονώς, ἐντυγχάνω τῷ χαρικλεῖ τοῦτο σπουδάσας. καὶ ὅς, εἶδες ἠρώτα τὸ ἀγλάισμα τὸ ἐμόν τε καὶ δελφῶν χαρίκλειαν; οὐ νῦν πρότερον ἔφην. ἀλλὰ καὶ πρότερον πολλάκις ὁσάκις δῆμος ἐπὶ τὸν νεὼν ἐνετύχομεν. οὐχ ὡς ἄν τις ἐκ παρόδου τοῦτο δὴ τὸ λεγόμενον. ἀλλὰ καὶ συνεθύσαμεν οὐκ ὀλιγάκις. καὶ περὶ θείων τε καὶ ἀνθρωπίνων ἔστι ποτὲ διαπορήσασαν, ἠρώτησέ τε καὶ ἔμαθεν. τί οὖν δή σοι τὰ νῦν ἔδοξεν ὦ ἀγαθέ; ἆρά τινα τῇ πομπῇ κόσμον ἤνεγκεν; εὐφήμησον εἶπον ὦ χαρίκλεις, ὥσπερ καὶ τὴν σελήνην εἰ διαπρέπει τῶν ἄλλων ἀστέρων ἐρωτᾷς. καὶ μὴν ἐπῄνουν τινὲς εἶπε καὶ τὸν θετταλὸν νεανίσκον τὰ δευτέρα. ἦν δ' ἐγὼ καὶ τρίτα νέμοντες. τὴν δὲ κορωνίδα τῆς πομπῆς καὶ ὀφθαλμὸν ἀληθῶς τὴν σὴν θυγατέρα γνωρίζοντες. ἥσθη τούτοις ὁ χαρικλῆς. καί μοι ὁ σκοπὸς ἐκ τῶν ἀληθῶν ἠνύετο. θαρσεῖν μοι τὸν ἄνδρα βουλομένῳ παντοίως. καὶ μειδιάσας, πορεύομαι νῦν ἐπ' αὐτὴν ἔλεγεν. εἰ δέ σοι φίλον, συμπροθυμήθητι, καὶ μή τι πρὸς τῆς ὀχλικῆς ἀηδίας ἐπιτέτριπται συνεπίσκεψαι. χαίρων μὲν ἐπένευον. ἐνεδεικνύμην δὲ ὡς ἀσχολίας ἄλλης προυργιαίτερον τίθεμαι τὸ κατ' αὐτόν. ἐπεὶ δὲ παρεγιγνόμεθα οὗ κατήγετο, καταλαμβάνομεν εἰσελθόντες ἐπὶ τῆς εὐνῆς ἀλύουσαν. καὶ τοὺς ὀφθαλμοὺς ὑπὸ ἔρωτι διαβρόχους. κἀπειδὴ τὸν πατέρα τὰ εἰωθότα περιεπτύξατο, πυνθανομένῳ τί πεπόνθοι, τῆς κεφαλῆς ἄλγημα διοχλεῖν ἔλεγεν. ἡδέως τε ἄν, ἠρεμεῖν, εἴ τις ἐπιτρέποι. πρὸς ταῦτα διαταραχθεὶς ὁ χαρικλῆς, ὑπεξῄει τε τοῦ θαλάμου σὺν ἡμῖν. ἡσυχίαν ταῖς θεραπαίναις ἐπιτάξας. προελθών τε τῆς οἰκίας, τί ἄρα τοῦτο ἔλεγεν ὦ γαθὲ καλάσιρι. τίς ἡ προσπεσοῦσα τῷ θυγατρίῳ μαλακία. μὴ θαύμαζε εἶπον, εἰ τοσούτοις ἐμπομπεύουσα δήμοις, ὀφθαλμόν τινα βάσκανον ἐπεσπάσατο. γελάσας οὖν εἰρωνικόν, καὶ σὺ γὰρ εἶπεν ὡς ὁ πολὺς ὄχλος εἶναί τινα βασκανίαν πιστεύεις; εἴπερ τι καὶ ἄλλο τῶν ἀληθῶν ἔφην. ἔχει γὰρ οὕτως ὁ περικεχυμένος ἡμῖν οὗτος ἀήρ, διὰ ὀφθαλμῶν τε καὶ ῥινῶν καὶ ἄσθματος καὶ τῶν ἄλλων πόρων εἰς τὰ βάθη διικνούμενος, καὶ τὰς ἔξωθεν ποιότητας συνεισφερόμενος, οἷος ἄν, εἰσρυῇ, τοιοῦτο καὶ τοῖς δεξαμένοις πάθος ἐγκατέσπειρεν. ὥστε ὁπόταν σὺν φθόνῳ τις ἴδῃ τὰ καλά, τὸ περιέχον τε δυσμενοῦς ποιότητος ἐνέπλησε, καὶ τὸ ἐξ ἑαυτοῦ πνεῦμα πικρίας ἀνάμεστον εἰς τὸν πλησίον διερρίπισε. τὸ δέ, ἅτε λεπτομερές, ἄχρις ἐπ' ὀστέα καὶ μυελοὺς αὐτοὺς εἰσδύεται, καὶ νόσος ἐγένετο πολλοῖς ὁ φθόνος οἰκεῖον ὄνομα βασκανίας προσδεξάμενος. ἤδη δὲ κἀκεῖνα σκόπησον ὦ χαρίκλεις, ὅσοι μὲν ὀφθαλμίας, ὅσοι δὲ τῶν ἐκ λοιμοῦ καταστάσεων ἀνεπλήσθησαν. θίγοντες μὲν οὐδαμῶς τῶν καμνόντων, ἀλλ' οὐδὲ εὐνῆς, ἀλλ' οὐδὲ τραπέζης τῆς αὐτῆς μεταχόντες. ἀέρος δὲ μόνου τοῦ αὐτοῦ κοινωνήσαντες. τεκμηριούτω δέ σοι τὸν λόγον εἴπερ ἄλλο τι, καὶ ἡ τῶν ἐρώτων γένεσις. οἷς τὰ ὁρώμενα τὴν ἀρχὴν ἐνδίδωσι, καὶ οἷον ὑπήνεμα διὰ τῶν ὀφθαλμῶν τὰ πάθη ταῖς ψυχαῖς εἰστοξεύονται. καὶ μάλα γε εἰκότως. τῶν γὰρ ἐν ἡμῖν πόρων τε καὶ αἰσθήσεων, πολυκινητότατόν τε καὶ θερμότατον οὖσα ἡ ὄψις, δεκτικωτέρα πρὸς τὰς ἀπορροίας γίνεται, τῷ κατ' αὐτὴν ἐμπύρῳ πνεύματι τὰς μεταβάσεις τῶν ἐρώτων ἐπισπωμένη. εἰ δὲ χρή σοι καὶ παραδείγματος ἕνεκα, λόγον τινὰ φυσικώτερον παρὰ βιβλίοις ἱεροῖς, ὁ χαραδριὸς τοὺς ἰκτεριῶντας ἰᾶται. καὶ ὁ τοῦτο πάσχων, εἰ τὸν ὄρνιν προσβλέπει, τὸ δέ, φεύγει καὶ ἀποστρέφεται τοὺς ὀφθαλμοὺς ἐπιμύσαν. οὐ φθονοῦν ὡς οἴονταί τινες τῆς ὠφελείας. ἀλλ' ὅτι θεώμενος, ἕλκειν καὶ μετασπᾶν εἰς ἑαυτὸν ὥσπερ ῥεῦμα πέφυκε τὸ πάθος. καὶ διὰ τοῦτο ἐκκλίνει καθάπερ τρῶσιν τὴν ὅρασιν, καὶ ὄφεων δὲ ὁ καλούμενος βασιλίσκος, ὅτι καὶ πνεύματι μόνῳ καὶ βλέμματι πᾶν ἀφαναίνει καὶ λυμαίνεται τὸ ὑποπῖπτον, ἴσως ἀκήκοας. εἰ δέ τινες καὶ τοὺς φιλτάτους, καὶ οἷς εὖνοι τυγχάνουσι καταβασκαίνουσιν, οὐ χρὴ θαυμάζειν. φύσει γὰρ φθονερῶς ἔχοντες, οὐχ ὃ βούλονται δρῶσιν. ἀλλ' ὃ πεφύκασι. πρὸς ταῦτα μικρὸν ἐπιστήσας, τὸ μὲν ἀπόρημα ἔφη, σοφώτατα καὶ πιστικώτατα διέλυσας. εἴθε δὲ καὶ αὐτὴ πόθου ποτὲ καὶ ἔρωτος αἴσθοιτο. τότε ἄν, ὑγιαίνειν αὐτήν, οὐ νοσεῖν ὑπέλαβον. οἶσθα ὡς ἐπὶ τοῦτό σε καὶ παρεκάλεσα. νῦν δὲ οὐδὲν δέος εἰ μὴ τοῦτο πέ-

ὀφθαλμόν τινα βάσκανον ἐπεσπάσατο



Causa fascini oculorum.

βασκανία

Charadrius ictericis medetur.

Basilisci exitialis facultas

ἀφαναίνει



πονθεν

πονθὼς ἢ μισόλεκτρος καὶ ἀνέραστος. ἀλλὰ βασκανίαν ἔοικε τῷ-
ὄντι νοσεῖν. καὶ δῆλον ὡς καὶ ταύτην διαλῦσαι βουλήσῃ φιλόσο-
φος ὤν, καὶ τὰ πάντα σοφός. ἐπηγγελλόμην εἴ τι πάσχουσαν αἰσθοί-
μην, εἰς δύναμιν βοηθήσειν. καὶ περὶ τούτων ἔτι διασκοπουμένοις
ἡμῖν, ἐφίσταταί τις ἐσπουδασμένως ὅς καὶ ὦ ἀγαθοί φησιν. ὑμεῖς
δὲ ὥσπερ ἐπὶ μάχην ἢ πόλεμον, ἀλλ' οὐκ εὐωχίαν κληθέντες, οὕ-
τω μέλλετε. ἣν παρασκευάζει μὲν ὁ κάλλιστος θεαγένης, ἐποπτεύει
δὲ ὁ μέγιστος ἡρώων νεοπτόλεμος. δεῦρ' ἴτε. μήτε εἰς ἑσπέραν τὸ
συμπόσιον παρέλκετε μόνοι τῶν πάντων ἀπολειπόμενοι. προσκύ-
ψας οὖν μοι πρὸς τὸ οὖς ὁ χαρικλῆς, οὗτος ἔφη τὴν ἀπὸ ξύλου κλῆ-
σιν ἥκει φέρων. ὡς λίαν ἄκρατος διόνυσος καὶ ταῦτα ὑποβεβρε-
γμένος. ἀλλ' ἴωμεν, ὡς δέος μὴ καὶ πληγὰς ἡμῖν ἐμφορήσῃ τελευ-
τῶν. σὺ μὲν παίζεις. ἴωμεν οὖν ἔφην. ἐπεὶ δὲ ἐπέστημεν, ἑαυτοῦ πλη-
σίον τὸν χαρικλέα κατέκλινεν ὁ θεαγένης. ἔνεμε δὲ ἄρα τι κἀμοὶ
τιμῆς τοῦ χαρικλέους ἕνεκα. τὰ μὲν οὖν ἄλλα τῆς εὐωχίας τί ἂν λέ-
γων ἐνοχλοίην τοὺς παρθενικοὺς χορούς. τὰς αὐλητρίδας. τὴν ἐνό-
πλιον τῶν ἐφήβων καὶ πυρρίχιον ὄρχησιν. τἄλλα οἷς τὸ πολυτε-
λὲς τῶν ἐδεσμάτων ὁ θεαγένης διήτησεν. εὐόμιλόν τε καὶ ποτι-
μώτερον τὸ συμπόσιον ἀπεργαζόμενος. ἀλλ' ἃ δεῖ μάλιστα σοί
τε ἀκούειν ἀναγκαῖον, ἐμοί τε λέγειν ἥδιον, ἐκεῖνα ἦν. ὁ θεαγένης
ἀνεδείκνυτο μὲν ἱλαρὸς εἶναι καὶ φιλοφρονεῖσθαι τοὺς παρόντας
ἐβιάζετο. ἡλίσκετο δὲ πρὸς ἐμοῦ τὴν διάνοιαν ὅποι φέροιτο. νῦν
μὲν τὸ ὄμμα ἠνεμωμένος. νῦν δὲ βύθιόν τι καὶ ἀπροφάσιστον ἀνα-
στένων. καὶ ἄρτι μὲν κατηφήσας καὶ ὥσπερ ἐπ' ἐννοίας, ἄρτι δὲ ἀ-
θρόον ἐπὶ τὸ φαιδρότερον ἑαυτὸν μεταπλάττων, ὥσπερ ἐν συναι-
σθήσει γιγνόμενος καὶ ἑαυτὸν ἀνακαλούμενος, καὶ πρὸς πᾶσαν
» μεταβολὴν ῥᾳδίως ὑποφερόμενος. διάνοια γὰρ ἐρῶντος, ὁμοι-
» όν τι καὶ μεθύοντος, εὔτρεπτον καὶ οὐδεμίαν ἕδραν ἀνεχόμενον.
» ἅτε τῆς ψυχῆς ἀμφοτέροις ἐφ' ὑγροῦ τοῦ πάθους σαλευούσης. διὸ καὶ
» πρὸς μέθην ὁ ἐρῶν. καὶ πρὸς τὸ ἐρᾶν ὁ μεθύων ἐπίφορος. ὡς δὲ καὶ
χάσμης ἀδημονούσης ἀνάπλεως ἐφαίνετο, τότε δὴ καὶ τοῖς ἄλλοις
τῶν παρόντων, κατάδηλος ἦν οὐχ ὑγιαίνων. ὥστε καὶ τὸν χαρι-
κλέα καθεωρακότα, ἀλλ' ἢ τὸ ἀνώμαλον ἡσυχῇ πρός με εἰπεῖν,
καὶ τοῦτον

Τὴν ἀπὸ ξύλου κλῆσιν ἥκει φέρων



καὶ τοῦτον βάσκανος εἶδεν ὀφθαλμός, καὶ ταυτόν μοι δοκεῖ πε-
πονθέναι τῇ χαρικλείᾳ. ταυτὸν ἔφην ἐγὼ νὴ τὴν ἶσιν. ὀρθῶς τε
καὶ οὐκ ἀπεικότως. εἴπερ καὶ ἐν τῇ πομπῇ μετ' ἐκείνην διέπρεπε.
ταῦτα μὲν ἡμεῖς. ἐπεὶ δὲ τὰς κύλικας ἔδει περιάγεσθαι, προέπι-
νεν ὁ θεαγένης καὶ ἄκων ἑκάστῳ φιλοτησίαν. ὡς δὲ εἰς ἐμὲ περιῆλ-
θεν. ἔχω τὴν φιλοφρόνησιν εἰπόντος, ὑποδεξαμένου δὲ οὐδαμῶς,
ὀξύ τε καὶ διάπυρον ἐνεῖδεν. ὑπερορᾶσθαι προσδοκήσας. συνεὶς
οὖν χαρικλῆς, οἴνου καὶ ἐδεσμάτων τῶν ἐμψυχωμένων εἶπεν ἀπέ-
χεται. τοῦ δέ, τὴν αἰτίαν ἐρομένου, μεμφίτης ὢν εἶπεν αἰγύπτιος,
καὶ προφήτης τῆς ἴσιδος. ὁ δὴ θεαγένης ὡς τὸν αἰγύπτιον καὶ τὸν
προφήτην ἤκουσεν, ἡδονῆς τε ἀθρόον ἐπλήσθη, καὶ ὥσπερ οἱ θησαυ-
ρῷ τινὶ προστυχόντες, ὀρθώσας ἑαυτόν, ὕδωρ αἰτήσας καὶ πιὼν
ὦ σοφώτατε εἶπεν. ἀλλὰ σύ γε ταύτην τὴν φιλοτησίαν, ἣν ἀπὸ τῶν
ἡδίστων σοι προέπιον καὶ φιλίαν, ἡ δὲ ἡμῖν ἡ τράπεζα σπενδέ-
σθω. ἐπέσθω ἔφην καλὲ θεάγενες, ἐμοὶ καὶ πάλαι οὖσαν πρὸς .:
σέ. καὶ ὑποδεξάμενος ἔπινον. καὶ τότε μὲν εἰς ταῦτα ἔληξε τὸ
συμπόσιον. καὶ ἀπηλλαττόμεθα ἐπ' οἶκον τὸν ἴδιον ἕκαστος. πολ-
λά με τοῦ θεαγένους καὶ θερμότερα ἢ κατὰ τὴν προϋπάρχουσαν
γνῶσιν κατασπασαμένου. ἐπεὶ δὲ ἦλθον οὗ κατηγόμην, ἄϋπνος
τὰ πρῶτα διῆγον ἐπὶ τῆς εὐνῆς ἄνω καὶ κάτω τὴν περὶ τῶν νέων
φροντίδα στρέφων. καὶ τοῦ χρησμοῦ τὰ τελευταῖα τί ἄρα βού-
λοιτο ἀνιχνεύων. ἤδη δὲ μεσούσης τῆς νυκτὸς ὁρῶ τὸν ἀπόλ-
λω καὶ τὴν ἄρτεμιν ὡς ᾤμην εἴτε ᾤμην, ἀλλὰ μὴ ἀληθῶς ἑώ-
ρων, καὶ ὁ μὲν τὸν θεαγένην, ἡ δὲ τὴν χαρίκλειαν ἐνεχείριζον,
ὀνομαστί τέ με προσκαλοῦντες, ὥρα σοι ἔλεγον εἰς τὴν ἐνεγκοῦσαν
ἐπανήκειν. οὕτω γὰρ ὁ μοιρῶν ὑπαγορεύει θεσμός. αὐτός τε οὖν
ἔξιθι, καὶ τούσδε ὑποδεξάμενος ἄγε συνεμπόρους. ἴσα τε παι-
σὶ ποιούμενος, καὶ παράπεμπε ἀπὸ τῆς αἰγυπτίων ὅποι τε καὶ
ὅπως τοῖς θεοῖς φίλον. ταῦτα εἰπόντες, οἱ μὲν, ἀπεχώρησαν. ὅτι
μὴ ὄναρ ἦν ἡ ὄψις, ἀλλ' ὕπαρ ἐνδειξάμενοι. ἐγὼ δὲ τὰ μὲν ἄλλα
συνίην ὡς ἑωράκειν. εἰς τίνας δὲ ἀνθρώπους, εἰ εἰς τίνα γῆν πα-
ραπέμπεσθαι τοὺς νέους τοῖς θεοῖς φίλον, ἠπόρουν. καὶ ὁ κνήμων,
ταῦτα μὲν ἔφη ὦ πάτερ σὺ ὕστερον αὐτός τε ἐγνωκὼς φράσεις


προέπινεν ὁ θεαγένης ἑκάστῳ φιλοτησίαν

Aegyptij prophetae isidos, vino & animalib(us) abstinent

πατήρ.

πρὸς ἡμᾶς. ἀλλὰ τίνα δὴ τρόπον ἔφασκες ἐνδεδεῖχθαί σοι τοὺς θεούς, ὅτι μὴ ἐνύπνιον ἦλθον, ἀλλ' ἐναργῶς ἐφάνησαν. ὃν τρόπον εἶπεν ὦ τέκνον καὶ ὁ σοφὸς ὅμηρος αἰνίττεται. οἱ πολλοὶ δὲ τὸ αἴνιγμα παρατρέχουσιν. ἴχνια γὰρ μετόπισθεν ὡς ἐκεῖνός που λέγει, ποδῶν ἠδὲ κνημάων ῥεῖ', ἔγνων ἀπιόντος. ἀρίγνωτοι δὲ θεοί περ. ἀλλ' ἢ καὶ αὐτὸς ἔοικα τῶν πολλῶν εἶναι, καὶ τοῦτο ἴσως ἐλέγχειν ὦ καλάσιρι βουλόμενος τῶν ἐπῶν ἐμνημόνευσας. ὧν ἔχω τὴν μὲν ἐπιπολῆς διάνοιαν. ὅτε περ καὶ τὴν λέξιν οἶδα ἐκδιδαχθείς. τῆς δὲ συγκατεσπαρμένης αὐτοῖς θεολογίας ἠγνόηκα. μικρὸν οὖν ἐπιστήσας ὁ καλάσιρις, καὶ τὸν νοῦν πρὸς τὸ μυστικώτερον ἀνακινήσας, θεοὶ καὶ δαίμονες εἶπεν ὦ κνήμων ἐπιφοιτῶντές τε εἰς ἡμᾶς καὶ ἀποφοιτῶντες, εἰς ἄλλο μὲν ζῶον ἐπελάχιστον, εἰς ἀνθρώπους δὲ ἐπιπλεῖστον ἑαυτοὺς εἰδοποιοῦσι, τῷ ὁμοίῳ πλέον ἡμᾶς εἰς τὴν φαντασίαν ὑπαγόμενοι. τοὺς μὲν δὴ βεβήλους κἂν διαλάθοιεν. τὴν δὲ σοφοῦ γνῶσιν, οὐκ ἂν διαφύγοιεν. ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ἄν, γνωσθεῖεν ἀτενὲς διόλου βλέποντες, καὶ τὸ βλέφαρον οὔποτε ἐπιμύοντες. καὶ τὸ βάδισμα ἔτι πλέον. οὐ κατὰ διάστασιν τοῖν ποδοῖν, οὐδὲ μετάθεσιν ἀνυόμενον. ἀλλὰ κατά τινα ῥύμην ἀέριον, καὶ ὁρμὴν ἀπαραπόδιστον τεμνόντων μᾶλλον τὸ περιέχον ἢ διαπορευομένων. διὸ δὴ καὶ τὰ ἀγάλματα τῶν θεῶν αἰγύπτιοι τὼ πόδε ζευγνύντες καὶ ὥσπερ ἑνοῦντες ἱστᾶσιν. ἃ δὴ καὶ ὅμηρος εἰδώς, ἅτε αἰγύπτιος καὶ τὴν ἱερὰν παίδευσιν ἐκδιδαχθείς, συμβολικῶς τοῖς ἔπεσιν ἐναπέθετο, τοῖς δυναμένοις συνιέναι γνωρίζειν καταλιπών. τῆς μὲν παλλάδος, δεινὼ δέ οἱ ὄσσε φάανθεν εἰπών. αὐτοῦ δὲ τοῦ ποσειδῶνος, τὸ ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων ῥεῖ' ἔγνων ἀπιόντος, οἷον ῥέοντος ἐν τῇ πορείᾳ. τοῦτο γάρ ἐστι τὸ ῥεῖ' ἀπιόντος, καὶ οὐχ ὥς τινες ἠπάτηνται ῥαδίως ἔγνων ὑπολαμβάνοντες. ταῦτα μὲν ὦ θειότατε μεμύηκας ἔφη ὁ κνήμων. αἰγύπτιον δὲ ὅμηρον ἀποκαλοῦντος σου πολλάκις. ὃ τῶν πάντων ἴσως οὐδεὶς ἀκήκοεν, εἰς τὴν σήμερον. οὐδὲ ἀπιστεῖν ἔχω, καὶ σφόδρα θαυμάζων ἱκετεύω, μὴ παραδραμεῖν σε τοῦ λόγου τὴν ἀκρίβειαν. ὦ κνήμων εἰ καὶ ἔξωρον τὸ περὶ τούτων νυνὶ διαλαμβάνειν, ἀλλ' ὅμως ἀκούοις ἄν, ἐπιτέμνοντος. ὅμηρος ὦ φίλος, ὑπ' ἄλλων

μὲν

Dij raro in alia animalia praeterquam in homines transfigurantur

Homeri locus

Homeri insignis locus



μὲν ἄλλοθεν ὀνομαζέσθω. καὶ πατρὶς ἔστω τῷ σοφῷ, πᾶσα πόλις. ἦν δὲ εἰς ἀλήθειαν ἡμεδαπὸς αἰγύπτιος, καὶ πόλις αὐτῷ, θῆβαι αἱ ἑκατόμπυλοί εἰσι κατ' αὐτὸν ἐκεῖνον. πατὴρ δὲ τῷ μὲν δοκεῖν, προφήτης. τὸ δὲ ἀψευδὲς ἑρμῆς. οὗ περ ἦν ὁ δοκῶν πατὴρ προφήτης. τῇ γὰρ τούτου γαμετῇ τελούσῃ τινὰ πάτριον ἁγιστείαν, καὶ ἐπὶ τὸ ἱερὸν καθευδούσῃ, συνῆλθεν ὁ δαίμων, καὶ ποιεῖ τὸν ὅμηρον. φέροντά τι τῆς ἀνομοίου μίξεως σύμβολον. θατέρῳ γὰρ τοῖν μηροῖν αὐτόθεν ἐξ ὠδίνων, πολύ τι μῆκος τριχῶν ἐπεπόλαζεν. ὅθεν παρά ἄλλοις τε, καὶ οὐχ ἥκιστα παρ' ἕλλησιν ἀλητεύων, καὶ τὴν ποίησιν ᾄδων, τοῦ ὀνόματος ἔτυχεν. αὐτὸς μὲν τὸ ἴδιον οὐ λέγων, ἀλλ' οὐδὲ πόλιν ἢ γένος ὀνομάζων, τῶν δὲ ἐγνωκότων τὸ περὶ τὸ σῶμα πάθος, εἰς ὄνομα κρατησάντων. τί δὲ σκοπῶν ὦ πάτερ ἐσιώπα τὴν ἐνεγκοῦσαν. ἤτοι τὸ φυγὰς εἶναι καταιδούμενος. ἐδιώχθη γὰρ ὑπὸ τοῦ πατρός, ὅτε ἐξ ἐφήβων εἰς τοὺς ἱερωμένους ἐνεκρίνετο, ἀπὸ τοῦ κηλῖδα φέρειν ἐπὶ τοῦ σώματος, νόθος εἶναι γνωρισθείς. ἢ καὶ τοῦτο σοφίᾳ κατεργαζόμενος, κἀκ τοῦ τὴν οὖσαν ἀποκρύπτειν, πᾶσαν ἑαυτοῦ πόλιν, πατρίδα μνώμενος. ταῦτα μὲν, εὖ τε καὶ ἀληθῶς μοι λέγειν ἔδοξας. τεκμαιρόμενος τῆς τε ποιήσεως τοῦ ἀνδρός, τὸ ᾐνιγμένον τε καὶ ἡδονῇ πάσῃ σύγκρατον, ὡς αἰγύπτιον, καὶ τὸ τῆς φύσεως ὑπερέχον, ὡς οὐκ ἂν οὕτω τοὺς πάντας ὑπερβαλλόμενον, εἰ μή τινος θείας κηδεμονίας ὡς ἀληθῶς μετεῖχε καταβολῆς. ἀλλ' ἐπεὶ τοὺς θεοὺς ὁμηρικῶς ἐφώρασας ὦ καλάσιρι, τίνα τὰ μετὰ ταῦτα εἰπέ μοι. τοῖς προτέροις κνήμων, ὅμοια. πάλιν ἀγρυπνίαι καὶ βουλεύματα, καὶ νυκτῶν φίλαι φροντίδες. ἔχαιρον εὑρηκέναι τι τῶν οὐ προσδοκωμένων ἐλπίζων. καὶ εἰς τὴν ἐνεγκοῦσαν ἐπανήξειν προσδοκῶν. ἠνιώμην δὲ ὅτι ὁ χαρικλῆς στερήσεται τῆς θυγατρὸς ἐννοῶν. ἠπόρουν ὅτῳ δεήσει τρόπῳ τοὺς νέους συναγαγεῖν, καὶ κατασκευάσαι τὴν ἔξοδον συμφρονεῖν. τὸν δρασμὸν ἠγωνίων, ὅπως μὲν λήσομεν, ὅποι δὲ τραπώμεθα. καὶ πότερον διὰ γῆς ἢ θαλαττεύοντες, καὶ ἁπλῶς κλύδων με τις εἶχε φροντισμάτων, ἄυπνός τε τὸ λειπόμενον ἐταλαιπώρουν τῆς νυκτός. οὔπω δὲ ἡμέρας ἀκριβῶς ὑποφαινούσης, ἐψόφει τε ἡ μέταυλος, καί τινος ἠκούομεν καλοῦντος παιδίον. ἐρομένου δὲ τοῦ ὑπηρέτου τίς ὁ κόπτων



τὴν

Homerum aegyptium fuisse.

Homerus unde dictus

τὴν θύραν, ἢ περὶ ποίαν τὴν χρείαν ἀπάγγελλε, εἶπεν ὁ Καλάσιρις. ὅτι Θεαγένης ὁ Θετταλός. ἦλθεν ἀπαγγελθέντα μοι τὸν νεανίαν. καὶ εἰσκαλεῖν ἐκέλευον. ἐκδιδόναι μοι ταὐτόματον ἀρχὴν τῶν ἐν χερσὶ βουλῶν ἡγησάμενος. ἐτεκμαιρόμην γὰρ ὅτι με παρὰ τὸ συμπόσιον, αἰγύπτιον καὶ προφήτην ἀκηκοὼς ἥκει συνεργὸν πρὸς ἔρωτα ληψόμενος. πάσχων οἶμαι τὸ τῶν πολλῶν πάθος.

Aegyptioru duplex philosophia

οἳ τὴν αἰγυπτίων σοφίαν, μίαν καὶ τὴν αὐτὴν ἥγηνται. κακῶς εἰδότες. ἡ μὲν γάρ τις ἐστὶ δημώδης καὶ ὡς ἄν τις εἴποι χαμαὶ ἐρχομένη, εἰδώλων θεράπαινα, καὶ περὶ σώματα νεκρῶν εἰλουμένη. βοτάναις προστετηκυῖα, καὶ ἐπῳδαῖς ἐπανέχουσα. καὶ πρὸς οὐδὲν ἀγαθὸν τέλος οὔτε αὐτὴ προσιοῦσα, οὔτε τοὺς χρωμένους φέρουσα. ἀλλ' αὐτὴ τὰ περὶ αὐτὴν τὰ πολλὰ πταίουσα. λυπρὰ δέ τινα καὶ γλίσχρα ἔστιν ὅτε κατορθοῦσα, φαντασίας τῶν μὴ ὄντων ὡς ὄντων, καὶ ἀποτυχίας τῶν ἐλπιζομένων πράξεων· ἀθεμίτων εὑρέτις. καὶ ἡδονῶν ἀκολάστων ὑπηρέτις. ἡ δὲ ἑτέρα τέκνον, ἡ ἀληθῶς σοφία, ἧς αὕτη παρωνύμως ἐνοθεύθη, ἣν ἱερεῖς καὶ προφητικὸν γένος ἐκ νέων ἀσκοῦμεν, ἄνω πρὸς τὰ οὐράνια βλέπει, θεῶν συνόμιλος καὶ φύσεως κρειττόνων μέτοχος, ἀστρῶν κίνησιν ἐρευνῶσα, καὶ μελλόντων πρόγνωσιν κερδαίνουσα. τῶν μὲν γηΐνων τούτων κακῶν ἀποστατοῦσα, πάντα δὲ πρὸς τὸ καλὸν καὶ ὅτι ὠφέλιμον ἀνθρώποις ἐπιτηδεύουσα. δι' ἣν κἀγὼ τῆς ἐνεγκούσης εἰς καιρὸν ἐξέστην, εἴ πη καθὼς καὶ πρότερόν σοι διῆλθον τὰ προρρηθέντα μοι παρ' αὐτῆς, καὶ τὸν τῶν ἐμῶν παίδων πόλεμον κατ' ἀλλήλων διαγράψαι μοι. ταῦτα μὲν οὖν θεοῖς τε τοῖς ἄλλοις καὶ μοίραις ἐπιτετράφθω. οἳ τοῦ ποιεῖν τε καὶ μὴ, τὸ κράτος ἔχουσιν. οἳ καὶ τὴν φυγήν μοι τῆς ἐκ τῆς ἐνεγκούσης, οὐ διὰ ταῦτα πλέονα ἀπέοικεν, ἢ τὴν Χαρικλείας εὕρεσιν ἐπέβαλον. καὶ τοῦτο μὲν, ὅπως εἴσῃ τοῖς ἑξῆς. τὸν δὲ Θεαγένην ἐπειδήπερ εἰσῆλθεν ἀσπασάμενον ἀμειψάμενος, ἐπ' αὐτοῦ τε πλησίον ἐπὶ τῆς εὐνῆς ἐκάθιζον, καί τι χρέος ὄρθριόν σε ἄγει παρ' ἡμᾶς ἠρώτων. ὁ δὲ τὸ πρόσωπον ἐπιπολὺ καταψήσας, ἀγωνιῶ μὲν ἔφη περὶ τοῦ παντός. ἐρυθριῶ δὲ ἐκφαίνειν, καὶ ἐσιώπησεν. ἔγνων οὖν καιρὸν εἶναι τερατεύεσθαι πρὸς αὐτὸν καὶ μαντεύεσθαι δῆθεν ἅπερ ἐγίνωσκον. ἱλαρώτερον οὖν αὐτῷ προσβλέψας, εἰ καὶ αὐτὸς λέγειν ὀκνεῖς ἔφην,

ἀλλὰ



ἀλλὰ τῇ γε ἡμετέρᾳ σοφίᾳ καὶ θεοῖς, οὐδὲν ἄγνωστον. καὶ ἐπιστήσας ὀλίγον, καὶ ψήφους τινὰς οὐδὲν καταριθμούσας ἐπὶ δακτύλων συνθεὶς, τήν τε κόμην διασείσας, καὶ τοὺς κατόχους μιμούμενος, ἐρᾷς εἶπον ὦ τέκνον. ἀνήλατο πρὸς τὴν μαντείαν. ὡς δὲ ὅτι καὶ Χαρικλείας προσέθηκα, τοῦτ' ἐκεῖνο θεοκλυτεῖν με νομίσας, μικροῦ μὲν καὶ προσεκύνησε πεσών. ἐμοῦ δὲ ἐπέχοντος, ἐφίλει πολλὰ τὴν κεφαλὴν προσελθών. τοῖς δὲ θεοῖς ὡμολόγει χάριν. οὐκ ἐσφαλμένος ὧν προσεδόκησε. σωτῆρα τέ με γενέσθαι παρεκάλει, μὴ γὰρ ἂν περισωθῆναι, βοηθείας καὶ ταύτης ταχείας ἀποτυχόντα. τοσοῦτον αὐτῷ τὸ κακὸν ἐνσκῆψαι, καὶ οὕτως ὑπὸ τοῦ πάθους φλέγεσθαι, πρῶτον καὶ ταῦτα πειρώμενον ἔρωτος. ὁμιλίας γὰρ ἔτι γυναικὸς ἀπείρατος εἶναι διετείνετο, πολλὰ διομνύμενος. ἀεὶ γυναῖκας διαπτύσαι πάσας, καὶ γάμον αὐτὸν καὶ ἔρωτας εἴ τινος ἀκούσειεν, ἕως τὸ Χαρικλείας αὐτοῦ ἤλεγξε κάλλος. ὅτι μὴ φύσει καρτερικὸς ἦν, ἀλλ' ἀξιεράστου γυναικὸς εἰς τὴν παρελθοῦσαν ἀθέατος. καὶ ταῦτα λέγων ἐπεδάκρυεν, ὅτι πρὸς βίαν ἥττηται κόρης ἐνδεικνύμενος. ἀνελάμβανον οὖν αὐτὸν, καὶ θάρσει ἔλεγον, ἐπειδήπερ ἅπαξ καταπέφευγας πρὸς ἡμᾶς. οὐχ οὕτως ἐκείνη κρείττων ἔσται τῆς ἡμετέρας σοφίας. ἔστι μὲν αὐστηροτέρα καὶ κατανεχθῆναι πρὸς ἔρωτα δύσμαχος. ἀφροδίτην καὶ γάμον ἀτιμάζουσα καὶ μέχρις ὀνόματος. ἀλλὰ διά σε, πάντα κινητέον. τέχνη καὶ φύσιν οἶδε βιάζεσθαι. μόνον εὔθυμον εἶναι, καὶ ὑφηγουμένῳ τὰ δέοντα, πείθεσθαι πράττειν. ἐπηγγέλλετο ἅπαντα ποιήσειν, ὡς ἂν ἐγὼ προστάττω. κἂν εἰ ξιφῶν ἐπιβαίνειν κελεύοιμι. λιπαροῦντος δὴ περὶ τούτων καὶ μισθὸν ἅπασαν ὑπισχνουμένου τὴν οὐσίαν. ἥκων τις παρὰ τοῦ Χαρικλέους, δεῖταί σου Χαρικλῆς ἔλεγεν ἀφικέσθαι παρ' αὐτόν. ἔστι δὲ πλησίον ἐνταῦθα ἐν τῷ ἀπολλωνίῳ. καὶ ὕμνον ἀποθύει τῷ θεῷ, τεταραγμένος τι περὶ τοὺς ὕπνους. ἐξανίσταμαι παραχρῆμα. καὶ τὸν Θεαγένην ἀποπέμψας, ἐπί τὸν νεὼν ἀφικόμενος ἐπὶ θώκου τινὸς καταλαμβάνω τὸν Χαρικλέα καθήμενον. ἄγαν περίλυπον. καὶ συνεχῶς ἐπιστένοντα. προσελθὼν οὖν, τί σύννους καὶ σκυθρωπὸς, ἠρώτων. ὁ δὲ, τί γὰρ οὐ μέλλω φησὶν, ὀνειράτων τέ με διαταραξάντων, καὶ τῆς θυγατρὸς ὡς ἐπυθόμην ἀηδέστερον διατεθείσης,

καὶ τὴν

καὶ τὴν νύκτα πᾶσαν ἄυπνον διαγούσης, ἐμὲ δὲ λυπεῖ μὲν καὶ ἄλλως οὐχ ὑγιαίνουσα. πλέον δὲ ὅτι τῆς κυρίας τοῦ ἀγῶνος εἰς τὴν ἐξῆς ἐνεστηκυίας, εἰς ἣν τοῖς ὁπλίταις δρομοῦσι δᾷδας ἀναφέρειν καὶ βραβεύειν τὴν ζάκορον νόμιμον. δυοῖν θάτερον, ἢ ἀνάγκη τὴν ἀπολιμπανομένην λυμαίνεσθαι τὸ πάτριον, ἢ καὶ ἄκουσαν ἀφικνουμένην, ἐπιτρίβεσθαι χαλεπώτερον. ὥστε εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε ἐπάρκεσον, καί τινα προσάγων ἴασιν, δικαίως μὲν ἄν, πρὸς ἡμᾶς καὶ φιλίαν τὴν ἡμετέραν, εὐσεβῶς δὲ πρὸς τὸ θεῖον ποιοίης. οἶδα ὡς οὐδὲν ἐργῶδες βουλομένῳ σοι πρᾶγμα. βασκανίαν ὡς αὐτὸς ἔφης ἰάσασθαι. προφήταις καὶ τὰ μέγιστα κατορθοῦν οὐκ ἀδύνατον. ὡμολόγουν ἠμεληκέναι σοφιστεύων καὶ πρὸς ἐκεῖνον, καὶ τὴν ὑστεραίαν ἐνδοῦναι παρεκάλουν. ἔχει γάρ τι συντεθεῖναι πρὸς τὴν ἴασιν· τὸ δὲ νυνὶ παρὰ τὴν κόρην ἴωμεν ἔφην. ἐπισκεψόμενοί τε ἀκριβέστερον καὶ παραμυθησόμενοι πρὸς ὅσον δυνατόν. ἅμα δὲ ὦ Χαρίκλεις, βούλομαί σε λόγους τινὰς ὑπὲρ ἐμοῦ κινῆσαι πρὸς τὴν παῖδα. καὶ γνωριμώτερον ἀποφῆναι παρακαταθέμενον. ὅπως ἄν, οἰκειότερον ἔχουσα πρός με, θαρραλεώτερον ἰώμενον προσίοιτο. γιγνέσθω ταῦτα ἔφη, καὶ ἀπίωμεν. ἐπειδὴ οὖν ἐπέστημεν τῇ Χαρικλείᾳ, τὰ μὲν πολλὰ τί ἂν τις λέγοι. ἐκδεδούλωτο γὰρ ὁλοσχερῶς τῷ πάθει, καὶ τὴν παρειὰν ἤδη τὸ ἄνθος ἔφευγε. καὶ τὸ φλέγον τοῦ βλέμματος καθάπερ ὕδασιν ἐῴκει τοῖς δάκρυσιν ὑποσβεννυμένου. κατέστειλε δ' οὖν ὅμως ἑαυτὴν ἐπειδήπερ ἡμᾶς ἐθεάσατο. καὶ πρὸς τὸ σύνηθες βλέμμα καὶ φθέγμα, παντοίως ἐπανάγειν ἐβιάζετο. περιβαλὼν δὲ αὐτὴν ὁ Χαρικλῆς, καὶ μυρία φιλήσας, καὶ θεραπείας οὐδὲν ἀπολιπών, ὦ θυγάτριον. ὦ τέκνον ἔλεγεν. ἐμὲ τὸν πατέρα κρύπτεις ὃ πάσχεις, καὶ βασκανίαν ὑποστᾶσα, σιωπᾷς ὥσπερ ἀδικοῦσα καὶ οὐκ ἀδικουμένη ἠδικημένη παρὰ τῶν κακῶς ἰδόντων σε ὀφθαλμῶν; ἀλλὰ θάρσει. παρακέκληται Καλάσιρις ὁ δὲ σοφὸς ἴασίν τινά σοι πορίσασθαι. δυνατὸς δὲ ὁ ἀνήρ. ἄριστος ὢν εἴπερ τις ἄλλος τὴν θείαν τέχνην, ἅτε προφητικὸς τὸν βίον, καὶ ἱεροῖς ἐκ παίδων ἀνακείμενος. καὶ τὸ μεῖζον εἰς προσθήκην ἡμῖν ὢν τὰ μάλιστα φίλος. ὥστε εἰκότα ἂν ποιοῖς, εἰ προσδέχοιό τε ἀκωλύτως ἐπάδειν τε, ἢ καὶ ἄλλως ἰᾶσθαι βουλομένῳ σαυτὴν παρέχοις. οὐδὲ ἄλλως οὖσα πρὸς

τὸ



τὸ λόγιον γένος ἀπρόσμικτος. ἐσιώπα μὲν, ἐπένευσε δ' οὖν ἡ Χαρίκλεια, καθάπερ ἀσμένη τὴν ἐπ' ἐμοὶ συμβουλὴν προσιεμένη. καὶ τότε μὲν ὧδε τούτοις ἀπηλλάγημεν. ὑπομνήσαντός με τοῦ Χαρικλέους ὧν πρότερον παρεκάλεσεν ἐπιμεληθῆναι καὶ φροντίζειν, εἴπῃ τὴν Χαρίκλειαν δυναίμην, ἔφεσίν τινα γάμων καὶ ἀνδρῶν ἐμποιῆσαι. ὑπέπεμπον οὖν εὔθυμον, οὐκ εἰς μακρὰν ἀνυσθήσεσθαι αὐτῷ τὴν βούλησιν ἐπαγγειλάμενος.

λόγιον γένος

# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΩΝ ΛΟΓΟΣ Δ.

Τῇ δὲ ὑστεραίᾳ, ὁ μὲν Πυθίων ἀγὼν ἔληγεν. ὁ δὲ τῶν νέων ἐπήκμαζεν, ἀγωνοθετοῦντος οἶμαι καὶ βραβεύοντος ἔρωτος. καὶ δι' ἀθλητῶν δύο τούτων, οὓς ἐζεύξατο μέγιστον ἀγώνων τὸν ἴδιον ἀποφῆναι φιλονεικήσαντος. γίγνεται γάρ τοι τοιοῦτον. ἐθεώρει μὲν ἡ Ἑλλάς. ἠθλοθέτουν δὲ οἱ Ἀμφικτύονες. ἐπειδὴ τοίνυν τὰ ἄλλα μεγαλοπρεπῶς ἐπετέλεστο, δρόμων ἅμιλλαι. καὶ πάλης συμπλοκαί, καὶ πυγμῆς χειρονομία, τέλος ὁ μὲν κῆρυξ ὁπλίτας παριόντων ἀνεβόησεν. ἡ ζάκορος δὲ ἡ Χαρίκλεια κατ' ἄκρον τὸ στάδιον ἀθρόον ἐξέλαμψεν. ἀφιγμένη καὶ ἄκουσα διὰ τὸ πάτριον. ἢ πλέον ἐμοὶ δοκεῖν ὄψεσθαί που τὸν Θεαγένην ἐλπίζουσα. τῇ λαιᾷ μὲν ἡμμένον πυρφοροῦσα λαμπάδιον. θατέρᾳ δέ, φοίνικος ἔρνος προβεβλημένη. καὶ φανεῖσα, πᾶν μὲν τὸ θέατρον ἐφ' ἑαυτὴν ἐπέστρεψεν. ἔφθη δὲ τάχα οὐδεὶς τοὺς Θεαγένους ὀφθαλμούς. ὀξὺς γὰρ ὁ ἐρῶν ἰδεῖν τὸ ποθούμενον. ἐκεῖνος δὲ ἄρα καὶ προακηκοὼς τὸ ἐσόμενον, πρὸς μίαν τὸν νοῦν ἠσχόλει τὴν παρατήρησιν. ὥστε οὔτε σιωπᾶν ἐκαρτέρησεν. ἀλλ' ἠρέμα πρός με, καθῆστο δὲ μοῦ πλησίον ἐξεπίτηδες, αὕτη ἐκείνη ἔφη Χαρίκλεια. καὶ τὸν μὲν ἠρεμεῖν ἐπέταττον. πρὸς δὲ τὴν κλῆσιν τοῦ κήρυκος, παρείη τις εὐσταλῶς ὡπλισμένος, μέγα τε φρονῶν, καὶ μόνος ἐπίδοξος ὡς ἐδόκει, καὶ πολλοὺς ἤδη πρότερον ἀγῶνας ἀναδησάμενος, τότε δὴ τὸν ἀνταγωνιούμενον οὐκ ἔχων, οὐδενὸς οἶμαι θαρρήσαντος τὴν ἅμιλλαν. ἀπέπεμπον οὖν αὐτὸν οἱ Ἀμφικτύονες.

Amphictyones athlothetæ

I οὐ γὰρ

Qui nō certat non coronatur.

οὐ γὰρ ἐπιτρέπειν τὸν νόμον οὐκ ἀγωνισαμένῳ, στέφανον ἀθληρῶν. ὁ δέ, καλεῖσθαι τὸν βουλόμενον ὑπὸ τοῦ κήρυκος εἰς τὴν ἀγωνίαν ἠξίου. ἐπέταττον οἱ ἀθλοθέται. καὶ ἀνεῖπεν ὁ κῆρυξ, ἥκειν τὸν ἐπελευσόμενον. ὁ δὲ Θεαγένης οὗτος, ἐμὲ καλεῖ, πρός με ἔφησεν. ἐμοῦ δὲ πῶς τοῦτο λέγεις εἰπόντος, οὕτως εἶπεν ὡς ἔσται πάτερ. οὐ γὰρ τῆς ἐμοῦ παρόντος καὶ ὁρῶντος, ἕτερος ἐκ τῶν Χαρικλείας χειρῶν τὸ νικητήριον ἀποίσεται. τὴν δ' ἀποτυχίαν ἔφην καὶ τὴν ἐκ ταύτης ἀδοξίαν οὐδαμοῦ τίθεσαι; καὶ τίς εἶπεν οὕτως ἰδεῖν καὶ πλησιάσαι Χαρικλείᾳ μανικῶς ἐσπούδακεν, ὥστε με παραδραμεῖν. τίνα δ' οὕτως ἡ ὄψις ἐκείνης τάχα καὶ πτερῶσαι δύναται, καὶ μετάρσιον ὑπαρπάσασθαι. οὐκ οἶσθα ὅτι καὶ τὸν ἔρωτα πτεροῦσιν οἱ γράφοντες τὸ εὐκίνητον τῶν ὑπ' αὐτοῦ κεκρατημένων αἰνιττόμενοι; εἰ δέ τι δεῖ καὶ κόμπον προσεῖναι τοῖς εἰρημένοις, οὐδεὶς εἰς τήμερον ποσί με παρελθὼν ἐσεμνύνατο. ταῦτα εἶπε καὶ ἀνήλατο. παρελθών τε εἰς μέσους, τό τε ὄνομα προσήγγελλε, καὶ τὸ ἔθνος ἐδήλου, καὶ τοῦ δρόμου τὴν χώραν ἐκληροῦτο. καὶ τὴν πανοπλίαν ἐνδὺς ἐφειστήκει τῇ βαλβῖδι τὸν δρόμον ἀσθμαίνων, καὶ τὸ παρὰ τῆς σάλπιγγος ἐνδόσιμον, ἄκων καὶ μόγις ἀναμένων. σεμνόν τι θέαμα καὶ περίβλεπτον, καὶ οἷον Ὅμηρος τὸν Ἀχιλλέα τὴν ἐπὶ Σκαμάνδρῳ μάχην ἀθλοῦντα παρίστησι. κεκίνητο μὲν δὴ καὶ πᾶσα πρὸς τὸ παράδοξον ἡ Ἑλλάς. καὶ Θεαγένει νίκην ηὔχετο. καθάπερ αὐτὸς ἕκαστος ἀγωνιζόμενος. ἐπαγωγὸν γάρ τι καὶ πρὸς τὴν τῶν ὁρώντων εἰς εὔνοιαν τὸ κάλλος. ἐκεκίνητο δὲ ἡ Χαρίκλεια πρὸς πᾶσαν ὑπερβολήν. καὶ εἶδον ἐκ πολλοῦ παρατηρῶν, παντοίας μεταβαλλομένην ἰδέας. ὡς γὰρ εἰς ἀκοὴν πάντων ὁ κῆρυξ τοὺς δραμουμένους κατήγγελλεν, ἀνεῖπέ τε, Ὅρμενος Ἀρκάς, καὶ Θεαγένης Θετταλός, ἐχάσθη μὲν ἡ ὕσπληξ, ἐξετέτατο δὲ ὁ δρόμος. μικροῦ καὶ τὴν ὀφθαλμῶν κατάληψιν ὑποτέμνων, ἐνταῦθα οὔτε ἀτρεμεῖν ἔτι κατεῖχεν ἡ κόρη. ἀλλ' ἐσφάδαζεν ἡ βάσις καὶ οἱ πόδες ἐσκίρτων, ὥσπερ οἶμαι τῆς ψυχῆς τῷ Θεαγένει συνεξαιρομένης, καὶ τὸν δρόμον συμπροθυμουμένης. οἱ μὲν δὴ θεαταί, μετέωροι ἅπαντες ἐπὶ τὸ μέλλον καὶ ἀγωνίας ἀνάμεστοι. ἐγὼ δὲ καὶ πλέον ἅτε δήμοι λοιπὸν ὡς παιδὸς ὑπερφροντίζειν προῃρημένος. οὐδὲν θαυμαστὸν ἔφη ὁ Κνήμων, ὁρῶντας καὶ παρόντας

Cur alatus amor

Patriae certantiū enūciabantur a praecone

ἐσφάδαζεν





ἀγωνιᾶν. ὅτε κἀγὼ νυνὶ περὶ τῷ Θεαγένει δέδια. καὶ σοῦ δέομαι θᾶττον εἰ νικῶν ἀνηγορεύθη διελθεῖν. ἐπεὶ δὴ μέσον ὦ Κνήμων ἤνυε τὸ στάδιον, ὀλίγον ἐπιστρέψας καὶ ὑποβλέψας τὸν Ὅρμενον, ἀνακουφίζει τὴν ἀσπίδα πρὸς ὕψος. καὶ τὸν αὐχένα διεγείρας, τὸ βλέμμα τε ὅλον εἰς τὴν Χαρίκλειαν τείνας, τέλος ὥσπερ σκοπὸν ἐφέρετο, καὶ τοσοῦτον παρέφθη τὸν Ἀρκάδα. ὀργυιῶν πλῆθος. ὃ διαλεῖπον εἰς ὕστερον ἐμετρήθη. προσδραμὼν οὖν τῇ Χαρικλείᾳ, πολύς τε ἐξεπίτηδες, εἰς τὸ στέρνον ἐμπίπτει. τοῦ δρόμου δῆθεν τὴν ῥύμην οὐκ ἐνεγκών. καὶ τὸν φοίνικα κομιζόμενος, οὐκ ἔλαθέ με τὴν χεῖρα τῆς κόρης φιλῶν. ἀπέσωσας εἶπεν ὁ Κνήμων ὅτι καὶ ἐνίκησε καὶ ἐφίλησεν. ἀλλὰ τίνα δὴ τὰ ἑξῆς. οὐ μόνον ἀκουσμάτων ἀκόρεστος ἄρα ἦσθα ὦ Κνήμων, ἀλλὰ καὶ ὕπνῳ δυσάλωτος. ἤδη γοῦν οὐκ ὀλίγης μοίρας τῆς νυκτὸς παρῳχηκυίας, ἀντέχεις ἐγρηγορώς, καὶ τὴν διήγησιν μηκυνομένην οὐκ ἀποκναίεις. ἐγὼ καὶ Ὁμήρῳ μέμφομαι ὦ πάτερ, ἄλλων τε καὶ φιλότητος κόρον εἶναι φάσκοντι. πράγματος ὃ κατ' ἐμὲ κεῖται, οὐδεμίαν φέρει πλησμονήν. οὐδὲ τὸ καθ' ἡδονὴν ἀνυόμενον, οὔτε εἰς ἀκοὴν ἐρχόμενον. εἰ δέ τις καὶ τοῦ Θεαγένους καὶ Χαρικλείας ἔρωτος μνημονεύοι, τίς οὕτως ἀδαμάντινος ἢ σιδηροῦς τὴν καρδίαν, ὡς μὴ θέλγεσθαι καὶ εἰς ἐνιαυτὸν ἀκούων. ὥστε ἔχου τῶν ἑξῆς. ὁ μὲν Θεαγένης ὦ Κνήμων, ἐστεφανοῦτο. καὶ νικῶν ἀνηγορεύετο καὶ παρεπέμπετο ὑπὸ ταῖς πάντων εὐφημίαις. ἡ Χαρίκλεια δὲ ἥττητο λαμπρῶς, καὶ δεδούλωτο τῷ πόθῳ πλέον ἢ πρότερον αὖθις ἰδοῦσα τὸν Θεαγένην. ἡ γὰρ τῶν ἐρωτικῶν ἀντίβλεψις, ὑπόμνησις τοῦ πάσχοντος γίνεται. καὶ ἀναφλέγει τὴν διάνοιαν ἡ θέα. καθάπερ ὕλη πυρὶ γιγνομένη. κἀκείνη μὲν οἴκαδε ἐλθοῦσα, συνήθη νύκτα ταῖς προτέραις ἢ καὶ δριμυτέραν διῆγεν. ἐγὼ δὲ αὖθις ἄυπνος ἦν. τήν τε φυγὴν ὅποι τραπόμενοι λάθοιμεν ἀνεπισκοπῶν. καὶ πρὸς τίνα χώραν ἄρα πέμπει τοὺς νέους ὁ θεὸς ἐννοῶν. τὸν μὲν δὴ δρασμὸν ἔγνων κατὰ θάλατταν εἶναι ποιητέον. ἀπὸ τοῦ χρησμοῦ τὸ συνοῖσον λαβών, ἔνθα ἔφασκεν. ἀκτὰς κῦμα τεμόντας, ἵξεσθαι ἠελίου πρὸς χθόνα κυανέην. τὸ δὲ ὅπου παραπεμπτέον αὐτούς, μίαν μόνην λύσιν εὕρισκον εἴπερ δυνηθείην ἐπιτυχεῖν, τῆς συνεκτεθείσης τῇ Χαρικλείᾳ ταινίας. ἐν ᾗ τὸ κατ' αὐτὴν διήγημα

κατεσχῆσθαι ὁ χαρικλῆς ἀκηκοὼς ἔλεγεν. εἰκὸς γὰρ ἦν καὶ πυθέσθαι, καὶ τοὺς ὑπονοηθέντας ἤδη περὶ ἐμοῦ γεγονέναι τῆς κόρης, ἐντεῦθεν ἐκμαθεῖν. καὶ ἴσως ἐκεῖ πέμπεσθαι ὑπὸ τῆς εἱμαρμένης. ὄρθριος γοῦν περὶ τὴν χαρίκλειαν ἧκον, ἄλλους τε τῶν οἰκείων καταλαμβάνω δεδακρυμένους, καὶ οὐχ ἥκιστα τὸν χαρικλέα. πλησιάσας οὖν, τίς ὁ θόρυβος διηρώτων. ὁ δὲ ἐπέτεινεν ἡ νόσος ἔφη τῆς θυγατρὸς καὶ χαλεπωτέρας ἢ πρότερον πεπείραται τῆς παρῳχηκυίας νυκτός. ἀνίστω ἔφην. καὶ οἱ λοιποὶ πάντες ἐξίτε. τρίποδα δέ τις καὶ δάφνην καὶ πῦρ καὶ λιβανωτὸν παραθέσθω μόνον. ἐνοχλείτω δὲ μηδὲ εἷς, ἕως ἂν προσκαλέσωμαι. προσέταττε ταῦτα ὁ χαρικλῆς καὶ ἐγίγνετο. κἀπειδὴ σχολῆς ἐλαβόμην, ἠρχόμην ὥσπερ ἐπὶ σκηνῆς τῆς ὑποκρίσεως. καὶ τόν τε λιβανωτὸν ἐθυμίων, καί τινα διῆθεν ψιθύροις τοῖς χείλεσι κατευξάμενος, τὴν δάφνην ἐκ κεφαλῆς εἰς πόδας ἄνω καὶ κάτω πυκνὰ τῆς χαρικλείας ἐπεσόβουν. καὶ ὑπνῶδές τι μᾶλλον δὲ γραῶδες ἐπιχασμώμενος, ὀψὲ καὶ βραδέως ἐπαυσάμην. καὶ πολλήν τινα λῆρον ἐμαυτοῦ τε καὶ τῆς κόρης καταχέας. ἡ δὲ, πυκνὰ τὴν κεφαλὴν ἐπέσειε, καὶ σεσηρὸς ὑπεμειδία. πλανᾶσθαί με τηνάλλως καὶ τὴν νόσον ἀγνοεῖν ἐνδεικνυμένη. καθεσθεὶς δὴ πλησίον, θάρσει θύγατερ ἔλεγον. εὐτελὴς ἡ νόσος. καὶ ἰαθῆναι ῥᾳδία. βασκανία σου καθήψατο. τάχα μὲν καὶ ὅτε ἐπόμπευες, πλέον δὲ, ὅτε ἐβράβευες. ἐγὼ δὲ καὶ ὑπονοῶ τὸν μᾶλλον βασκήναντα. θεαγένης ἐστὶν ὁ τὸν ἐνόπλιον δραμών. οὐκ ἔλαθέ με περιτηρῶν σε πολλάκις, καὶ τὸν ὀφθαλμὸν ἰταμώτερον ἐπιβάλλων. ἡ δὲ, ἐκεῖνος με, εἴτε οὕτως εἶδεν, εἴτε μὴ πολλὰ χαιρέτω. τίνων δὲ οὗτος, ἢ πόθεν, ὅτι πολλοὺς ἑώρων περὶ αὐτὸν ἐπτοημένους. ὡς μὲν θετταλὸς τὸ γένος ἔφθης ἀκούσασα, καὶ τοῦ κήρυκος ὅτε αὐτὸν ἀνηγόρευσεν. ἀναφέρει δὲ αὐτὸν εἰς ἀχιλλέα πρόγονον. καί μοι ἐπαληθεύειν ἔοικεν, εἰ δεῖ τῷ μεγέθει καὶ τῷ κάλλει τοῦ νεανίου τεκμαίρεσθαι πιστουμένῳ τὴν ἀχίλλειον εὐγένειαν. πλὴν ὅσον οὐχ ὑπερόφρων οὐδ' ἀγήνωρ κατ' ἐκεῖνον. ἀλλὰ τῆς διανοίας τὸν ὄγκον ἡδύτητι καταπραΰνων. ἀλλὰ καί περ τοιοῦτος ὤν, πάθοι δριμύτερα ὧν δέδρακεν, ἐπίφθονον ἔχων τὸ βλέμμα καί σε τῇ θέᾳ καταβασκήνας. ὦ πάτερ ἔφη. σοὶ μὲν χάρις ὑπεραλγοῦντι τὰ ἡμέτερα. τί δὲ μάτην καταρᾷ τῷ τάχα οὐ-

δὲν

Thus

Laurus

ὁ τὸ ἐνόπλιον δραμών. -



δὲν ἠδικηκότι. νοσῶ γὰρ οὐ βασκανίαν ἀλλ' ἑτέραν τινὰ ὡς ἔοικε νόσον. εἶτα ἀποκρύπτεις ἔφην ὦ τέκνον, ἀλλ' οὐχὶ θαρσοῦσα λέγεις, ὅπως ἂν, καὶ βοηθείας εὐπορήσαιμεν; οὐχὶ πατήρ εἰμί σοι τὴν ἡλικίαν, καὶ πλέον τὴν εὔνοιαν; οὐ πατρὶ τῷ σῷ γνώριμος καὶ ὁμόψυχος; ἐκφαῖνε ὃ κάμνεις. ἔχεις ἐν ἐμοὶ τὸ πιστόν. εἰ βούλει καὶ ἐνώμοτον. λέγε θαρσήσασα. μηδὲ χορήγει τῷ λυποῦντι μέγεθος σιωπῶσα. πάθος γὰρ ἅπαν τὸ μὲν ὀξέως γινωσκόμενον, εὐβοήθητον. τὸ δὲ χρόνῳ παραπεμπόμενον ἐγγὺς ἀνίατον. τροφὴ γὰρ νόσων ἡ σιωπή. τὸ δὲ ἐκκαλούμενον, εὐπαραμύθητον. ὀλίγον οὖν ἐπισχοῦσα πρὸς ταῦτα, καὶ μυρίας τοῦ νοῦ τροπάς τε καὶ ὁρμὰς ἐκ τῶν ὄψεων ἐμφήνασα, συγχώρησον ἔφη μοι τὸ τήμερον. ἀκούσῃ δὲ εἰσαῦθις, εἰ μὴ γνοίης προλαβών. ἅτε μαντικὸς εἶναι βουλόμενος. ἐξῄειν ἀναστὰς, ἐνδιδοὺς τῇ κόρῃ διαιτῆσαι ἐν τῷ μεταξὺ, τῆς ψυχῆς τὸ αἰδούμενον. ὁ δὲ χαρικλῆς ὑπαντήσας. καὶ τί φράζειν ἔχεις ἠρώτα. πάντα δεξιῶς ἔλεγον. εἰς γὰρ τὴν ὑστεραίαν τοῦ μὲν ἐνοχλοῦντος πάθους ἀπαλλάξεται. ἀπέτρεχον ταῦτα εἰπὼν, τοῦ μή τι πλέον τὸν χαρικλέα πεύθεσθαι. μικρὸν δὲ ὅσον τοῦ δωματίου προϊὼν, ὁρῶ τὸν θεαγένην, αὐτοῦ που περὶ τὸν νεὼν καὶ τὸν περίβολον εἱλούμενον, καὶ πρὸς ἑαυτὸν διαλεγόμενον, ὥσπερ ἀρκοῦν αὐτῷ μόνον τὴν οἴκησιν τῆς χαρικλείας περισκοπεῖν. ἐκτραπόμενος οὖν παρῄειν ὥσπερ οὐχ ἑωρακώς. ὁ δὲ, χαῖρε εἶπεν ὦ καλάσιρι καὶ ἄκουε. σὲ γὰρ περιέμενον. ἀνέστρεφεν ἀθρόον. καὶ θεαγένης ἔλεγον ὁ καλός. ἀλλ' οὐχ ἑωράκειν. ποῖος καλὸς ἔφη, ὁ χαρικλείᾳ μὴ ἀρεστός. ἠγανάκτουν ἐγὼ μέχρι τῶν ὄψεων. καὶ οὐ παύσῃ ἔλεγον, ὑβρίζων ἐμέ τε καὶ τὴν ἐμὴν τέχνην, ὑφ' ἧς ἥλωκεν ἤδη καὶ ἐρᾶν σου κατηνάγκασται, καὶ ὁρᾶν ὥσπερ τινὰ τῶν κρειττόνων εὔχεται; τί λέγεις ἔφη ὦ πάτερ. ἐρᾷ ἐμὲ χαρίκλεια; τί οὖν οὐκ ἄγεις ἤδη παρ' αὐτήν. καὶ ἅμα προέτρεχεν. ἐπιλαμβανόμενος οὖν τῆς χλαμύδος, στῆθι ἔφην οὗτος, εἰ καὶ ὀξὺς δραμεῖν. οὐ γὰρ ἅρπαγμα τὸ πρᾶγμα. οὐδὲ εὐώνου καὶ τῶν ἐν μέσῳ τοῦ βουλομένου προκείμενον. ἀλλὰ πολλῆς μὲν βουλῆς ὥστε πρεπόντως ἀνυσθῆναι. πολλῆς δὲ διασκευῆς ὥστε ἀσφαλῶς πραχθῆναι δεόμενον. ἢ τὸν πατέρα τῆς κόρης ἠγνόηκας, ὡς δελφῶν οὗτος τὰ πρῶτα; τοῖς δὲ νόμοις οὐκ ἐννοεῖς. οἳ θάνατον ἐπιβάλλουσι τοῖς τοιούτοις; ἐγὼ εἶπε καὶ τελευ-

 ταῦ

Altrix morborum taciturnitas

οὐ γὰρ ἅρπαγμα τὸ πρᾶγμα

ὡς Δελφῶν οὗτοι τὰ πρῶτα

πάτερ

ταῦτ', οὐ διαφέρομαι τυχὼν Χαρικλείας. ἀλλ' ὅμως εἰ δοκεῖ, πρὸς γάμον αἰτῶμεν τῷ πατρὶ προσιόντες. οὐ γὰρ δὴ μὴ ἀνάξιοί γε ὄντες τῷ Χαρικλεῖ κηδεύσομεν. οὐκ ἂν τύχοιμεν ἔφην. οὐχ ὅτι τῆς ὑμετέρας σέ τι δυνατὸν ἀπομέμψασθαι. ἀλλ' ὁ Χαρικλῆς ἀδελφῆς ἑαυτοῦ παιδίον τὴν κόρην πάλαι κατηγγύησεν. οἰμώξεται ἔφη Θεαγένης εἴ τις ποτὲ ἐστίν. οὐ γάρ τις ἐμοῦ ζῶντος, ἕτερος θαλαμεύσει Χαρίκλειαν. οὐχ οὕτως ἡ δὲ ἡ χεὶρ καὶ ξίφος τοὐμὸν ἀργήσαι. παῦσαι ἔφην. οὐδενὸς δεήσει τοιούτου. μόνον ἐμοὶ πείθου, καὶ πράττῃ ὡς ἂν, ὑφηγήσωμαι. νῦν δὲ ἀναχώρει καὶ φυλάττου συνεχῶς φαίνεσθαι πλησιάζων. ἀλλ' ἐφ' ἡσυχίας καὶ μόνος ποιοῦ τὰς ἐντεύξεις. ἀπῄει κατηφής. ὁ δὲ Χαρικλῆς εἰς τὴν ὑστεραίαν ἐντυχὼν, ἐμοῦ τε εἶδε, καὶ προσδραμὼν ἐφίλει πολλὰ τὴν κεφαλήν. τοῦτο σοφία, τοῦτο φιλία συνεχῶς ἀναβοῶν. ἤνυσταί σοι μέγα ἔργον. ἑάλωκεν ἡ δυσάλωτος. καὶ νενίκηται ἡ δυσκαταμάχητος. ἐρᾷ Χαρίκλεια. πρὸς ταῦτα ἐθρυπτόμην. ἀνέσπων τε τὴν ὀφρῦν καὶ βλακωδέστερον βαίνων, εὔδηλον ἦν ἔλεγον, ὡς οὐδὲ πρὸς τὴν πρώτην ἀνθέξει προσβολὴν ἐμοῦ, καὶ ταῦτα μηδένα τῶν μειζόνων ὀχλήσαντος. ἀλλὰ πόθεν ὦ Χαρικλῆς ἐρῶσαν ἐγνώρισάς τε. σοὶ πεισθέντες ἔφη. τοὺς γὰρ δοκίμους τῶν ἰατρῶν, ὡς αὐτὸς ὑπέθου παρακαλέσας ἦγον εἰς τὴν ἐπίσκεψιν. ἀμοιβὴν τὴν προσοῦσαν οὐσίαν ὑπισχνούμενος, εἴ τι δύναιντο ἐπικουρεῖν. οἱ δὲ, ὡς τάχιστα εἰσῆλθον, ἠρώτων ὅ, τι πάσχοι. τῆς δὲ ἀποστρεφομένης, ἔπος δὲ ὁμηρικὸν ἀναβοώσης, ὦ Ἀχιλλεῦ Πηλέως υἱέ. μέγα φέρτατ' Ἀχαιῶν, ὁ λόγιος Ἀκεστῖνος. οἶσθα δὲ δή που τὸν ἄνδρα, τῷ καρπῷ τὴν χεῖρα καὶ ἀκούσης ἐπιβαλὼν, ἀνακρίνειν ἀπὸ τῆς ἀρτηρίας ἐῴκει τὸ πάθος. ὥσπερ οἶμαι τὰ καρδίας κινήματα μηνυούσης. οὐκ ὀλίγον τε χρόνον βασανίσας τὴν ἐπίσκεψιν, ἄνω τε καὶ κάτω πολλὰ ἐπιθεωρήσας, ὦ Χαρίκλεις ἔφη. περιττῶς ἡμᾶς ἐνθάδε εἰς κέκληκας. ἰατρικὸς γὰρ οὐδὲν ἂν, οὐδαμῶς ἀνύσειε πρὸς ταύτην. ἐμοῦ δὲ ὦ θεοὶ τί τοῦτο λέγεις ἀναβοήσαντος, οἴχεται οὖν μοι τὸ θυγάτριον, καὶ ἐλπίδος ἐκτὸς γέγονεν. οὐ θορύβου δή φησιν. ἀλλ' ἄκουε, καὶ παραλαβών με τῆς τε κόρης καὶ τῶν ἄλλων ἄποθεν. ἡ καθ' ἡμᾶς ἔφη τέχνη σώματος πάθη θεραπεύειν ἐπαγγέλλεται. ψυχῆς δὲ, οὐ προηγουμένως. ἀλλὰ τότε μόνον, ὅταν συμπάσχῃ μετὰ τοῦ σώματος κακουμένου, συνωφε-

Homer
Acestin
Morbos corporu[m] medicina sanat



συνωφελεῖται θεραπευομένου. τὸ δὲ τῆς κόρης. νόσος μὲν, ἀλλ' οὐ σώματος, οὐ γὰρ χυμός τις περιττεύει. οὐ κεφαλῆς ἄλγημα βαρύνει. οὐ πυρετὸς ἀναφλέγει. οὐκ ἄλλο τι τοῦ σώματος, οὐ μέρος, οὐχ ὅλον νοσεῖ που. τοῦτο οὐκ ἄλλο τι νομιστέον. ἐμοῦ δὲ λιπαροῦντος, καὶ φράζειν εἴ τι κατέμαθεν ἀξιοῦντος, οὐ γὰρ καὶ παιδὶ γνώριμον ἔφη, ψυχῆς εἶναι τὸ πάθος, καὶ τὴν νόσον ἔρωτα λαμπρῶς; οὐχ ὁρᾷς ὡς κυλοιδιᾷ μὲν ὀφθαλμοὺς, καὶ τὸ βλέμμα διέρριπται, καὶ τὸ πρόσωπον ὠχριᾷ, σπλάχνον οὐκ αἰτιωμένη, τὴν διάνοιαν δὲ ἀλύει, καὶ τὸ ἐπελθὸν ἀναφθέγγεται, καὶ ἀπροφάσιστον ἀγρυπνίαν ὑφίσταται, καὶ τὸν ὄγκον ἀθρόως καθῄρηται; ζητητέος σοι Χαρίκλεις γένοιτ' ἂν, μόνος, ὁ μὲν ταῦτα εἰπὼν ἀπῄει. πρὸς σὲ δὲ ἐγὼ δρομαῖος τὸν ἐμὸν καὶ σωτῆρα καὶ θεόν. ὃν μόνον ἐγὼ εὐεργετῆσαι δύνασθαι, κἀκείνη γινώσκει. πολλὰ γοῦν ἐμοῦ δεομένου, καὶ ἐξειπεῖν ὅτι πάσχοι παρακαλοῦντος, ἓν μόνον ἀπεκρίνατο, ὡς ἀγνοεῖ μὲν ὃ πέπονθεν, εἰδέναι δὲ, ὡς Καλάσιρις ἂν, ἰάσαιτο μόνος, καὶ εἰσκαλεῖν σε παρ' αὐτὴν ἱκέτευεν. ἐξ οὗ δὴ καὶ μάλιστα συνέβαλον, ὡς ὑπὸ τῆς σοφίας ἑάλωκεν. ἆρ' οὖν ὥσπερ ὅτι ἐρᾷ πρὸς αὐτὸν ἐγὼ καὶ τὸ, τίνος ἔχοις ἂν, λέγειν; οὐ μὰ τὸν Ἀπόλλω ἔφη. πῶς γὰρ ἂν ἢ πόθεν τοῦτο εἰδείην. ηὐχόμην δὲ, Ἀλκαμένους αὐτὴν ἐρᾶν, ἢ πάντα χρήματα τῶν τῆς ἀδελφῆς παιδὸς τῆς ἐμῆς. ὃν πάλαι αὐτῇ νυμφίον, ὅσον γε εἰς βούλησιν ἧκεν τὴν ἐμὴν κατηγγύησα. ἐμοῦ δὲ εἰπόντος ὡς ἔξεστι πεῖραν λαμβάνειν, εἰσάγοντα παρ' αὐτὴν καὶ δεικνύντα τὸ μειράκιον, ἐπαινέσας ἀπῄει. καὶ περὶ πληθοῦσαν ἀγορὰν, αὖθις μοι συντυχὼν, ἀνιαρὸν ἀκούσῃ πρᾶγμα ἔλεγεν. ἡ παῖς δαιμονᾶν ἔοικεν. οὕτως ἀλλόκοτόν τι τὸ κατ' αὐτήν. εἰσῆγον ὡς ἐκέλευσας τὸν Ἀλκαμένην. καὶ ἁβρότερον ἐδείκνυν. ἡ δὲ, ὥσπερ τὴν Γοργοῦς θεασαμένη κεφαλὴν, ἤ τι τῶν ἀτοπωτέρων, ὀξύ τι καὶ μέγα ἀνέκραγε. καὶ τὴν ὄψιν πρὸς θάτερα τοῦ οἰκήματος ἀπέστρεφε. καὶ τὰς χεῖρας ὡς βρόχον ἐπάγουσα τῷ τραχήλῳ διαχρήσασθαι ἠπείλει. καὶ ἐπώμνυεν, εἰ μὴ θᾶττον ἐξίοιμεν. ἐκείνης μὲν δὴ, καὶ λόγου θᾶττον ἀπηλλάγημεν. τί γὰρ καὶ ἔδει ποιεῖν, ἀτοπίαν τοσαύτην ὁρῶντας. σοῦ δὲ ἱκέται καὶ πάλιν γιγνόμεθα. μήτε ἐκείνην περιιδεῖν ἀπολλυμένην, μήτε ἡμᾶς τῶν κατ' εὐχὰς ἀποτυγχάνοντας.

ὦ Χαρί-

χυμὸς humor
κυλλοιδιᾷ
Alcamenes
δαιμονᾶν
γοργοῦς
medusa

κυλλοιδιᾷ

ἀλλά μοι ἀντίθεός τις ἔοικεν ἐμποδίζειν τὴν πρᾶξιν καὶ διαμάχεσθαι πρὸς τοὺς ἐμοὺς ὑπηρέτας

ὦ χαρίκλεις ἔφην. οὐ διήμαρτον εἰπὼν δαιμονᾶν τὴν κόρην. ὀχλεῖ-
ται γὰρ ὑπὸ δυνάμεων ἃς αὐτὸς κατέπεμψα. καὶ τούτων οὐκ ἐλα-
χίστων. ἀλλ' ὡς εἰκὸς ἣν ἐκείνη. ἃ μήτε ἐπεφύκει, μήτε ἐβούλετο κα-
ταναγκάσαι πράττειν. ἀλλά μοι ἀντίθεός τις ἔοικεν ἐμποδίζειν τὴν
πρᾶξιν. καὶ διαμάχεσθαι πρὸς τοὺς ἐμοὺς ὑπηρέτας. ὥστε ὥρα δεῖ
πάντως ἐπιδεικνῦναι μοι τὴν ταινίαν. ἣν τῇ παιδὶ συνεκτεθεῖ-
σαν ὑποδεδέχθαι μετὰ τῶν ἄλλων γνωρισμάτων ἔλεγες. ὡς ἔγω-
γε δέδοικα μή τινος ἐμπέπλησται γοητείας καὶ μαγγανείας τυγ-
χάνει τραχυνούσης τὴν ψυχὴν ἀνάγραπτος ἐχθροῦ τινος αὐτὴν ἐξ ἀρ-
χῆς ἀνέραστον ἀποβιῶναι καὶ ἄγονον ἐπιβουλεύσαντος. ἐπῄνει ταῦ-
τα. καὶ ἧκε φέρων οὐ μετὰ πολὺ τὴν ταινίαν. γράμμασιν αἰθιοπι-
κοῖς. οὐ δημοτικοῖς ἀλλὰ βασιλικοῖς ἐστιγμένην. ἃ δὴ τοῖς αἰγυ-
πτίων ἱερατικοῖς καλουμένοις ὡμοίωνται. καὶ ἐπιτρέχων, τοιάδε
ηὕρισκον τὸ γράμμα διηγούμενον. περσίννα βασίλισσα αἰθιόπων.
τῇ ὅτι δὴ κληθησομένῃ καὶ μέχρι μόνων ὠδίνων θυγατρὶ δῶρον
ἔσχατον. χαράττω τόνδε τὸν ἔγγραφον θρῆνον. ἐπάγην ὦ κνήμων,
ὡς τοῦ περσίννης ὀνόματος ἤκουσα. τὰ δὲ ἐξῆς ὅμως ἐπελεγόμην, ὄν-
τα τοιάδε. ὡς μὲν οὐδὲν ἀδικοῦσα παιδίον, ὅτε σε γενομένην ἐξε-
θέμην, οὐδὲ πατέρα τὸν σὸν ὑδάσπην τὴν σὴν θέαν ἀπεκρυψά-
μην, ἐπικεκλήσθω μάρτυς ὁ γενεάρχης ἡμῶν ἥλιος. ἀλλ' ὅμως ἀπολο-
γοῦμαι πρός τε σέ ποτε θύγατερ εἰ περισωθείης, πρός τε τὸν ἀναι-
ρησόμενον, εἴ τινά σοι θεὸς ἐπιστήσειε. πρός τε αὐτὸν ὅλον τὸν τῶν ἀν-
θρώπων βίον, ἀνακαλύπτουσα τὴν αἰτίαν τῆς ἐκθέσεως. ἡμῖν πρόγο-
νοι θεῶν μὲν, ἥλιός τε καὶ διόνυσος. ἡρώων δὲ περσεύς τε καὶ ἀνδρο-
μέδα, καὶ μέμνων ἐπὶ τούτοις. οἱ δὴ τὰς βασιλείους αὐλὰς κατὰ και-
ροὺς ἱδρυσάμενοι ταῖς ἀπὸ τούτων γραφαῖς ἐκόσμησαν. τὰς μὲν δὴ
τῶν ἄλλων εἰκόνας τε καὶ πράξεις, ἀνδρῶσί τε καὶ περιδρόμοις ἐνέ-
γραφον. τοὺς δὲ θαλάμους, τοῖς ἀνδρομέδας τε καὶ περσέως ἔρωσιν
ἐποίκιλλον. ἐνταῦθα ποτὲ ἡμᾶς. δέκατον ἤδη ἔτους, ἐξ οὗ
με γαμετὴν ὑδάσπης ἐγνώρισεν, οὔ ποτε παίδων ἡμῖν γεγονό-
των, ἠρεμεῖν τὸ μεσημβρινὸν συνέβαινεν, ὕπνου θερινοῦ κατακλί-
ναντος. καί μοι καὶ προσωμίλει τότε ὁ πατὴρ ὁ σός. ὄναρ αὐτὸ τοῦτο
κελεύειν ἐπομνύμενος, ᾐσθόμην τε παραχρῆμα κυοφορήσασα τὴν
καταβολήν.

ἱερατικὰ αἰγυπτίων γράμματα.

Persina aethiopum regina

Chariclea Hydaspis & Persinae aethiopum reginae f.



καταβολήν. ὁ μὲν δὴ μέχρι τοῦ τόκου χρόνος. ἑορτὴ πάνδημος
ἦν. καὶ χαριστήριοι θυσίαι τοῖς θεοῖς. ὡς τοῦ βασιλέως διάδοχον τοῦ
γένους ἐλπιζόντος. ἐπειδὴ δὲ σὲ λευκὴν ἀπέτεκον, ἀπρόσφυλον
αἰθιόπων χροιὰν ἀπαυγάζουσαν, ἐγὼ μὲν τὴν αἰτίαν ἐγνώριζον ὅτι
μοι παρὰ τὴν ὁμιλίαν τὴν πρὸς τὸν ἄνδρα, προβλέψαι τὴν ἀνδρο-
μέδαν ἡ γραφὴ παρασχοῦσα, καὶ πανταχόθεν ἐπιδείξασα γυ-
μνήν, ἄρτι γὰρ αὐτὴν ἀπὸ τῶν πετρῶν ὁ περσεὺς κατῆγεν, ὁμοειδὲς
ἐκείνῃ τὸ σπαρὲν οὐκ εὐτυχῶς ἐμόρφωσεν. ἔγνων οὖν ἐμαυτήν τε ἀ-
παλλάξαι τοῦ μετ' αἰσχύνης θανάτου, πεπεισμένη τὴν σὴν χροιὰν,
μοιχείαν ἐμοὶ προσάψουσαν. οὐ γὰρ πιστεύειν οὐδένα λεγούσῃ τὴν πε-
ριπέτειαν. καί σοι τὸ ἐκ τῆς τύχης ἀμφίβολον χαρίσασθαι θανάτου
προδήλου. ἢ πάντως ὀνόματος νόθου προτιμότερον γενομένη.
σέ τε τεθνάναι παραχρῆμα πρὸς τὸν ἄνδρα πλασαμένη, λάθρα καὶ
ἀπορρήτως ἐξεθέμην. ὅσον πλεῖστον ἠδυνάμην πλοῦτον τῷ περισώ-
ζοντι μισθὸν συνεκθεμένη. ἄλλοις τέ σε κοσμήσασα, καὶ ταινίᾳ τῇ-
δε, καὶ ἐλεεινῷ διηγήματι τῷ σῷ καὶ ἐμαυτῆς ἐνειλήσασα. ἣν ἀπὸ δα-
κρύων τῶν ἐπὶ σοὶ καὶ αἵματος ἐχάραττον ὁμοῦ πρωτοτόκος καὶ πο-
λύθρηνος γενομένη. ἀλλ' ὦ γλυκεῖα, καὶ μέχρις ὥρας θυγάτηρ, ὅ-
πως εἰ περιγένοιο μεμνήσῃ τῆς εὐγενείας, τιμῶσα σωφροσύνην. ἣ
δὴ μόνη γυναικείαν ἀρετὴν χαρακτηρίζει καὶ φρόνημα βασίλειον.
καὶ πρὸς τοὺς φύντας ἀναφέρον ἀσκοῦσα. μεμνήσῃ δὲ πρὸ πάν-
των τῶν συνεκτεθέντων σοι κειμηλίων, δακτύλιόν τινα ἐπιζητεῖν,
καὶ σεαυτῇ περιποιεῖν. ὃν πατὴρ ὁ σὸς ἐμοὶ παρὰ τὴν μνηστείαν ἐδω-
ρήσατο. βασιλείῳ μὲν συμβόλῳ τὸν κύκλον ἀνάγραπτον. λίθῳ δὲ
παντάρβῃ καὶ ἀπορρήτῳ δυνάμει τὴν σφενδόνην καθιερωμένον.
ταῦτά σοι διείλεγμαι. τὸ γράμμα διάκονον εὑραμένη. τὰς ἐμψύ-
χους καὶ ἐν ὀφθαλμοῖς ὁμιλίας τοῦ δαίμονος στερήσαντος. τάχα μὲν
κωφὰ καὶ ἀνήνυτα, τάχα δὲ καὶ εἰς ὄφελός ποτε ἥξοντα. τὸ γὰρ
ἄδηλον τῆς τύχης ἀνθρώποις ἄγνωστον. καὶ ἔσται σοι τὰ τῆς γραφῆς
ὦ μάτην ὡραία καὶ ἔγκλημα τὸ κάλλος ἐμοὶ προσάψασα. εἰ μὲν
περισωθείης γνωρίσματα. εἰ δ' ὅπερ καὶ ἀκοὴν λάθοι τὴν ἐμὴν
ἐπιτύμβια καὶ μητρὸς ἐπικήδεια δάκρυα. ταῦτα ὦ κνήμων ὡς
ἀνέγνων, ἐγνώριζον μὲν. καὶ τὴν ἐκ θεῶν οἰκονομίαν ἐθαύμαζον.

τὸ ἄδηλον τῆς τύχης ἀνθρώποις ἄγνωστον

ἡδονῆς δὲ ἅμα καὶ λύπης ἐνεπλήσθην. καὶ πάθος τι καινότερον ὑπέστην. ὁμοῦ δακρύων καὶ χαίρων διαχεομένης μὲν τῆς ψυχῆς πρὸς τὴν τῶν ἀγνοουμένων εὕρεσιν, καὶ τῶν χρησθέντων ἤδη τὴν ἐπίλυσιν. ἀδημονούσης δὲ πρὸς τὴν τῶν ἐσομένων ἔκβασιν, καὶ τὸ ἀνθρώπινον βίον οἰκτιζούσης ὡς ἄστατόν τι καὶ ἀβέβαιον, καὶ ἄλλοτε πρὸς ἄλλα τρεπόμενον. τότε δὲ ὑπερβαλλόντως ταῖς Χαρικλείας τύχαις γνωριζόμενον. εἰσῄει γάρ με πολλῶν ἔννοια, τίνων μὲν γενομένη τίνων ἐνομίσθη. πόσῳ δὲ τῷ μεταξὺ τῆς ἐνεγκούσης ἀπήχθη. κεκλήρωτο δὲ θυγατρὸς ὄνομα νόθον. ἀποβαλοῦσα τὸ γνήσιον Αἰθιόπων καὶ βασιλικὸν γένος. ἐπὶ πολύ τε ἀμφίβολος εἱστήκειν, τῶν μὲν παρελθόντων οἰκτείρειν ἔχων, τῶν δὲ ἐσομένων εὐδαιμονίζειν οὐ θαρσῶν. ἕως τὸν λογισμὸν πρὸς τὸ νῆφον ἀνακαλεσάμενος, ἔγνων μὴ διαμέλλειν, ἀλλ᾽ ἔργου ἔχεσθαι. καὶ παρὰ τὴν Χαρίκλειαν ἐλθὼν, καταλαμβάνω μόνην, ἀπειρηκυῖαν ἤδη πρὸς τὸ πάθος. καὶ τῷ μὲν φρονήματι βιαζομένην ἀναφέρειν, τῷ σώματι δὲ πάντῃ πεπονημένην, ἐνδιδοῦσάν τι πρὸς τὴν νόσον, καὶ ἀντέχειν ἀσθενήσασάν τι πρὸς τὸ δεινόν. μεταστησάμενος οὖν τοὺς παρόντας, καὶ μηδένα διοχλεῖν ἐπιστείλας ὡς δή τινας εὐχὰς καὶ ἐπικλήσεις τῇ κόρῃ προσοίσων. ὥρα σοι ἔφην ὦ Χαρίκλεια λέγειν ὃ πάσχεις. οὕτω γὰρ ὑπέσχου τῇ προτεραίᾳ. καὶ μὴ κρύπτειν ἄνδρα, σοί τε εὔνουν, καὶ γνῶναι τὰ πάντα καὶ σιωπώσης οὐκ ἀδύνατον. ἡ δὲ λαβομένη μου τῆς χειρὸς, ἐφίλει τε καὶ ἐπεδάκρυε. καὶ ὦ σοφὲ Καλάσιρι, τοῦτο πρῶτον εὐεργέτησον ἔλεγεν. ἔασόν με σιωπῶσαν δυστυχεῖν. αὐτὸς ὡς βούλει γνωρίσας τὴν νόσον. καὶ τὴν γοῦν αἰσχύνην κερδαίνειν κρύπτουσα. ἃ καὶ πάσχειν αἰσχρὸν, καὶ ἐκλαλεῖν αἰσχρότερον. ὡς ἔμεγε, λυπεῖ μὲν καὶ ἡ νόσος ἀκμάζουσα. πλέον δὲ τὸ μὴ κρατῆσαι τῆς νόσου τὴν ἀρχήν. ἀλλ᾽ ἡττηθῆναι πάθους, ἀπειρημένου μὲν ἐμοὶ τὸν πρὸ τούτου πάντα χρόνον. λυμαινομένου δὲ καὶ μέχρις ἀκοῆς, τὸ παρθενίας ὄνομα σεμνότατον. ὑπορρωννὺς οὖν αὐτὴν ὦ θύγατερ ἔφην. δυοῖν ἕνεκα ἔφην ἐν ποιεῖς ἀποκρύπτουσα τὰ κατὰ σαυτήν. ἐγώ τε γὰρ οὐδὲν δέομαι μανθάνειν, ἃ πάλαι παρὰ τῆς τέχνης ἔγνωκα, σὺ δὲ εἰκότα πάσχεις, ἐρυθριῶσα λέγειν, ἃ γυναιξὶν κρύπτειν εὐπρεπέστερον. ἀλλ᾽ ἐπειδήπερ ἅπαξ ἔρωτος ἐπῄσθου, καὶ φανείς σε Θεαγένης ᾕρηκε, τοῦτο γὰρ ὀμφή με θεῶν

ἀνθρώπινος βίος ἄστατόν τι καὶ ἀβέβαιον καὶ ἄλλοτε πρὸς ἄλλο τρεπόμενον

Aperit morbum suum chariclea

ἃ ποιεῖν αἰσχρὸν ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Isocrates



θεῶν ἐμήνυσε, σὺ μὲν ἴσθι, μὴ μόνη καὶ πρώτη τὸ πάθος ὑποστᾶσα. ἀλλὰ σὺν πολλαῖς μὲν γυναιξὶ τῶν ἐπισήμων. σὺν πολλαῖς δὲ παρθένοις τῶν τὰ ἄλλα σωφρόνων. μέγιστος γὰρ θεῶν ὁ ἔρως, καὶ ἤδη καὶ θεῶν αὐτῶν ποτὲ κρατεῖν λεγόμενος. ἐπισκόπει δὲ ὅπως ἄριστα διαθήσῃ τὰ παρόντα. ὡς τὸ μὲν ἀπείραστον γενέσθαι τὴν ἀρχὴν ἔρωτος, εὔδαιμον. τὸ δὲ ἁλόντα πρὸς τὸ σῶφρον τὸ βούλημα περιποιῆσαι, σοφώτατον. ὃ δὴ καὶ σοὶ βουλομένῃ πιστεύειν ἔξεστι. καὶ τὸ μὲν ἐπιθυμίας αἰσχρὸν ὄνομα διώσασθαι. τὸ δὲ συναφείας ἔννομον συνάλλαγμα προελέσθαι, καὶ εἰς γάμον τρέψαι τὴν νόσον. ἱδρῶτι πολλῷ διερρεῖτο τούτων εἰρημένων ὦ Κνήμων. καὶ δήλη παντοίως ἦν. χαίρουσα μὲν ἐφ᾽ οἷς ἤκουσεν. ἀγωνιῶσα δὲ ἐφ᾽ οἷς ἤλπιζεν. ἐρυθριῶσα δὲ ἐφ᾽ οἷς ἑάλωκεν. οὐκ ὀλίγον οὖν ἐφησυχάσασα χρόνον. ὦ πάτερ ἔφη. γάμον ὀνομάζεις καὶ τοῦτον αἱρεῖσθαι παραινεῖς ὥσπερ δῆλον ὂν, ἢ τὸν πατέρα συνθησόμενον, ἢ τὸν ἐμὸν πολέμιον ἀντιποιησόμενον. τὸ μὲν κατὰ τὸν νεανίαν, ἔρρωται ἡμῖν ἔφην. καὶ πλέον ἢ σὺ τάχα κἀκεῖνος ἑάλωκεν. ἀπὸ τῶν ὁμοίων κεκινημένος. ὡς γὰρ ἔοικεν, αἱ ψυχαὶ πῶς ὑμῖν ἀπὸ πρώτης ἐντεύξεως, τὰς ἀλλήλων ἀξίας ἐγνώρισαν. καὶ πρὸς τὸ ἴσον πάθος κατηνέχθησαν. ἐπέτεινα δὲ αὐτῷ κἀγώ σοι χαριζόμενος σοφίᾳ τὴν ἐπιθυμίαν. ὁ δὲ νομιζόμενός σε πατὴρ, ἄλλον εὐτρεπίζεται νυμφίον. Ἀλκαμένην, ὃν οὐκ ἠγνόηκας. ἡ δὲ, Ἀλκαμένει μὲν ἔφη τάφος πρότερον ἢ γάμον τὸν ἐμὸν εὐτρεπιζέσθω. ἐμὲ γὰρ ἢ Θεαγένης ἄξεται, ἢ τὸ τῆς εἱμαρμένης διαδέξεται. σὺ δ᾽ ὅτι μὴ ἔστι μοι πατὴρ ἀλλὰ νομίζεται Χαρικλῆς, ἱκετεύω λέγε πόθεν ἐγνώρισας. ἐκ ταύτης ἔφην ὑποδείξας τὴν ταινίαν. ἔχεις δὲ πόθεν, ἢ ὅπως. ἔφη. οὗ γάρ με κατὰ τὴν Αἴγυπτον παρὰ τοῦ θρεψαμένου λαβὼν, οὐκ οἶδ᾽ ὅπως δεῦρο ἤγαγεν, ἀφελκόμενος εἶχεν ἀποκειμένην ἐν κιστίδι, τοῦ μὴ τῷ χρόνῳ αὐτὴν λυμαίνεσθαι. τὸ μὲν ὅπως ταύτην ἐκομισάμην εἰς αὖθις ἔφην ἀκούσῃ. τὸ δὲ παρὸν, εἰ τὰ ἐγγεγραμμένα γνωρίζεις, εἰπέ μοι. τῆς δὲ, οὐκ εἰδέναι πόθεν ὁμολογούσης, γένος ἔλεγε καὶ ἔθνος τὸ σὸν καὶ τύχην φράζει. ὡς δὲ ἀνακαλύπτειν ὅσα ἔχω γινώσκειν ἱκέτευεν, ἔλεγε ἅπαντα τὴν γραφὴν ἐπιὼν ἐν μέρει, καὶ πρὸς ἔπος ἑρμηνεύων. ὡς δὲ ἐγνώρισεν αὑτὴν καὶ τὸ φρόνημα διαναστᾶσα, πλέον τῷ γένει προσέδραμε. καὶ τί οὖν χρὴ ποιεῖν ἠρώτα. τότε ἤδη συμβουλῆς τῆς φανερωτέρας ἠρχόμην.

ἅπαντα ὡς ἔχει ἀνακαλύπτων. ἐγὼ λέγων ὦ θύγατερ, ἦλθον μὲν εἰς
αἰθίοπας, ἐπιθυμίᾳ τῆς παρ᾽ ἐκείνοις σοφίας. ἐγενόμην καὶ πρόσιν
τῇ σῇ μητρὶ γνώριμος. οἰκειοῦται γὰρ ἀεὶ τὸ σοφὸν γένος ἡ βασί-
λειος αὐλή. καὶ ἄλλως εἶχόν τι καὶ δόξης, πλέον τὴν αἰγυπτίων σο-
φίαν προσθήκῃ τῆς αἰθιόπων ἐκθειάζων. ἐπεὶ δὲ ἀπαίρειν μέλλοντά
με οἴκαδε ᾔσθετο, τὰ περὶ σὲ μοι πάντα διηγεῖται. τὸ πιστὸν τῆς σιω-
πῆς ὅρκοις πρότερον κομισαμένη. καὶ ἔλεγε. τοῖς μὲν ἐγχωρίοις σο-
φοῖς, οὐ θαῤῥῆσαι εἰπεῖν. ἐμὲ δὲ ἱκέτευεν ἐρωτᾶν τοὺς θεούς, εἰ πρῶ-
τα μὲν ἐκτεθεῖσα διεσώθης. ἔπειτα ὅπῃ γῆς οὖσα τυγχάνεις. οὐ γὰρ
πυθέσθαι περὶ τὸ ἔθνος οὐδεμίαν τοιαύτην πολλὰ περιεργασαμέ-
νην. ἐμοῦ δὲ ἅπαντα μαθόντος ἐκ θεῶν, καὶ εἶναί τε καὶ ὅπῃ φρά-
σαντος, αὖθις ἱκέτευεν ἐπιζητεῖν καὶ προτρέπειν ἥκειν εἰς τὴν ἐνεγ
κοῦσαν. ἄγονον γὰρ καὶ ἄτεκνον ἐκ τῶν ἐπὶ σοὶ διατελεῖν ὠδίνων.
ἑτοίμως τε ἔχειν εἴ ποτε φανείης ὁμολογεῖν τῷ σῷ πατρὶ τὸ συμ-
βεβηκός. εἰδέναι τε γὰρ αὐτὸν πεισθησόμενον. χρόνῳ τε τῆς συμβιώ
σεως τὴν ἐπ᾽ αὐτῇ δοκιμασίαν ἔχοντα. καὶ τῆς ἐκ παίδων διαδο-
χῆς τὴν ἐπιθυμίαν ἀπροσδοκήτως λαμβάνοντα. ταῦτα ἐκείνη μὲν
ἔλεγε καὶ ποιεῖν ἱκέτευεν. ἐπισκήπτουσά μοι πολλὰ τὸν ἥλιον ὅρ-
κον, ὃν οὐδενὶ σοφῶν ὑπερβῆναι θεμιτόν. ἐγὼ δὲ ἥκω τὴν ἔνορκον
ἱκεσίαν ἐκτελέσων. οὐ διὰ ταῦτα μὲν τὴν ἐπὶ τάδε σπουδάσας ἄφι-
ξιν. θεῶν δὲ ὑποθήκῃ μεγίστην ἐκ τῆς ἄλης ταύτης κερδήσας. ἐκ πολ-
λοῦ τε ὡς οἶσθα προσεδρεύων χρόνου. θεραπείας μὲν τῆς περὶ σὲ καὶ
πάλαι τῆς πρεπούσης οὐδὲν ἀπολιπών. σιωπῶν δὲ τὰ ὄντα καιροῦ
λαβέσθαι, καὶ τὴν ταινίαν μηχανῇ τινι κομίσασθαι. εἰς πίστιν τῶν
πρός σε ῥηθησομένων. ὥστε γένοιτό σοι πειθομένῃ δρασμόν
τε τὸν ἐνθένδε σὺν ἡμῖν αἱρουμένῃ, πρίν τι καὶ πρὸς βίαν σε τῶν
παρὰ γνώμην ὑποστῆναι. τοῦ χαρικλέους ἤδη σοι τὸν ἀλκαμένους γά-
μον ἐσπουδακότος. γένος μὲν καὶ πατρίδα καὶ τοὺς φύντας κο-
μίζεσθαι. θεαγένει τε ἀνδρὶ συνεῖναι. γῆς ὅποι καὶ βουλόμεθα συ-
νέπεσθαι παρεσκευασμένῳ. ξένον τε καὶ ὀθνεῖον, γνήσιον καὶ ἄρχον
τα βίον ἀντ᾽ ἀλλάξασθαι σὺν τῷ φιλτάτῳ βασιλεύουσα. εἴ τι δεῖ
θεοῖς τε καὶ τοῖς ἄλλοις, καὶ τῷ χρησμῷ τοῦ πυθίου καταπιστεύειν.
καὶ ἅμα ὑπεμίμνησκον τὸν χρησμόν. καὶ ὅτι βούλοιτο ἔφραζον. οὐ γὰρ
ἠγνόητο



ἠγνόητο τῇ χαρικλείᾳ παρὰ πολλῶν καὶ ᾀδόμενος. ἐπάγει πρὸς
ταῦτα. κἀπειδὴ θεοὺς εἶπεν οὕτω βούλεσθαι, σύ τε φῄς, ἐγώ τε πεί
θομαι. τί χρὴ πράττειν ὦ πάτερ. πλάττεσθαι εἶπον ὡς ἐπινεύουσαν
τὸν ἀλκαμένους γάμον. ἡ δέ, βαρὺ μὲν ἔφη καὶ ἄλλως αἰσχρόν, τὸ καὶ
μέχρις ἐπαγγελίας ἕτερον πρὸ θεαγένους αἱρεῖσθαι. πλὴν ἀλλ᾽ ἐπεὶ
θεοῖς τε καὶ σοὶ πάτερ ἐμαυτὴν ἐπέτρεψα. τίνα σκοπὸν ἔχει τὸ
πλάσμα καὶ τίνα τρόπον, ὥστε μὴ εἰς ἔργον ἀχθῆναι διαλυθήσε-
ται. γνώσῃ τοῖς ἔργοις ἔφην. τινὰ προαγορευόμενα μὲν γυναι-
ξίν, ἔστιν ὅτε καὶ ὄκνον ἤνεγκεν. ἐπιτελούμενα δὲ ἐκ τοῦ παραχρῆμα
θαῤῥαλεώτερον ἠνύσθη πολλάκις. ἕπου μόνον ταῖς ἐμαῖς ὑποθή-
καις, τά τε ἄλλα καὶ τὸ παρὸν τῷ χαρικλεῖ συντρέχε τὰ πρὸς τὸν γά-
μον. ὡς οὐδὲν ἐκείνου πράξαντος ἄνευ τῆς ἐμῆς ὑφηγήσεως. ὡμολό-
γει ταῦτα. καὶ τὴν μὲν ἀπολείπω δακρύουσαν. ἄρτι δὲ τοῦ δώμα
τος προελθών, ὁρῶ τὸν χαρικλέα πρὸς ὑπερβολὴν περίλυπον, καὶ
πάσης κατηφείας ἀνάπλεων. καὶ ὦ θαυμάσιε πρὸς αὐτὸν ἔφην,
ὅτε σε ἐχρῆν ἔστεσθαι καὶ χαίρειν ἀποθύειν τε χαριστήρια τοῖς θεοῖς, Charisteria
ἐπιτυχόντα τῶν πάλαι σοι δι᾽ εὐχῆς καὶ χαρικλείας ὀψέ ποτε μὲν
σὺν τέχνῃ πολλῇ καὶ σοφίᾳ τῇ ἐμῇ πρὸς ἐπιθυμίαν γάμων ἐπι-
κλασθείσης, τότε σκυθρωπὸς καὶ σύννους, μὲν μονονοὺ θρηνεῖς οὐκ οἶδ᾽
ὅτι πεπονθώς; καὶ ὅς, τί δὲ οὐ μέλλω, τῆς φιλτάτης μοι τὸν βίον, τά-
χα πρότερον μεταστησομένης, εἴ τι δεῖ προσέχειν ὀνείρασι, τοῖς τε
ἄλλοις, καὶ οἷς τῆς παρελθούσης ἐξεδειματώθην νυκτός, καθ᾽ ἣν αἰετὸν
ᾤμην ἐκ χειρὸς ἀφεθέντα τοῦ πυθίου καὶ ἀθρόον καταπτάντα, τότε
θυγάτριον ἐκ κόλπων οἴμοι τῶν ἐμῶν ἀναρπάσαντα, γῆς ἔσχα-
τόν τι πέρας οἴχεσθαι φέροντα. ζοφώδεσι τισὶν εἰδώλοις καὶ σκιώ
δεσι πλῆθον. καὶ τέλος οὐδὲ γνῶναι ὅ τί ποτε καὶ δράσειε τοῦ με-
σεύοντος ἀπείρου διαστήματος, συνεκδραμεῖν τῇ πτήσει τὴν θέ-
αν ἐνεδρεύσαντος. ταῦτα ὡς εἶπεν, ἐγὼ μὲν ὅπῃ τείνει τὸ ὄναρ
συνέβαλλον. ἐκεῖνον δὲ ἐκ τῆς ἀθυμίας ἀπάγων, καὶ ὑποψίας ἐπὶ
πόῤῥω τῶν ἐσομένων παρασκευάζων, ἱερεὺς ἔφη καὶ ταῦτα τοῦ μαν
τικωτάτου τῶν θεῶν, ὀνειροπολεῖν μοι δοκεῖς, οὐκ ἔχειν ἐπιτηδείως.
ὃς τῶν ἐνυπνίων τοὺς ἐσομένους σοι τῆς παιδὸς γάμους προμηνυόντων,
καὶ αἰετὸν μὲν τὸν ληψόμενον νυμφίον αἰνιττομένων, ταῦτα δὲ

ἔσπευσε τοῦ Πυθίου νεύοντος, καὶ ὡς ἐκ χειρὸς τὸν συνοικήσοντα προ-
σάγοντος εὐαγγελιζομένου, ἀγανακτεῖς τὴν ὄψιν, καὶ πρὸς τὸ ἄθυ-
μον ἄγεις τὸ ὄναρ; ὥστε ὦ Χαρίκλεις, εὔφημον ἔχωμεν στόμα, καὶ συν-
τρέχωμεν τῇ βουλήσει τοῦ κρείττονος. πρὸς τὸ πείθειν ἔτι καὶ μᾶλλον
τὴν κόρην τραπόμενοι. τοῦ δὲ ἐρομένου τί ἄν, πράττων ἔχοι πλέον
πειθομένην, εἴ πη σοι κειμήλιον ἔτι πολυτελὲς ἔφην, ἐσθὴς διάχρυ-
σος, ἢ ὅρμος ἐρίτιμος, ταῦτα ὡς ἕδνα παρὰ τοῦ νυμφίου πρόσαγε.
» καὶ δωρούμενος θέλγε τὴν Χαρίκλειαν. ἀπαραίτητον ἔχει πρὸς
» γυναῖκα ἴυγγα χρυσὸς καὶ λίθος. καὶ τἄλλα δέ σοι τὰ πρὸς τὴν πα-
νήγυριν εὐτρεπιστέον. συνέχειν γὰρ δεήσει τοὺς γάμους, ἕως τὸ κα-
τηναγκασμένον τῆς ἐπιθυμίας ἀμετάβλητον ἔχει παρὰ τῆς τέχνης
ἡ κόρη. μηδὲν ἀπολείπεσθαι νόμιζε τῶν ἐπ' ἐμοὶ φήσας ὁ Χαρικλῆς,
ἀπέτρεχεν. ἔργον ἀποφῆναι τοὺς λόγους ὑφ' ἡδονῆς ἐπειγόμενος.
καὶ ἔπραξέ γε ὡς ὕστερον ἔγνων ἅπερ ὑπεθέμην, οὐδὲν ὑπερθέμε-
νος. ἐσθῆτά τε ἄλλην πολύτιμον, καὶ δὴ καὶ τοὺς ὅρμους τοὺς αἰθιο-
πικοὺς. τοὺς συνεκτεθέντας ὑπὸ τῆς Περσίνης εἰς γνωρίσματα τῇ
Χαρικλείᾳ, ὡς ἕδνα δῆθεν παρὰ τοῦ Ἀλκαμένους προσκομίσας. ἐγὼ
δὲ τῷ Θεαγένει συντυχὼν, ποῦ τυγχάνουσι ἐπιδημοῦντες οἱ τὴν
πομπὴν αὐτῷ πληρώσαντες ἠρώτων. ὁ δὲ, τὰς μὲν κόρας ἔφα-
σκεν ἐξωρμηκέναι τοῦ σχολαίτερον βαδίζειν ἕνεκεν προαπεσταλ-
μένας. τοὺς δὲ ἐφήβους οὐδὲ φορεῖν ἔτι δι' ὄχλου γιγνομένους. καὶ
πρὸς τὴν ἐπάνοδον τὴν οἴκαδε συνελαύνοντας. ἅπερ ὡς ἔγνων
παρεγγυήσας τά τε ἐκείνοις ῥητέα καὶ αὐτῷ πρακτέα, καὶ τὸ παρ'
ἐμοῦ δεηθησόμενον τοῦ καιροῦ καὶ τῆς ὥρας ἐνδόσιμον ἐπιτηρεῖν ἐπι-
στείλας, τοῦ μὲν, ἀπεχώρουν. ᾔειν δὲ τὸν νεὼν τοῦ Πυθίου τὴν ὁρμὴν
ἐποιούμην. τὸν ἅμα τοῖς νέοις δρασμὸν, ὑφηγήσασθαι χρηστηρίῳ τὸν
» θεὸν ἱκετεύσων. ἀλλ' ἦν ἄρα καὶ νοῦ παντὸς ὀξύτερον τὸ θεῖον. καὶ
» τοῖς κατὰ βούλησιν αὐτῷ δρωμένοις ἐπίκουρον γίγνεται. καὶ ἄκλη-
» τον εὐμένειαν πολλάκις φθάνον τὴν αἴτησιν. ὡς δὴ καὶ τότε πρὸς
τὴν οὐδέπω γεγενημένην πεῦσιν, ἔφθη τὴν ἀπόκρισιν ὁ Πύθιος.
καὶ τοῖς ἔργοις ἐπεσήμαινε τὴν ὑφήγησιν. ἐσπουδακότα γάρ με
τὰ φροντιζόμενα, καὶ παρὰ τὴν πρόμαντιν ὡς ἔφην ἐπειγόμε-
νον, ἐπέσχε τις βοὴ παριόντα. σὺ σπένδε ὦ 'γαθὲ ξένων καλούν-

τῶν.



των. ἔθυον δὲ ἄρα σὺν αὐλήμασιν Ἡρακλεῖ τὴν εὐωχίαν. ἐπέσχον
τὴν ὁρμὴν ὡς τούτων ᾐσθόμην. οὐδὲ γὰρ ἦν μοι θεμιτὸν ἱερὰν κλῆ-
σιν παραδραμεῖν. κἀπειδὴ τοῦ λιβανωτοῦ λαβὼν ἐπέθυσα, καὶ ὕ-
δατος ἔσπεισα, θαυμάζουσι μὲν ἐῴκεσαν τὸ πολυτελὲς τῶν ἐμῶν θυ- ὕδατος ἔσπεισα
μάτων. ὅμως οὖν καὶ τῆς εὐωχίας συμμετέχειν ἠξίουν. ὑπήκουον. καὶ
πρὸς τοῦτο. καὶ κατακλιθεὶς ἐπὶ τῆς στιβάδος, ἣν μυρρίναι καὶ δάφναι
τοῖς ξένοις ἐστρώκεσαν, τῶν τε ἐξ ἔθους ἀπογευσάμενος, ἀλλ' ὦ 'γα-
θοὶ πρὸς αὐτοὺς ἔφην. δαιτὸς μὲν ἡδίστης, οὐκ ἐνδεής. ἀκοῆς δὲ ἔτι τῆς
περὶ ὑμῶν ἀμαθής. ὥστε ὥρα λέγειν ὑμῖν, οἵτινες καὶ πόθεν ἐστέ. δημώ-
δες γὰρ οἶμαι καὶ τῶν ἀγροικοτέρων, σπονδῶν καὶ τραπέζης κοινω-
νήσαντας, καὶ φιλίας ἀρχὴν ἱεροὺς ἅλας ποιησαμένους, μὴ οὐχὶ καὶ ἱεροὺς ἅλας
τὴν περὶ ἀλλήλων γνῶσιν ἔχοντας ἀπελθεῖν. ἔλεγον δὴ οὖν, εἶναι
μὲν Φοίνικες Τύριοι. τέχνην δὲ ἔμποροι. πλεῖν δὲ νῦν Καρχηδόνα
Λιβύων. ὁλκάδα μυριοφόρον ἰνδικῶν τε καὶ αἰθιοπικῶν καὶ τῶν
ἐκ Φοινίκης ἀγωγίμων φέροντες. τὸ δὲ παρὸν Ἡρακλεῖ Τυρίῳ
τὴν δὲ νικητήριον ἀποθύειν τὴν εὐωχίαν, τοῦδε τοῦ νεανίου, δεί-
ξαντος τὸν προκατακείμενον. ἀναδησαμένου τὸν ἀπὸ τῶν παλαι-
στῶν ἐνθάδε στέφανον. καὶ νικῶσαν τὴν Τύρον ἐν Ἕλλησιν ἀναγο-
ρεύσαντος. οὗτος γὰρ ἐπειδὴ Μαλέαν ὑπερβαλόντων, ἀνέμοις
τε ἐναντίοις χρησάμενοι, τῇ Κεφαλήνων προσεχόμεθα, ὄναρ αὐτῷ
προμαντεύειν τὴν μέλλουσαν πυθιονίκην, τὸν πάτριον ἡμῶν τὸν
δὲ θεὸν ἐπομνύμενος, ἐκτραπῆναί τε τοῦ προκειμένου πλοῦ, καὶ
τῇδε κατᾶραι πείσας ἔργοις ἐπιστώσατο τὴν μαντείαν καλλίνι-
κος ἡμῖν ὁ τέως ἔμπορος ἀναδειχθείς. καὶ τήνδε τὴν θυσίαν ἄγει
τῷ θεῷ τῷ φήναντι νικητήριόν τε καὶ χαριστήριον. εἰς ἕω γὰρ ἀφή-
σειν ὦ λῷστε μέλλομεν, εἰ τὰ ἐκ τῶν ἀνέμων τῇ βουλήσει συμπνεύ-
σειε. μέλλετε δῆτα ἀληθῶς ἔφην; ναὶ μέλλομεν ἀπεκρίναντο. σὺν
ἔμπορον ἄρα ἕξετέ με βουλόμενοι. πλοῦς γάρ μοι πρόκειται κατά
τι χρέος εἰς Σικελίαν. ἡ δὲ νῆσος ὡς ἴστε παράπλους ὑμῖν ἐπὶ τὴν Λι- παράπλους
βύων ἐσπουδακόσιν. εἰ γὰρ βουληθείης ἔλεγον, ἀγαθὸν οὐδὲν ἀ-
πεῖναι νομιοῦμεν, ἀνδρὶ σοφῷ τε καὶ Ἕλληνι καὶ ὡς δίδωσιν ἡ πεῖρα
συμβάλλειν, τάχα που καὶ θεοῖς κεχαρισμένῳ συνόντες. βουλήσομαι
πρὸς αὐτοὺς ἔφην, εἰ μίαν ἐνδοίητε πρὸς παρασκευὴν ἡμέραν. ἕξεις

ἔφασαν.

ἔφασαν τὴν αὔριον. μόνον εἰς ἑσπέραν γοῦν ἤδη θάλατταν εἶναι. πο-
λὺ γάρ τι καὶ νύκτωρ εἰς πλοῦν ἀνύονται. ἀπογείοις αὔραις ἀ-
κύμονα τὰ σκάφη παραπέμπουσαι. συνετιθέμην οὕτω ποιήσειν,
ὅρκῳ πρότερον ὅτι μὴ προανηχθήσονται τὴν ἐπαγγελίαν πιστωσά-
μενος. καὶ τοὺς μὲν, αὐτοῦ καταλιπὼν, πρὸς αὐλοῖς ἔτι καὶ ὀρχή-
σεσιν ὄντας, ἃς ὑπὸ πυκτίδων ἐπίτροχον μέλος, ἀσσύριόν τινα
νόμον ἐσκίρτων. ἄρτι μὲν κούφοις ἅλμασιν εἰς ὕψος αἰρόμενοι, ἄρτι
δὲ τῇ γῇ συνεχὲς ἐποκλάζοντες, καὶ στροφὴν ὁλοσώματον ὥσπερ
οἱ κάτοχοι δινοῦντες. ἀφικόμενος δὲ παρὰ τὴν χαρίκλειαν, ἤδη
τῶν κόλπων ἔτι παρὰ τοῦ χαρικλέους κειμήλια φοροῦσάν τε καὶ ἐπι-
σκοποῦσαν, καὶ παρὰ τὸν θεαγένην μετ' ἐκείνην, ἅτε δεῖ καὶ ὁπό-
τε πράττειν ἑκάτερον ὑποθέμενος, οἴκαδε ἐλθὼν, ἐφήδρευον τοῖς
ἐσομένοις. καὶ εἰς τὴν ἑξῆς, τοιάδε ἐγίγνετο. ἐπειδὴ μέσαι νύκτες
ὕπνῳ τὴν πόλιν ἐβάπτιζον, ἔνοπλος κῶμος τὴν οἴκησιν τῆς χαρι-
κλείας κατελάμβανεν. ἐστρατήγει δὲ θεαγένης τὸν ἐρωτικὸν τοῦτον
πόλεμον. εἰς λόχον ἀπὸ τῆς πομπῆς τοὺς ἐφήβους συντάξας. οἳ δὴ μέ-
γα τι καὶ ἀθρόον ἐμβοήσαντες, καὶ δούπῳ τῶν ἀσπίδων τοὺς κατὰ μικρὸν
αἰσθομένους ἐμβροντήσαντες ὑπὸ λαμπάσιν ἡμμέναις εἰσήλαυνο
εἰς τὸ δωμάτιον. τὴν αὔλειον οὐ χαλεπῶς ἐμοχλεύσαντες. ἅτε τῶν
κλείθρων εἰς ῥᾳδίαν ἄνοιξιν ὑποβεβλημένων. καὶ τὴν χαρίκλειαν
εὐπρεπῆ καὶ ἅπαντα προειδυῖαν. καὶ τὴν βίαν ἑκοῦσαν ὑφισαμένην,
ἀναρπάζουσιν οὐκ ὀλίγα τῶν ἐπίπλων ὅσα κατὰ βούλησιν ἦν τῇ κόρῃ
συνεκφορήσαντες. κἀπειδὴ τῆς οἰκίας ἐκτὸς γεγόνεισαν, οἱ μὲν τὸν
ἐνυάλιον ἀλαλάξαντες, καὶ βαρύν τινα πατάγων ἐκ τῶν ἀσπί-
δων ὑποδουποῦντες, διὰ πάσης ἐχώρουν τῆς πόλεως. εἰς ἄφρατόν τι
δεῖμα τοὺς ἐνοικοῦντας ἐμβαλόντες. ἅτε νυκτός τε ἀωρία τὸ φοβε-
ρώτερον δοκεῖν προειληφότες. καὶ τοῦ παρνασοῦ πρὸς τὴν βοὴν ὑ-
πόχαλκον αὐτοῖς συνεπηχοῦντος. καὶ οἱ μὲν οὕτω τοὺς δελφοὺς διε-
ξῄλθον ἐπάλληλόν τι χαρίκλειαν καὶ συνεχὲς ἀναφθεγγόμενοι. καὶ
ἐπειδὴ τοῦ ἄστεος ἐκτὸς ἦσαν, ὡς τάχους εἶχον ἤδη τὰ λοκρῶν ὄρη καὶ
οἰταίων ἀφιππεύσαντο. ὁ δὲ θεαγένης καὶ ἡ χαρίκλεια τὰ προδε-
δογμένα πράττοντες, ὑπολείπονται μὲν τῶν θετταλῶν. ὡς ἐμὲ δὲ
λαθραῖοι καταφεύγουσι. καί μου τοῖς γόνασιν ἅμα προσπεσόντες





ἐπὶ πλεῖστον εἴχοντο. τρόμῳ τε παλλόμενοι. καὶ σῶζε πάτερ συνε-
χὲς ἐπιφθεγγόμενοι. ἀλλ' ἡ μὲν χαρίκλεια, τοῦτο καὶ μόνον εἰς γῆν τε
νεύουσα, καὶ τὴν πρᾶξιν ἄρτι καινοτομουμένην ἐρυθριῶσα. ὁ δὲ
θεαγένης καὶ ἕτερα προσεπεσκήπτε. σῶζε λέγων ὦ καλάσιρι ξέ-
νους καὶ ἀπολίδας ἱκέτας. πάντων ἀλλοτριωθέντας. ἵν' ἐκ πάν-
των μόνους ἀλλήλους κερδήσωσι. σῶζε τύχης λοιπὸν ἀγώγιμα
σώματα καὶ σωφρονοῦντος ἔρωτος αἰχμάλωτα. φυγάδας αὐ-
θαιρέτους μέν. ἀλλ' ἀθώους. καὶ πᾶσαν εἰς σὲ προσδοκίαν σωτη-
ρίας ἀναρρίψαντας. συνεχύθην τοῖς εἰρημένοις καὶ νῷ πλέον ἢ ὀ-
φθαλμῷ τοῖς νέοις ἐπιδακρύσας, καὶ ὅσον ἐκείνους μὲν ἐλάνθα-
νεν, ἐμὲ δὲ ἐπεκούφιζεν, ἀνίστων τε καὶ ἀνελάμβανον, καὶ χρηστὰς
ὑποθέμενος τῶν ἐσομένων τὰς ἐλπίδας, σὺν γὰρ θεῷ τὴν ἀρχὴν
ἐπικεχειρῆσθαι, ἐγὼ μὲν ἤδη τὰ ἑξῆς τῆς πράξεως ἄπειμι ἔφην. ὑμεῖς
δέ με κατὰ χώραν περιμένειν, τοῦ μή τισιν ὀφθῆναι πλείστην ὅσην
φροντίδα ἔχοντες. καὶ εἰπὼν ἀπήρχον. ἀλλ' ἡ χαρίκλεια θοιμα-
τίου τε ἐπελαμβάνετο καὶ ὑπεῖχε. καὶ ὦ πάτερ ἀδικίας ἔλεγεν
ἀρχὴ τοῦτο. μᾶλλον δὲ προδοσίας, εἰ μόνην οἰχήσῃ με καταλι-
πὼν, θεαγένει τὰ καθ' ἡμᾶς ἐπιτρέψας. οὐδὲ ἐννοήσεις ὡς ἄπι- «
στον εἰς φυλακὴν ἐραστὴς, εἰ γένοιτο τῶν ἐρωτικῶν ἐγκρατὴς, καὶ «
οὐχ ἥκιστα τῶν κατορθοῦν δυναμένων μονούμενος. ἀναφλέγε- «
ται γὰρ ὡς οἶμαι πλέον, ὅταν ἀπρόσμαχον βλέπῃ τὸ ποθούμενον «
προκείμενον. ὥστε οὐ πρότερον σε μεθίημι, πρὶν δή μοι τῶν τε πα- «
ρόντων ἕνεκα καὶ ἔτι μᾶλλον τῶν μελλόντων. ὅρκῳ πρὸς θεαγένην
τὸ ἀσφαλὲς ἐμπεδοθείη, ὡς οὔτε ὁμιλήσει τὰ ἀφροδίτης πρότε-
ρον, ἢ γένος τε καὶ οἶκον τὸν ἡμέτερον ἀπολαβεῖν. ἢ εἴπερ τοῦτο
κωλύει δαίμων, ἀλλ' οὖν γε πάντως βουλομένην γυναῖκα ποιεῖ-
σθαι. εἰ δὲ μὴ, μηδαμῶς. ἐμοῦ δὲ τὰ εἰρημένα θαυμάσαντος, καὶ οὕ-
τω ποιητέον εἶναι πάντως ἐπικρίναντος, τὴν τε ἑστίαν ἐσχάραν εἰς
βωμὸν ἀνάψαντος, καὶ λιβανωτὸν ἀποθύσαντος, ἐπώμνυεν ὁ
θεαγένης. ἀδικεῖσθαι μὲν φάσκων, εἰ προλήψει τοῦ ὅρκου τὸ πιστὸν
τοῦ τρόπου προϋποτέμνεται. οὐ γὰρ ἐπιδείξειν ἔχειν προαίρεσιν,
φόβῳ τοῦ κρείττονος κατηναγκάσθαι νομιζομένην. ἐπώμνυε δ'
ὅμως, ἀπόλλω τε πύθιον, καὶ ἄρτεμιν καὶ ἀφροδίτην αὐτὴν καὶ

ἔρωτας, ἡ μὲν ἅπαντα οὕτω ποιήσειν ὡς ἠβουλήθη χαρίκλεια, καὶ ἐ-
πέσκηψε. καὶ οἱ μὲν ταῦτα καὶ ἕτερα ἄττα πρὸς τούτοις ὑπὸ μάρτυσι
τοῖς θεοῖς ὡμολόγουν ἀλλήλοις. ἐγὼ δὲ ὡς τὴν χαρίκλειαν δρομαῖος ἧ-
κον, θορύβου τε πλήρη καὶ ὀδυρμοῦ καταλαμβάνω τὴν οἰκίαν. οἰκε-
τῶν δὲ ἤδη παρ' αὐτὸν ἀφιγμένων, καὶ τὴν τῆς κόρης ἁρπαγὴν διαγ-
γειλάντων. καὶ πολιτῶν εἰς πλῆθος συῤῥεόντων, καὶ τὸν χαρικλέα θρη-
νοῦντα περιεστοιχισμένων, ἀγνοίᾳ τε τῶν γινομένων, καὶ ἀμηχανίᾳ τῶν
πρακτέων συνεχομένων. ἐμβοήσας δ' οὖν, ὦ δυσδαίμονες ἔφην.
ὑμεῖς δὲ ἐμβροντήτοις προσεοικότες. ἄχρι τίνος ἄναυδοι καὶ ἄπρακτοι κα-
θεδεῖσθε. ὥσπερ ἅμα τῷ δυστυχεῖν, καὶ τὸ φρονεῖν περιαφῃρημένοι.
οὐκ ἐν ὅπλοις ἤδη καὶ ἐπιδιώξετε τοὺς πολεμίους; οὐ καταλήψεσθε
καὶ τιμωρήσεσθε τοὺς ἐξυβρικότας; καὶ ὁ χαρικλῆς, περιττόν γε λοι-
πὸν ἴσως διαμάχεσθαι πρὸς τὰ παρόντα. συνίημι γὰρ ὡς ἐκ θεῶν
μήνιδος ταυτηνὶ τίνω τὴν δίκην. ἦν δὲ οὐ πρὸ εἰς τὸ ἄδυτον ἀ-
ωρὶ παρελθὼν, εἶδον ὀφθαλμοῖς ἃ μὴ θέμις, ὁ θεός μοι προεῖπεν.
ἀνθ' ὧν οὐ προσηκόντως εἶδον, τῆς τῶν φιλτάτων ὄψεως στερήσεσθαι.
ὅμως δὲ οὐδὲν κωλύει καὶ πρὸς δαίμονας φασὶ μάχεσθαι. εἰ καὶ τί-
νας χρὴ μεταθέειν, ἢ εἴτις ὁ τὴν βαρεῖαν τόξον ἐπενεγκὼν κίνδυ-
νον ἐγιγνώσκομεν. ὁ θετταλὸς ἔφη καὶ παρὰ σοὶ θαυμαστὸς, ὃν καὶ μοι
φίλον εἰσεποίεις, θεαγένης ἐστὶ καὶ οἱ σὺν αὐτῷ μειράκιον. οὔκουν ἔτι εὕ-
ροις ἂν, τινὰ τούτων κατὰ τὴν πόλιν, οἳ μέχρι τῆς δὲ τῆς ἡμέρας ἐπεχω-
ρίαζον; ὥστε ἀνίστασο καὶ εἰς βουλὴν κάλει τὸν δῆμον. ἐγίγνετο
ταῦτα. καὶ οἵτε στρατηγοὶ σύγκλητον ἐκκλησίαν ἐκήρυττον. σάλ-
πιγγι τὸ κήρυγμα πρὸς τὴν πόλιν ἐπισημαίνοντες. καὶ ὁ δῆμος
αὐτίκα παρῆν. καὶ τὸ θέατρον ἐγίγνετο νυκτερινὸν βουλευτήριον.
ὅτε χαρικλῆς εἰς μέσους παρελθὼν, πρὸς οἰμωγήν τε ἀθρόον χεα-
μενος, τοιάδε ἔλεγεν. ἴσως μὲν ὦ δελφοὶ προσαγγεῖλαι με βου-
λόμενον ἐμαυτὸν ἥκειν εἰς μέσους, καὶ ταύτην συγκεκληκέναι τὴν
ἐκκλησίαν ἡγεῖσθε πρὸς τὴν ὑπερβολὴν τῶν ἐμῶν συμφορῶν ἀφο-
ρῶντες. ἔχει δὲ οὐχ οὕτως. πράττω μὲν γὰρ θανάτου καὶ πολλάκις
ἄξιος. τὸ δὲ νῦν, ἔρημος θεήλατος. καὶ μόνη λοιπὸν οἰκία. πάντων
ἅμα τῶν φιλτάτων κεκενωμένη μοι συνομίλων. ὅμως δ' οὖν ἥτε
κοινὴ πάντων ἀπάτη καὶ μάταιος ἐλπὶς, ἔτι με καρτερεῖν ἀναπεί-
θει. τὴν



μεταθέειν

τὸ θέατρον ἐγίνετο νυκτερινὸν βουλευτήριον



θει. τὴν εὕρεσιν τῆς θυγατρὸς ἐνδεχομένην ὑποτιθεμένη καὶ ἔτι πλέ-
ον ἡ πόλις. ἣν ἰδεῖν πρότερον τιμωρίαν εἰς τὸ πεπραγμένην παρὰ τῶν
ἐξυβρισάντων ἀναμένω. εἰ μὴ ἄρα καὶ ἡμῶν τὸ φρόνημα τὸ ἐλεύθε-
ρον, καὶ τὴν ὑπὲρ τῆς ἐνεγκούσης καὶ θεῶν τῶν πατρῴων ἀγανάκτησιν, τὰ
θετταλὰ μειράκια περιαφήρηται. τὸ γὰρ δὴ πάντων βαρύτατον ὅτι
χορευταὶ παῖδες διαρίθμητοι καὶ θεωρίας ὑπηρέται, πόλιν οἴχονται
τὴν ἑλληνίδων τὴν πρώτην πατήσαντες, καὶ τοῦ νεὼ τοῦ πυθίου τὸ τιμιώ-
τατον κτῆμα ἀποσυλήσαντες, χαρικλείας οἴμοι τῆς ἐμῶν ὀφθαλ-
μῶν. ὢ τῆς ἀμειλίκτου καθ' ἡμῶν τοῦ δαίμονος φιλονεικίας. τὴν πρώτην
μοι καὶ γνησίαν ὡς ἴστε θυγατέρα ταῖς νυμφικαῖς λαμπάσι συνα-
πέσβεσε. τὴν μητέρα μοι τῆς ἐκείνης, ἐπὶ νεκρῷ τῷ πάθει συναπή-
γαγεν. ἐμὲ τῆς ἐνεγκούσης ἐξήλασεν. ἀλλ' ἦν πάντα φορητὰ μετὰ
τὴν χαρικλείας εὕρεσιν. χαρίκλεια μοι βίος ἦν. ἐλπὶς καὶ διαδοχὴ τοῦ
γένους. χαρίκλεια μόνη παραψυχὴ, καὶ ὡς εἰπεῖν ἄγκυρα. καὶ ταύτην
ὑπετέμετο καὶ παρήνεγκεν ὅτι ποτὲ ἐστὶ τὸ εἰληχός με κλύδωνι. οὐχ
ἁπλῶς οὐδὲ ὅτε ἔτυχεν. ἀλλὰ καθ' ὃν εἴωθε καιρὸν, ἀωρὶ καὶ ὠ-
μὰ κατ' ἐμοῦ κωμάζειν ἀπ' αὐτῶν μικροῦ τῶν παστάδων. ἔτι τῶν γάμων
ἅπασιν ὑμῖν προκεκηρυγμένων. ἔτι λέγοντα ταῦτα, καὶ ὅλον εἰς
θρῆνον παραφερόμενον, ὁ στρατηγὸς ἡγησίας ἐπεῖχέ τε καὶ ἐξεκρούετο. καὶ
ὦ παρόντες ἔφη. χαρικλεῖ μὲν, ἐξέσται νῦν τε καὶ μετὰ ταῦτα θρηνεῖν.
ἡμεῖς δὲ συμβαπτιζώμεθα τῷ τούτου πάθει. μηδὲ λάθωμεν ὥσπερ ῥεύ-
μασι τοῖς τούτου δάκρυσιν ὑποφερόμενοι, καὶ τὸν καιρὸν προϊέμενοι.
πρᾶγμα ὁ μεγίστην ἐν ἅπασι ἔχει καὶ πολέμοις οὐχ ἥκιστα τὴν ῥοπήν.
ὡς νῦν μὲν καὶ ἀπὸ τῆς ἐκκλησίας ἐξιόντων, ἐλπὶς καταληφθῆναι τοὺς
πολεμίους. ἕως ῥᾳθυμοτέραν αὐτοῖς τὴν πορείαν ἡ προσδοκία τῆς ἡ-
μετέρας ἐμποιεῖται παρασκευῆς. εἰ δὲ οἰκτιζόμενοι μᾶλλον γυναι-
κιζόμενοι πλείονα τῇ μελλήσει τὴν προτέρησιν αὐτοῖς παράσχοιμεν.
οὐδὲν ἄλλ' ἢ καταγελᾶσθαι πρὸς μειρακίων καὶ ταῦτα περιλείπεται.
οὓς ἐγὼ φημὶ χρῆναι αὐτοὺς τέως ὅτι τάχιστα καταλαμβάνοντας ἀ-
νασκολοπίσαι. καὶ τοὺς ἐξ αὐτῶν ἀτιμῶσαι. διαβιβάζοντας καὶ εἰς τὸ
γένος τὴν τιμωρίαν. τοῦτο δ' ἂν, γένοιτο ῥᾳδίως, εἰ πρὸς ἀγανάκτη-
σιν κινήσαιμεν θετταλοὺς, τῶν κατ' αὐτῶν τε τούτων εἴ τινες διαφύ-
γοιεν. καὶ τῶν ἐξ αὐτῶν ἀπειπόντες αὐτοῖς ἐκ ψηφίσματος τὴν θεωρίαν



Hegesias dux

ὁ Καλάσιρις. τάχα μὲν πού καὶ δι' ἡλικίαν νωθρότερος ὢν τὴν ἀκοήν,
νόσος γὰρ ἄλλων τε, καὶ ὤτων τὸ γῆρας, ἴσως δὲ καὶ πρὸς τὴν διήγησιν
ἠσχολημένος. ἔοικε δέ μοι Ναυσικλῆς ἥκειν ὁ τῆς οἰκίας δεσπότης. ἀλ-
λὰ τί ἄρα ποτὲ ὦ θεοὶ διαπεπραγμένος. ἅπαντα ὡς ἐβουλόμην ἔφη
ὁ Ναυσικλῆς, ἀθρόον αὐτοῖς ἐπιφανείς. οὐ γάρ με ἔλαθεν ὦ 'γαθὲ Κα-
λάσιρι φροντίζων τὰς ἐμὰς πράξεις, καὶ ὥσπερ τῇ διανοίᾳ συνεκδη-
μῶν. ἀλλά σε ἐφώρασα τῷ τε ἄλλῳ σου περὶ ἐμὲ τρόπῳ, καὶ οἷς ἐνταῦ-
θα εἰσιὼν κατείληφα διαλεγόμενον. ἀλλὰ τίς ὅδε ὁ ξένος. Ἕλλην ἔφη
ὁ Καλάσιρις, τὰ δ' ἄλλα εἰσαῦθις ἀκούσῃ. σὺ δὲ εἴ τι σοι κατώρθωται
δεξιόν, ἀπάγγελλε θᾶττον. ὡς ἂν, τοῦ χαίρειν γ' ἔχοις κοινωνοῦντας.
ἀλλὰ καὶ ὑμεῖς εἶπεν ὁ Ναυσικλῆς εἰς ἕω μαθήσεσθε. τὸ δὲ παρὸν ὑμῖν,
ὅτι βελτίονα Θίσβην ἐκτησάμην. ἀπόχρη μαθεῖν. ἐμοὶ γὰρ τήν τε
ἐκ τῆς ὁδοιπορείας, καὶ τῶν ἄλλων φροντίδων κάκωσιν, ὕπνῳ βραχεῖ
γοῦν δεῖ παραμυθητέον. ὁ μὲν ταῦτα εἰπών, ἀπέτρεχεν ὡς εἰρήκει ποιή-
σων. ὁ δὲ Κνήμων αὐτὸς ἐγεγόνει πρὸς τὴν ἀκοὴν τῆς Θίσβης. ὑπό τε
ἀμηχανίας πᾶσαν ἔννοιαν διαπορῶν ἀνέστρεφε. βαρύ τε καὶ συνε-
χὲς ἐπιστένων τὸ λειπόμενον ἐταλαιπώρει τῆς νυκτός. ὥστε οὐδὲ τὸν Καλά-
σιριν ἐλάνθανε τελευτῶν, ὕπνῳ καὶ ταῦτα βαθεῖ κατεσχημένον. ἀλ-
λὰ ἀνασχὼν ἑαυτὸν ὁ πρεσβύτης, κἀπὶ τοῦ ἀγκῶνος ἐρείσας, ὅτι πε-
πόνθοι διηρώτα. καὶ δι' ἣν αἰτίαν οὕτως ἐκτόπως ἀλύοι, σχεδόν τι
τῶν μεμηνότων οὐκ ἀποδέων. εἶτα οὐ μὴ μανῶ πρὸς αὐτὸν ὁ Κνήμων,
Θίσβην ὅτι περιεῖναι ἀκηκοώς. καὶ τίς ἡ Θίσβη ἔφη ὁ Καλάσιρις. ἢ πό-
θεν γνωρίζεις γε ἀκούσας, καὶ ζῶσαν ἀγγελλομένην φροντίζεις. καὶ εἴσῃ,
τὰ μὲν ἄλλων ἀκούσῃ μετὰ ταῦτα. ὅταν καὶ τὰ ἐμαυτοῦ διηγῶμαι.
ἐκείνην δὲ ἀνῃρημένην τοῖς ἐγὼ τοῖς ὀφθαλμοῖς ἐγνώρισα. καὶ πα-
ρὰ τοῖς βουκόλοις χερσὶ ταῖς ἐμαῖς κατέθαψα. κάθευδε εἶπεν ὁ Κα-
λάσιρις. ταῦτα δὲ ὅπῃ ποτὲ ἔχει, οὐκ εἰς μακρὰν εἰσόμεθα. οὐκ ἂν
δυναίμην ἔφη. ἀλλὰ σὺ μὲν ἀτρέμας ἔχε σαυτόν. ἐγὼ δέ, οὐχ ὅπως ἂν
βιώην, εἰ μὴ θᾶττον ὑπεξελθὼν, τρόπον ὄν τινα δὴ πολυπραγ-
μονήσαιμι τίς ποτε πλάνη τὸν Ναυσικλέα κατείληφεν, ἢ ὅπως πα-
ρὰ μόνοις Αἰγυπτίοις οἱ τεθνεῶτες ἀναβιοῦσι. ἐμειδίασε πρὸς ταῦ-
τα μικρὸν ὁ Καλάσιρις. καὶ αὖθις ὑπηνέχθη τῷ ὕπνῳ, ὁ δὲ Κνήμων
τοῦ δωματίου προελθὼν, ἐπλάζετο μὲν οἷα εἰκὸς ἦν τῆς νυκτὸς καὶ σκότους
καὶ κατ' οἰκίαν ἄγνωστον ἀλύοντα. πλὴν ἀλλὰ πάντα γε ὑπέμενε

τὸ δέ-

νόσος γὰρ ἄλλων τε καὶ ὤτων τὸ γῆρας



τὸ δεῖμα τὸ ἐκ τῆς Θίσβης καὶ τὴν ὑπόνοιαν ἀποδύσασθαι σπεύδων. ἕως
ὀψέ ποτε καὶ πολλάκις, τοὺς αὐτοὺς ὡς ἄλλοτε ἄλλους ἀνελίττων τό-
πους, ἤσθετο γυναικὸς λαθραῖόν τι καὶ γοερόν, οἷον ἠρινῆς ἀηδόνος ἔ-
λεγον ὠδὴν ἐν νυκτὶ μυρομένης. ἐπί τε τὸ δωμάτιον ὑπὸ τοῦ θρήνου
χειραγωγούμενος ὥρμησε. καὶ ταῖς θύραις καθὸ συνέπιπτον ἀλλή-
λαις, τὸ οὖς προσθέμενος ἐπηκροᾶτο. καὶ τοιάδε κατελάμβανεν ἔτι θρη-
νούσης. ἐγὼ δὲ ἡ πανάθλια, χεῖρα λῃστρικὴν ἐκπεφευγέναι καὶ μιαι-
φόνον ὤμην θάνατον ἐλπισθέντα διαδεδρακέναι. βιώσεσθαί τε
τὸ λειπόμενον ἅμα τῷ φιλτάτῳ, ξένη μὲν καὶ ἀλήτην βίον. ἀλλὰ μετ'
ἐκείνου γινόμενον ἥδιστον. οὐδὲν γὰρ οὕτως ἐμοὶ χαλεπόν, ὃ μὴ μετ' ἐκεί-
νου φορητόν. νυνὶ δὲ ὁ μηδέπω κεκορεσμένος ἐμὲ δὲ ἐξ ἀρχῆς εἰληχὼς
δαίμων, μικρὸν τῶν ἡδονῶν ὑποθέμενος, εἶτα ἠπάτησε. δουλείαν
ὤμην ἐκπεφευγέναι. καὶ δουλεύω πάλιν δεσμωτήριον καὶ φρουροῦ-
μαι. νῆσος εἶχέ με καὶ σκότος. ὅμοια τὰ νῦν ἐκείνοις. ἀληθέστερον δὲ εἰ-
πεῖν ὅτι καὶ πικρότερα. τοῦ καὶ βουλομένου καὶ δυναμένου ταῦτα παραμυ-
θεῖσθαι κεχωρισμένου. σπήλαιον ἦν μοι λῃστρικὸν εἰς τὴν προελθοῦσαν κα-
ταγώγιον. ἄδυτον καὶ βάραθρον. καὶ τί γάρ, ἀλλ' ἢ τάφος οἱ οἴκησις. ἐπε-
κούφιζε καὶ ταῦτα παρών, ὁ πάντων ἐμοὶ φίλτατος. ἐκεῖ μὲν καὶ ζῶσαν
ἐθρήνησε. καὶ τεθνεῶσαν ὡς ᾤετο ἐδάκρυσεν. ὡς ἀνῃρημένην ἐπέν-
θησεν. ἀπεστέρημαι νυνὶ καὶ τούτων. οἴχεται ὁ κοινωνὸς τῶν δυστυχημά-
των. καὶ ὡς ἄχθη τὰ πάθη πρός με νεμόμενος. ἐγὼ δὲ μόνη, καὶ ἔρη-
μος καὶ αἰχμάλωτος, καὶ πολύθρηνος. τύχης βουλήμασι πικροῖς ἐγκει-
μένη. καὶ ζῆν τέως ἀντεχομένη, διότι μοι περιεῖναι τὸν γλυκύτατον ἐλ-
πίζω. ἀλλ' ὦ ψυχὴ ἐμή. ποῖ ποτε ἄρα τυγχάνεις. τίς δέ σε διεδέξα-
το τύχη. ἆρα μὴ καὶ αὐτὸς οἴμοι δουλεύεις τὸ μόνον ἐλεύθερον καὶ ἀδού-
λωτον πλὴν ἔρωτος φρόνημα; ἀλλὰ σώζοιό γε μόνον. καὶ θεάσαιό πο-
τε Θίσβην τὴν σὴν ταύτην γάρ με καλέσεις καὶ μὴ βουλόμενος. οὐκ ἔτι κα-
τέχειν ἑαυτὸν ἐκαρτέρησεν ὁ Κνήμων, ὡς τούτων ἤκουσεν. οὐδὲ ὑπέ-
μεινε τὴν τῶν ὑπολοίπων ἀκρόασιν. ἀλλ' ἐκ τῶν πρώτων ἑτέραν ὑπονοή-
σας, ἐκ τῶν ὑστέρων τέλος τὴν Θίσβην εἶναι τῷ ὄντι πιστεύσας, ὀλίγου μὲν
ἐδέησε καὶ κατενεχθῆναι περὶ αὐταῖς σχεδὸν ταῖς θύραις. ἀνασχὼν δὲ χα-
λεπῶς καὶ δεδιὼς μὴ πρός τινος ἁλῶναι, καὶ γὰρ καὶ ἀλεκτρυόνων ἤδη
δεύτερον ᾖδον, ἀπέτρεχε σφαλλόμενος. καὶ νῦν μὲν τὼ πόδε προσ-
πταίων, νῦν δὲ τοῖς τοίχοις ἀθρόον ἐμπίπτων. καὶ ἄρτι μὲν ὑπερθυρίοις,

ἄρτι

ἄρτι δὲ σκέλεσιν, ἔπηξε τῆς ὀροφῆς ἥπτετο τὴν κεφαλὴν προσα-
ράσσων, ἐπὶ τὸ δωμάτιον οὗ κατήγοντο. μετὰ πολλὴν τὴν πλά-
νην ἀφικόμενος, ἀθρόον ἐπὶ τὴν εὐνὴν καταφέρεται, καὶ αὐτῷ τὸ
μὲν σῶμα παλμὸς εἶχε, τῶν δὲ ὀδόντων ἄραβος πολὺς ἐγίγνετο.
καὶ τάχα ἂν, καὶ εἰς ἔσχατον ἦλθε κινδύνου, εἰ μὴ θᾶττον ὁ καλάσι-
ρις αἰσθόμενος, ἔθαλπέ τε συνεχῶς καὶ λόγῳ παντοίως ἀνελάμ-
βανεν. ἐπεὶ δὲ μικρὸν ἀνέπνευσε, τὴν αἰτίαν ἐξεμάνθανεν. ὁ δὲ,
ἀπόλωλά σοι ἔφη. ζῇ γὰρ ὡς ἀληθῶς ἡ κακίστη θίσβη. καὶ εἰπὼν αὖ-
θις ἐξέθανε. καὶ ὁ καλάσιρις αὖθις πράγματα εἶχε, ἐπιρρωννύναι
πειρώμενος. ἔπαιζε δὲ ἄρα τι τὸν κνήμωνα δαιμόνιον. ὃ καὶ τὰ
ἄλλα χλευάζει ὡς ἐπίπαντα ἀνθρώπεια καὶ παιδιὰν πεποίηται, καὶ
οὐδὲ τῶν ἡδίστων ἀλύπως μετέχειν ἐπέτρεπεν. ἀλλ᾽ ὅτι μετ᾽ ὀλί-
γον ἡσθήσεσθαι ἔμελλεν, ἤδη τὸ ἀλγεινὸν ἐπέπλεκε. τάχα μὲν οὕ-
τως ἔθος ὂν αὐτῷ καὶ νῦν ὑποδεικνύμενον. τάχα δὲ που καὶ τῆς ἀν-
θρώπου φύσεως ἀμιγὲς καὶ καθαρὸν τὸ χαῖρον οὐκ ὑποδεχομένης. ὡς
δὴ καὶ τότε ὁ κνήμων, ἔφευγέ τε τὰ πάντων μᾶλλον αἱρετὰ, καὶ
φοβερὰ τὰ ἥδιστα ὑπελάμβανεν. ἦν γὰρ οὐ θίσβη τὸ θρηνοῦν γύ-
ναιον. ἀλλὰ χαρίκλεια. ἐγεγόνει δὲ περὶ αὐτὴν, ὧδε. ἐπειδὴ γὰρ ὁ
θύαμις ἑαλὼς ἐζώγρητο. καὶ εἴχετο αἰχμάλωτος, ἡ δὲ νῆσος ἐνεπέ-
πρηστο, καὶ τῶν ἐνοίκων ἐκεκένωτο βουκόλων, ὁ μὲν κνήμων καὶ θέρμουθις ὁ
τοῦ θυάμιδος ὑπασπιστὴς, ἕωθεν τὴν λίμνην διέπλευσαν. ὅ τι ποτὲ τὸν
λῃστάρχην ἔδρασαν οἱ πολέμιοι κατασκοπήσοντες, ἔχει τε τὰ κατ᾽
αὐτοὺς ὡς δὴ καὶ εἴρηται. μόνοι δὲ θεαγένης καὶ χαρίκλεια κατὰ τὸ σπή-
λαιον ὑπολείπονται, τὸ ὑπερβάλλον τῶν περιόντων δεινῶν ἀγαθὸν
μέγιστον ἡγούμενοι, τότε γὰρ πρῶτον ἰδίᾳ καὶ παντὸς ἀπηλλαγμέ-
νοι τοῦ ὀχλήσοντος, ἀλλήλοις ἐντυχόντες ἀπαραποδίστων καὶ ὁλο-
σχερῶν περιπλοκῶν τε καὶ φιλημάτων, ἐμπίμπλαντο. καὶ πάντων
ἅμα εἰς λήθην ἐμπεσόντες, εἴχοντο περιπλεχθέντες ἀλλήλων, οἱονεὶ συμ-
πεφυκότες. ἁγνεύοντος μὲν ἔτι καὶ παρθενεύοντος ἔρωτος κορεν-
νύμενοι. δάκρυσι δὲ ὑγροῖς τε καὶ θερμοῖς εἰς ἀλλήλους κεραννύμε-
νοι. καὶ καθαροῖς μόνον μιγνύμενοι τοῖς φιλήμασιν. ἡ γοῦν χαρίκλεια
τὸν θεαγένην, εἴ τι παρακινοῦντα αἴσθοιτο καὶ ἀνδριζόμενον ὑπομνή-
σει τῶν ὅρκων ἀνέστελλεν. ὁ δὲ, οὐ χαλεπῶς ἐπανήγετο. καὶ σωφρονεῖν
ῥᾳδίως

ἄραβος ὀδόντων



ῥᾳδίως ἠνείχετο. ἔρωτος μὲν ἐλάττων. ἡδονῆς δὲ κρείττων γιγνόμε-
νος. ἐπεὶ δὲ ὀψέ ποτε τῶν πρακτέων εἰς ἔννοιαν ἐλθόντες. δόξαι κό-
ρον ἔχειν ἐβιάσθησαν, ἄρχεται ὁ θεαγένης λόγων τοιῶνδε. τὸ μὲν
συνεῖναι ἡμᾶς ἀλλήλοις ὦ χαρίκλεια, καὶ τοῦτο ἔχειν, ὃ πάντων τε
προτιμότερον ἐποιησάμεθα, καὶ διὸ πάντα ὑπέστημεν, ἡμᾶς τε
εὐχόμεθα. θεοί τε ἑλλήνιοι παρέχοιεν. ἐπεὶ δὲ ἀστάθμητόν τι τὸ ἀν-
θρώπειον καὶ ἄλλοτε πρὸς ἄλλα φερόμενον, καὶ πολλὰ μὲν πεπόν-
θαμεν, πολλὰ δὲ ἐλπίζομεν, πρόκειται δὲ ἡμῖν ἤδη τὰ συγκείμενα
πρὸς κνήμωνα πάντως ἐπὶ χέμμιν τὴν κώμην ἐπείγεσθαι, καὶ ἄδη-
λον ἥτις ἡμᾶς διαδέξεται τύχη, πολὺ δὲ καὶ ἄπειρον ὡς ἔοικε
διάστημα τῆς ἐλπιζομένης ἡμῖν γῆς ὑπολείπεται, φέρε σύμβολα
τινὰ ποιησώμεθα, δι᾽ ὧν ἀπόρρητά τε γνωριοῦμεν παρόντες, καὶ εἰ
χωρισθῆναί ποτε συμβαίνοι, μαστεύσομεν ἀλλήλους. ἀγαθὸν γὰρ
πλάνης ἐφόδιον, σύνθημα φιλικὸν εἰς ἀνεύρεσιν φυλαττόμενον.
ἐπῄνει ταῦτα ἡ χαρίκλεια. καὶ ἐδόκει ναοῖς ἐπιγράφειν εἰ χωρι-
σθεῖεν ἢ ἀγάλμασιν ἐπισήμοις, ἑρμαῖς τε καὶ λίθοις ἐπὶ τριόδων,
τὸν μὲν θεαγένην ὁ πυθικός. τὴν δὲ χαρίκλειαν ἡ πυθιάς. ἐπὶ δε-
ξιὰ ἢ ἐπ᾽ ἀριστερὰ πεπόρευται πόλιν ἐπὶ τήνδε ἢ κώμην ἢ ἔθνος,
ἡμέραν καὶ ὥραν προσδιορίζοντας. εἰ δὲ εἰς ταυτὸν γίγνοιντο, ἀρ-
κεῖ μὲν τῷ ἑτέρῳ τὸν ἕτερον, καὶ μόνον ὀφθῆναι. οὐδεὶς γὰρ χρόνος
ἐστὶν, ὃς ἀμαυρώσαι αὐτοῖς τῶν ψυχῶν τὰ ἐρωτικὰ γνωρίσματα. ὅ-
μως οὖν ἡ μὲν χαρίκλεια τὸν συγκείμενον αὐτῇ πατρῷον ἐδεί-
κνυ δακτύλιον. οὐλὴν δὲ ἐπὶ τοῦ γόνατος ἐκ θήρας συὸς ὁ θεαγέ-
νης. ἐκ δὲ λόγων σύμβολα, ἡ μὲν, λαμπάδα, ὁ δὲ, φοίνικα συνε-
τίθεντο. ἐπὶ τούτοις περιέβαλλον ἀλλήλους, καὶ αὖθις ἔκλαιον. ὥσπερ
οἶμαι σπονδὰς τῶν δακρύων ἀπάρχοντες. καὶ ὅρκια τὰ φιλήμα-
τα ποιούμενοι. τούτων συγκειμένων, ἀνεδύοντο τοῦ σπηλαίου. κει-
μηλίων δὲ ἄλλων τῶν ἐναποκειμένων, οὐδενὸς θίγοντες. τὸν γὰρ
ἀπὸ σύλων πλοῦτον, βέβηλον ἐδοκίμαζον. ἃ δὲ αὐτοὶ μὲν ἐκ δελ-
φῶν ἐπήγοντο, οἱ λῃσταὶ δὲ ἀφείλοντο, ταῦτα συνεσκευάζοντο. ἡ
χαρίκλεια δὲ καὶ μετημφίασεν ἑαυτὴν, ἐνθεμένη μὲν πηριδίῳ
τινὶ τούς τε ὅρμους καὶ τὰ στέμματα καὶ τὴν ἱερὰν ἐσθῆτα, καὶ ὥστε
λανθάνειν αὐτοὺς, καὶ ἄλλῃ σκευῇ τῶν εὐτελῶν ἐπιβαλοῦσα, τὸ δὲ

τόξον καὶ τὴν φαρέτραν Θεαγένει φέρειν ἐγχειρίσασα. φόρτον ἥδιστον ἐκείνου καὶ θεοῦ τοῦ κρατοῦντος ὅπλον οἰκειότατον. ἄρτι δὲ τῇ λίμνῃ πλησιασάντων, καὶ σκάφους ἐπιβήσεσθαι μελλόντων, ἔνοπλον ὁρῶσι πλῆθος ἐπὶ τὴν νῆσον περαιούμενον. ἰλιγγιασάντων οὖν πρὸς τὴν θέαν, ἐπὶ πλεῖστον ἀχανεῖς εἱστήκεσαν. οἷον ἀπαλγούντων πρὸς τὴν τύχην οὕτως ἐπαλλήλως ἐπηρεάζουσαν. ὀψὲ δ' οὖν ποτὲ καὶ μόνον οὐ προσορμιζομένων ἤδη τῶν ἐπιόντων, ἀποδιδράσκειν ἡ Χαρίκλεια καὶ περὶ τὸ σπήλαιον κρύπτειν ἑαυτοὺς, εἴ πη διαλάθοιεν ἠξίου. καὶ ἅμα ἀπέτρεχεν. ἀλλ' ὁ Θεαγένης ἐπεῖχε. καὶ ἄχρι τίνος ἔλεγε φευξόμεθα τὴν πανταχοῦ διώκουσαν εἱμαρμένην. εἴξωμεν τῇ τύχῃ. καὶ χωρήσωμεν τῷ φέροντι. κερδήσωμεν ἄλην ἀνήνυτον. καὶ πλάνητα βίον. καὶ τὴν ἐπάλληλον τοῦ δαίμονος καθ' ἡμῶν πομπείαν. οὐχ ὁρᾷς ὡς φυγαῖς ἐπισυνάπτει πειρατήρια, καὶ τοῖς ἐκ θαλάττης ἀτόποις τὰ ἐκ τῆς γῆς φιλοτιμεῖται χαλεπώτερα; πολέμους ἄρτι. λῃστὰς μετ' ὀλίγον. αἰχμαλώτους μικρῷ πρόσθεν εἶχεν. ἐρήμους αὖθις ἀπέδειξεν. ἀπαλλαγὴν καὶ φυγὴν ἐλευθέραν ὑπέθετο. καὶ τοὺς ἀναιρήσοντας ἐπέστησε. τοιοῦτον παίζει καθ' ἡμῶν πόλεμον, ὥσπερ σκηνὴν τὰ ἡμέτερα καὶ δρᾶμα πεποιημένος. τί οὖν οὐχ ὑποτεμνόμεθα αὐτοῦ τὴν τραγικὴν ταύτην ποίησιν, καὶ τοῖς βουλομένοις ἀναιρεῖν ἐγχειρίζομεν. μή πη καὶ ὑπέρογκον τὸ τέλος τοῦ δράματος φιλοτιμούμενος, καὶ αὐτόχειρας ἡμᾶς ἑαυτῶν ἐκβιάσηται γενέσθαι. τοῖς εἰρημένοις οὐ πᾶσιν ἡ Χαρίκλεια συνετίθετο. τῆς μὲν τύχης ἐν δίκῃ κατηγορεῖσθαι πρὸς αὐτοῦ φάσκουσα. τὸ δὲ τοῖς πολεμίοις ἑκόντας ἑαυτοὺς ἐγχειρίζειν οὐκ ἐπαινοῦσα. μὴ γὰρ εἶναι πρόδηλον ὡς ἀναιρήσουσι λαβόντες. οὐ γὰρ οὕτω χρηστῷ τῷ δαίμονι προσπαλαίειν, ὡς ταχεῖαν τῶν συμφορῶν ἀπαλλαγὴν συγχωρῆσαι. ἀλλ' ἐνδέχεσθαι βουληθῆναι καὶ περισώζειν ἑαυτοὺς εἰς δουλείαν. ὃ τίνος οὐκ ἂν γένοιτο θανάτου πικρότερον. ὀλεθρίοις βαρβάροις ἐκκεῖσθαι πρὸς ὕβριν ἀπόρρητον καὶ δυσώνυμον. ἣν παντὶ τρόπῳ καὶ ὡς δυνατὸν ἐκκλίνωμεν, τῆς εὐτυχίας ἐλπίδα τὴν πεῖραν τῶν παρελθόντων ὑποθέμενοι. πολλάκις ἤδη καὶ ἐξ ἀπιστοτέρων περιγενόμενοι. ποιῶμεν ὡς βούλει φήσας ὁ Θεαγένης. εἵπετο ἡγουμένῃ καθάπερ ἑλκόμενος. οὐ μὴν ἔφθησάν γε πρὸς τὸ σπήλαιον διελθόντες. ἀλλ' ἕως τοὺς κατὰ πρόσωπον ἐπιόντας περιεσκό-

πουν,

ἐπηρεάζουσαν



πουν, ἔλαθον ὑπὸ μοίρας τῶν πολεμίων, ἣ κατ' ἄλλο μέρος ἀπέβη τῆς νήσου κατόπιν σαγηνευθέντες. καὶ οἱ μὲν, ἐκπλαγέντες ἔστησαν. ὑποδραμούσης τῷ Θεαγένει τῆς Χαρικλείας. ὡς εἰ καὶ τεθνάναι δεήσειεν, ἐν χερσὶ ταῖς ἐκείνου γίγνοιτο. τῶν δὲ ἐπανελθόντων ἐπανετείναντο μέν τινες ὡς πατάξοντες. ὡς δὲ ἐπιβλέψαντες οἱ νέοι κατηύγασαν τοὺς ἐπιφερομένους, ὤκλαζεν αὐτοῖς ὁ θυμός. καὶ παρεῖντο αἱ δεξιαί. τοὺς καλοὺς καὶ βάρβαροι χεῖρες ὡς ἔοικε δυσωποῦνται. καὶ πρὸς τὴν ἐράσμιον θέαν, καὶ ἀπρόσφιλος ὀφθαλμὸς ἡμεροῦται. συλλαβόντες οὖν ἦγον ἐπὶ τὸν ἄρχοντα λίαν ἐσπουδακότων, λαφύρων τὸ κάλλιστον πρῶτοι προσάγειν. ἔμελλε δὲ ἄρα καὶ μόνον προσφέρειν. ἄλλος γὰρ οὐδεὶς τῶν ἄλλων οὐδὲν ἐπετύγχανεν. ἐκ περάτων καὶ ταῦτα εἰς πέρατα τῆς νήσου ἐπιδραμόντες. καὶ ὡς ἄρκυσι τοῖς ὅπλοις πανταχόθεν πᾶσαν περιβαλόντες. ἡ μὲν γὰρ ἄλλη, πυρὶ πρὸ τοῦ προτέρου πολέμου κατανάλωτο. μόνον δὲ λειπόμενον τὸ σπήλαιον ἠγνοεῖτο. καὶ οἱ μὲν, οὕτως ἦγον τὸ ἐπὶ τὸν πολέμαρχον. ἦν δ' ἄρα Μιτράνης ὁ φρούραρχος Ὀροονδάτου τοῦ τῷ βασιλεῖ τῷ μεγάλῳ τῆς Αἰγύπτου σατραπεύοντος, ἐπὶ χρήμασι πολλοῖς ὑπὸ Ναυσικλέους ὡς δεδήλωται, κατὰ ζήτησιν τῆς Θίσβης ἀφιγμένος ἐπὶ τὴν νῆσον. ὡς οὖν ἀγόμενοι πλησίον οἱ περὶ τὸν Θεαγένην ὤφθησαν θεοὺς σωτῆρας ἐπιβοώμενοι πολλάκις, ἐμπορικόν τι καὶ δραστήριον ἐννοήσας ὁ Ναυσικλῆς, ἐξήλατό τε. καὶ προσδραμών, αὕτη ἐκείνη Θίσβη κεκραγὼς ἔλεγεν. ἣν ἀφῃρέθην μὲν πρὸς τῶν ὀλεθρίων βουκόλων. ἔχω δὲ διὰ σὲ Μιτράνη καὶ τοὺς θεούς. ἐδράττετό τε τῆς Χαρικλείας καὶ χαίρειν εἰς ὑπερβολὴν ἐνεδείκνυτο. καὶ τῇ Χαρικλείᾳ Θίσβην ὁμολογεῖν ἑαυτὴν εἰ βούλοιτο σώζεσθαι παρεκελεύετο. ἠρέμα καὶ ἑλληνιστὶ παραφθεγγόμενος ὡς λανθάνειν τοὺς παρόντας. καὶ τοῦ σοφίσματος ἐτύγχανεν. ἡ γὰρ δὴ Χαρίκλεια, γλώσσης τε ἑλληνίδος αἰσθομένη, καί τι καὶ συνοῖσον αἰνεῖσθαι πρὸς τοῦ ἀνδρὸς στοχαζομένη, συνύφαινε τῷ σκοπῷ. καὶ τῷ Μιτράνῃ πυνθανομένῳ, τίς ποτε καλεῖτο, Θίσβην ἑαυτὴν ὡμολόγει. τότε δὴ προσδραμών, ἐφίλει τε πολλὰ τὴν κεφαλὴν τοῦ Μιτράνου, καὶ τύχης ὑπερθαυμάζων, ἐφύσα τὸν βάρβαρον. ὡς ἄλλα τε πλεῖστα κατωρθωκότα ἐν πολέμοις, καὶ τὴν παροῦσαν στρατείαν εὐδαιμόνως πεποιημένον. ὁ δὲ, χαυνωθεὶς τοῖς ἐπαίνοις, καὶ ἅμα τὸ πρᾶγμα οὕτως ἔχειν ὑπὸ τοῦ ὀνόματος ἀπατηθείς, ἐξεπέπληκτο μὲν τῆς ὥρας, ἀπ' εὐτελοῦς



δυσωποῦνται

Mitranes
Oroondatē

γὰρ ὁ ταῦτα περιελθόντος, οἷον νέφους αὐγὴ σεληναίας διεξέλαμπεν. ὅμως δ' οὖν τὸ κοῦφον τοῦ φρονήματος ἀπάτης ὀξύτητι συγχυθεὶς, καὶ τὸν καιρὸν τῆς μεταμελείας προληφθεὶς, ταύτην μὲν οὖν ἔφη σὴν οὖσαν ἀπολαβὼν ἄγε. καὶ εἰπὼν ἐνεχείριζεν. ἀφορῶν τε εἰς αὐτὴν συνεχῶς, καὶ ὅτι ἄκων καὶ προλήψει τοῦ μισθοῦ παραχωροίη τῆς κόρης ὑποσημαίνων. οὑτοσὶ δὲ ὅστις ποτέ ἐστι λέγων τὸν θεαγένην, λάφυρον ἡμέτερον ἔσω. καὶ ἑπέσθω φρουρούμενος, ἀναπεμφθησόμενος εἰς Βαβυλῶνα. τραπέζῃ γὰρ τοῦ βασιλέως διακονεῖν ἐμπρέπει. τούτων εἰρημένων, ἐπεραιοῦντο τὴν λίμνην. καὶ χωρισθέντων ἀλλήλων, ὁ μὲν, εἰς τὴν χέμμιν ὁ ναυσικλῆς ἔχων τὴν χαρίκλειαν ἔρχεται. μιτράνης δὲ ἐπὶ ἑτέρας κώμας τῶν ὑπηκόων ἐκτραπεὶς, οὐδὲν ὑπερθέμενος ἅμα γράμμασι τὸν θεαγένην πρὸς ὀροονδάτην ὄντα περὶ τὴν μέμφιν ἐξέπεμψεν. εἶχε δὲ ὧδε τὰ ἐπεσταλμένα. ὀροονδάτῃ σατράπῃ, μιτράνης φρούραρχος. ἕλληνα νεανίσκον ὑποδραμόντα τὴν ἐμὴν δεσποτείαν, καὶ θεῷ βασιλεῖ τῷ μεγίστῳ μόνῳ, καὶ φαίνεσθαι καὶ διακονεῖσθαι ἄξιον, αἰχμάλωτον εἰληφὼς, πρός σε διεπεμψάμην. ἐκχωρῶν σοι τηλικοῦτον καὶ τοιοῦτον δῶρον, τῷ κοινῷ δεσπότῃ προσάγειν. οἷον ἡ βασίλειος αὐλὴ οὔτε πρότερον εἶδεν, οὔτε αὖθις ὄψεται. ταῦτα μὲν ἐκεῖνος ἐπέστελλεν. οὔπω δὲ ἡμέρας ἀκριβῶς ὑποφαινούσης, ὁ καλάσιρις ἅμα τῷ κνήμωνι παρὰ τὸν ναυσικλέα σπουδὴν μαθεῖν τι τῶν ἀγνοουμένων ἔρχεται. καὶ πυνθανομένοις τίνα εἴη διαπεπραγμένος, ἅπαντα ὁ ναυσικλῆς ἔλεγεν. ὡς ἦλθεν ἐπὶ τὴν νῆσον. ὡς κατέλαβεν ἐρήμην. ὡς οὐδενὶ τὰ πρῶτα συνέτυχεν. ὡς ἀπάτῃ τὸν μιτράνην περιῆλθε. καὶ τινα φανεῖσαν κόρην ὡς θίσβην ἀπέλαβεν. καὶ ὅτι βέλτιον εἴη διαπεπραγμένος ταύτης ἐπιτυχών. ἢ ἐκείνην ἀνευρών. οὐ γὰρ μικρὸν εἶναι τὸ διάφορον. ἀλλ' ὅσον ἄν τις γένοιτο θεοῦ πρὸς ἄνθρωπον. οὕτως οὐκ εἶναι τοῦ κάλλους ὑπερβολήν. οὐδὲ αὐτῷ δυνατὸν εἶναι τῷ λόγῳ φράζειν. καὶ ταῦτα ἔνδον παροῦσαν ἐπιδεικνύναι. ταῦτα ὡς ἤκουσαν, ὑπόνοιαν εὐθὺς τῶν ἀληθῶν ἐλάμβανον. ἱκέτευόν τε προστάξαι ὡς ὅτι τάχιστα παρεῖναι τὴν κόρην. τὸ γὰρ ἄφραστον κάλλος, χαρικλείας ἐγνώριζον. ὡς δ' ἤχθη, ἡ δὲ τὰ πρῶτα κάτω νεύουσα, καὶ τὸ πρόσωπον εἰς ὀφρὺν σκέπουσα, τοῦ ναυσι-





κλέους θαρσεῖν παρακελευομένου, μικρὸν ἀνένευσεν. εἶδέ τε καὶ ὤφθη παρ' ἐλπίδας, ὀλολυγμὸς ἅπασιν ἀθρόον ἀνεκινήθη. καὶ ὥσπερ ἐξ ἑνὸς συνθήματος ἢ πληγῆς τῆς αὐτῆς ἀνωλόλυξαν. ἰώ τε ἀκούειν ἐπὶ πλεῖστον ὦ πάτερ, καὶ ὦ θύγατερ ἀληθῶς χαρίκλεια, οὐχ ἡ θίσβη τοῦ κνήμωνος. ὁ δὲ ναυσικλῆς ἐνεὸς ἐγεγόνει. τόν τε καλάσιριν ἐφ' ὅσον περιβαλὼν τὴν χαρίκλειαν ἐδάκρυσεν, ἀφορῶν, καὶ τίς ὁ καθάπερ ἐπὶ σκηνῆς ἀναγνωρισμὸς ἀγνοῶν καὶ διαπορῶν, ἕως αὐτὸν ὁ καλάσιρις ἐφ' ὅσον πλεῖστον φιλήμασι κατασπασάμενος, ὦ βέλτιστε ἀνδρῶν ἔλεγε. σοὶ δὲ ἀντὶ τούτων οἱ θεοὶ τοσαῦτα δοῖεν, ὅσα κατὰ γνώμην ὄντα τὴν σὴν εἰς κόρον τελεσθῆναι. σωτὴρ μοι τῆς οὐδαμόθεν ἐλπισθείσης ἔτι θυγατρὸς γέγονας. καὶ δέδωκας ἰδεῖν, τὴν ἐμὴν πάντων ἡδίστην θέαν. ἀλλ' ὦ θύγατερ. ὦ χαρίκλεια θεαγένην δὲ ποῦ κατέλιπες. ἀνωλόλυξε πρὸς τὴν ἐρώτησιν. καὶ διαλιποῦσα μικρὸν, αἰχμάλωτον εἶπεν ἄγει λαβὼν ὅστις ποτέ ἐστιν ὁ κἀμὲ τούτῳ παραδεδωκώς. ἱκέτευεν οὖν ὁ καλάσιρις τὸν ναυσικλέα μηνύειν, ἃ γινώσκει περὶ τοῦ θεαγένους. καὶ τίς μὲν ὁ νῦν δεσπόζων, ὅποι δ' ἄγει λαβών. ἔλεγε πάντα ὁ ναυσικλῆς. συνεὶς ἐκείνους εἶναι τούτους, περὶ ὧν διείλεκτο πολλάκις ὁ πρεσβύτης πρὸς αὐτόν. ὃν κατὰ ζήτησιν ἀλώμενον ἐν θρήνοις ἐγίνωσκε. προσετίθει δὲ αὐτοῖς μηδὲν εἶναι πλέον τῆς γνώσεως ἀνθρώποις ἀπηρημένοις. τοῦ μιτράνου θαυμαστὸν εἰ καὶ ἐπὶ πολλοῖς ἀναιρησομένου χρήμασιν ἀφεῖναι τὸν νεανίσκον. ἔστιν ἡμῖν ἔφη χρήματα λάθρα πρὸς τὸν καλάσιριν ἡ χαρίκλεια. καὶ ἐπάγγελλε πλῆθος ὁπόσον βούλει. τὸν ὅρμον ὃν οἶσθα διασώζω. καὶ ἔχω φέρουσα. θαρσήσας οὖν πρὸς ταῦτα ὁ καλάσιρις, δεδιὼς δὲ μή τινα λάβοι τῶν ὄντων ὁ ναυσικλῆς ὑπόνοιαν, καὶ ὧν ἐπεφέρετο χαρίκλεια, ὦ γαθὲ ναυσίκλεις ἔφη. οὐκ ἔστιν ὅτε ἐστὶν ὁ σοφὸς ἐνδεής. ἀλλ' ὕπαρξιν ἔχει τὴν βούλησιν. τοσαῦτα λαμβάνων παρὰ τῶν κρειττόνων, ὅσα καὶ αἰτεῖν οἶδε καλόν. ὥστε καὶ φράζε μόνον ὅπου ποτέ ἐστιν ὁ κρατῶν θεαγένους. ὡς τό γε ἐκ τῶν θεῶν ἡμᾶς οὐ περιόψεται. ἀλλ' ἐπαρκέσει πρὸς ὅσον ἄν, βουληθῶμεν τὸ περσικὸν θεραπεῦσαι φιλοχρήματον. ἐμειδίασε πρὸς ταῦτα ὁ ναυσικλῆς. καὶ τότε ἔφη δώσεις ἐμοὶ πιστεύειν δύνασθαι καθάπερ ἐκ μηχανῆς ἀθρόον πλουτεῖν, εἴπερ ἐμοὶ πρότερον

τὰ ὑπὲρ τῆς δὲ λύτρα καταθεὶς πάντως ἂν ἐννοεῖς ὡς τὸ περσικὸν
καὶ τὸ ἐμπορικὸν, ἐν ἴσῳ φιλοπλούσιον. οἶδα εἶπεν ὁ Καλάσιρις. καὶ
ἕξεις. τί δὲ οὐ μέλλεις φιλανθρωπίας οὐδὲν ἀπολείπων, ἀλλὰ φθά-
νων τε τὰς ἡμετέρας παρακλήσεις, καὶ τὴν ἀπόδοσιν τῆς θυγατρὸς
αὐτεπάγγελτος ὑπισχνούμενος. εὐχῆς δὲ δεῖ μοι πρότερον. οὐδεὶς φθό-
νος ἔφη ὁ Ναυσικλῆς. μᾶλλον δὲ εἰ δοκεῖ θύειν γὰρ μέλλω χαριστήρια
τοῖς θεοῖς, ἐπεύχου παρὼν τοῖς θεοῖς. τοῖς ἱεροῖς. καὶ τοῦ πλούτου ἡμῖν μὲν
αἴτει. σαυτῷ δὲ λάμβανε. μὴ παῖζε μηδ᾽ ἄπιστος ἴσθι ἔφη πρὸς αὐ-
τὸν ὁ Καλάσιρις. ἀλλ᾽ ἡγοῦ καὶ εὐτρέπιζε τὰ πρὸς τὴν θυσίαν. ἡμεῖς δὲ
παρεσόμεθα πάντων ἡτοιμασμένων. ἐποίουν οὕτως. καὶ μετ᾽ οὐ πο-
λὺ παρὰ τοῦ Ναυσικλέους ἥκων τις, ἐκάλει συνελθεῖν ἐπὶ τὴν θυσίαν.
οἱ δὲ, τὰ πρακτέα γὰρ αὐτοῖς ἤδη συνέκειντο. χαίροντες ἐπορεύ-
οντο. αὐτοὶ μὲν ἅμα τῷ Ναυσικλεῖ καὶ ἄλλῳ πλήθει τῶν κεκλημένων.
δημοτελῆ γὰρ ηὐτρέπιστο τὴν θυσίαν. ἡ Χαρίκλεια δὲ σὺν τῇ θυ-
γατρὶ τοῦ Ναυσικλέους, καὶ γυναιξὶ ταῖς ἄλλαις ὅσαι παρηγοροῦσαι
πολλὰ καὶ λιπαροῦσαι, μόλις ἔπεισαν ἅμα βαδίζειν. τάχα οὐκ ἂν πο-
τε πεισθεῖσαν, εἰ μὴ τῇ προφάσει τῆς θυσίας εἰς τὰς ὑπὲρ Θεαγέ-
νους εὐχὰς ἀποχρήσασθαι διενοήθη. ὡς δ᾽ οὖν ἐπὶ τὸν νεὼν τοῦ Ἑρμοῦ
παρεγένοντο, τούτῳ γὰρ ἦγε τὴν θυσίαν Ναυσικλῆς, ὡς ἀγοραίῳ καὶ
ἐμπορικῷ διαφερόντως τῶν ἄλλων θεῶν αὐτὸν καθοσιούμενος, καὶ
τὰ ἱερεῖα τάχιστά τε, οὕτω πρὸς βραχὺ τὰ σπλάγχνα ὁ Καλάσιρις ἐπι-
θεωρήσας, καὶ ποικίλην δηλοῦσθαι τῶν μελλόντων συντυχίαν, ἡδέων
τε καὶ λυπηρῶν ταῖς τοῦ προσώπου τροπαῖς ἐμφήνας, ἐπιβάλλει
τὼ χεῖρε τοῖς βωμοῖς ἔτι φλεγομένοις. καὶ ὡς ἀπὸ τῆς πυρᾶς δῆθεν
ἀνασπώμενος, ἃ πάλαι ἐκόμιζε, ταῦτά σοι ἔφη λύτρα Χαρικλείας
ὦ Ναυσίκλεις οἱ θεοὶ δι᾽ ἡμῶν προσφέρουσι. καὶ ἅμα ἐνεχείριζε δακτύ-
λιόν τινα τῶν βασιλικῶν, ὑπερφυές τι χρῆμα καὶ θεσπέσιον. τὸν μὲν κύ-
κλον, ἠλέκτρῳ διάδετον. ἀμεθύσῳ δὲ αἰθιοπικῇ τὴν σφενδόνην φλε-
γόμενον. μέγεθος μὲν, ὅσον ὄμμα παρθενικὸν περιγράφει. κάλλος δὲ, μα-
κρῷ τῆς ἰβηρίδος τε καὶ βρεττανίδος ὑπερφέρουσα. ἡ μὲν γὰρ ἀδρανεῖ
τῷ ἄνθει φοινίσσεται. καὶ ῥόδῳ προσέοικεν, ἐκ καλύκων ἄρτι πρὸς πέ-
ταλα σχιζομένῳ. καὶ πρῶτον ἡλιακαῖς ἀκτῖσιν ἐρευθομένῳ. ἀμεθύ-
σου δὲ αἰθιοπίδος, ἀκραιφνὴς μὲν καὶ ἐκ βάθους ἐαρινή τις ὥρα πυρ-
σεύεται.

Charisteria

Ἑρμῆς ἀγοραῖος ἢ ἐμπορικός

Amethystus aethiopica

Amethystus aethiopis



σεύεται. εἰ δὲ κατέχων περιτρέποις, ἀκτῖνα προσβάλλει χρυσῆν,
οὐκ ἀμαυροῦσαν τραχύτητι τὴν ὄψιν. ἀλλὰ φαιδρότητι περιλάμ-
πουσαν. οὐ μὴν, ἀλλὰ καὶ δύναμις αὐτῇ γνησιωτέρα τῶν ἐκδύσεων
ἐγκαθίδρυται. οὐ γὰρ ἐπὶ ψευδεῖ τὴν προσηγορίαν ἀλλ᾽ ἀληθῶς
ἀμέθυσος τῷ φοροῦντι γίγνεται. νηφάλιον ἐν τοῖς συμποσίοις δια-
φυλάττουσα. τοιαύτη μὲν καὶ πᾶσα ἡ ἰνδῶν τε καὶ αἰθιόπων ἀμέ-
θυσος. ἣν δὲ τότε τῷ Ναυσικλεῖ προσεκόμιζεν ὁ Καλάσιρις, μακρῷ
καὶ ταύτας ἐπλεονέκτει. γραφῇ γὰρ ἐξέστο. καὶ εἰς μίμημα ζώων ἐκοι-
λαίνετο. καὶ ἦν ἡ γραφή. παιδαρίσκος ἐποίμαινε πρόβατα. χαμαι-
ζήλῳ μὲν πέτρᾳ πρὸς περιωπὴν ἐφεστώς. τὴν δὲ νομὴν τῇ ἀγέλῃ πλα-
γίοις αὐλήμασι διατάττων. τὰ δὲ, ἐπείθετο ὡς ἐδόκει. καὶ ἠνείχετο
πρὸς τὰ ἐνδόσιμα τῆς σύριγγος ποιμαινόμενα. εἶπεν ἂν τις αὐτὰ,
καὶ χρυσοῖς βρίθειν τοῖς μαλλοῖς. οὐ τῆς τέχνης τοῦτο χαριζομένης. ἀλλ᾽
οἰκεῖον ἐρύθημα τῆς ἀμεθύσου τοῖς νώτοις ἐπανθούσης. ἐνεγέγραπτο
καὶ ἀρνειῶν ἁπαλὰ σκιρτήματα. καὶ οἱ μὲν ἀγεληδὸν ἐπὶ τὴν πέ-
τραν ἀνατρέχοντες. οἱ δὲ, περὶ τὸν νομέα κύκλους ἀγερώχους ἐξε-
λίττοντες, ποιμενικὸν θέατρον ἐπεδείκνυσαν τὸν κρημνόν. ἄλ-
λοι δὲ ὥσπερ ἡλίῳ τῇ φλογὶ τῆς ἀμεθύσου γανύμενοι, ἅλμασιν ἀ-
κρονύχοις τὴν πέτραν ἐπέξεον. ὅσοι δὲ αὐτῶν πρωτόγονοι καὶ θρα-
σύτεροι, καὶ ὑπεράλλεσθαι βουλομένοις τὸν κύκλον ἐῴκεσαν, εἰργο-
μένοις δὲ ὑπὸ τῆς τέχνης, ὥσπερ εἰ μάνδραν χρυσῆν τὴν σφενδόνην
αὐτοῖς τε καὶ τῇ πέτρᾳ περιβαλλούσης. ἡ δὲ ἦν πέτρα τῷ ὄντι, καὶ
οὐχὶ μίμημα. τῶν γὰρ ἄκρων τι τοῦ λίθου μέρος εἰς τοῦτο περιγράψας ὁ
τεχνίτης, ἔδειξεν ἐκ τῆς ἀληθείας ὃ ἐβούλετο. περίεργον ἡγησάμε-
νος, λίθον ἐν λίθῳ σοφίζεσθαι. τοιοῦτος μὲν ὁ δακτύλιος. ὁ δὲ Ναυ-
σικλῆς, ἐκπλαγεὶς τε ἅμα πρὸς τὸ παράδοξον καὶ πλέον ἡσθεὶς πρὸς
τὸ πολύτιμον οὐσίας ὅλης τὸν λίθον ἰσοτάσιον κρίνων, ἐγὼ μὲν
ἔπαιζον εἶπεν ὦ γαθὲ Καλάσιρι. καὶ λόγος ἄλλως ἦν, ἡ τῶν λύτρων αἴ-
τησις. σκοπὸς δὲ ἀπριάτην σοι λύσασθαι τὴν θυγατέρα. ἐπεὶ δὲ οὐκ ἀ- «
πόβλητα δεῖν ὥς φασι τὰ θεῶν ἐρικυδέα δῶρα, δέχομαι τὴν θεόπεμ- «
πτον ταύτην λίθον. πειθόμενος παρὰ τοῦ ἐμοῦ τοῦ καλλίστου καὶ ἀγαθωτά- «
του τῶν θεῶν, ἥκειν μοι συνήθως καὶ τόδε τὸ εὕρημα. διὰ τοῦ πυρός
σοι τῷ ὄντι δῶρον διακονήσαντος. ὁρῶ γοῦν πάρεσι τῇ φλογὶ
λαμπό-

Amethystus unde dicta

ἀγερώχους

προτεμενίσματι

ἐμβατήρια

ἐρανιζόμενος

λαμπόμενον. καὶ ἄλλως ἐκείνῳ κέρδος κάλλιστον, ὃ μὴ ζημιοῖ τὸν
παρέχοντα, εὐπορώτερον ἀποφαίνει τὸν λαμβάνοντα. ταῦτα ὡς εἰ-
πὼν ἐποίησεν, ηὐτρέπιζε τὴν εὐωχίαν αὐτόν τε καὶ τοὺς ἄλλους ἐπιτρέ-
πων. ἰδίᾳ μὲν ταῖς γυναιξὶ τὴν ἐνδοτέρω τοῦ ἱεροῦ χώραν ἀποκλη-
ρώσας. τοὺς δὲ ἄνδρας ἐν τῷ προτεμενίσματι κατακλίνας. ἐπεὶ
δὲ εὐφροσύνης τῆς ἐκ τῶν ἐδεσμάτων εἰς κόρον ἧσαν, καὶ τοῖς κρα-
τῆρσιν αἱ τράπεζαι παρεχώρουν, οἱ μὲν ἄνδρες ἐμβατήρια τῷ
Διονύσῳ καὶ ᾖδον καὶ ἔσπενδον. αἱ δὲ γυναῖκες ὕμνον τῇ Δήμη-
τρι χαριστήριον ἐχόρευον. τοῦ πότου δὲ λαμπρῶς ἤδη βράζοντος,
καὶ ἄλλου πρὸς ἄλλο τι τῶν τερπόντων ἀποκλίναντος, ὕδατος ἀ-
περχύτου φιάλην προτείνας ὁ Ναυσικλῆς, ὦ γαθὲ Καλάσιρι ἔφη,
καθαρὰς σοι τὰς νύμφας προπίνομεν. σὺ δὲ εἰ λόγους ἡμῖν οὓς πο-
θοῦμεν ἀντιπροπίνοις, ἀπὸ καλλίστων ἄν, κρατήρων εὐωχοίης. τὰς μὲν
γὰρ γυναῖκας ἀκούεις ὡς διατριβὴν τοῦ πότου χορείαν ἐστήσαντο. ἡ-
μῖν δὲ ἡ σὴ πλάνη κάλλιστ᾽ ἄν, εἰ βουληθείης τὴν εὐωχίαν παραπέμ-
ποι. χοροῦ τε γινομένης καὶ αὐλοῦ παντὸς ἡδίων. ἣν πολλάκις μοι
διελθεῖν ὡς οἶσθα ὑπερθέμενος, ἐπειδή σε τὰ συμβεβηκότα ἐβά-
πτιζεν, οὐκ ἔστιν ὅπως ἄν, εἰς καιρὸν βελτίονα τοῦ παρόντος φυλά-
ξειας. ὅτε σου τῶν παίδων ἡ μὲν θυγάτηρ ἡ δὲ σώζεται καὶ ὁρᾶται,
ὁ παῖς δὲ ὅσον οὐδέπω σὺν θεοῖς ὀφθήσεται. καὶ μάλιστα, εἴ με μὴ
ἀνιάσῃς ὑπερθέμενος καὶ πάλιν τὴν διήγησιν. ἀλλά σοι πλεῖστα
ἀγαθὰ γένοιτο ὦ Ναυσίκλεις, ὑπολαβὼν ὁ Κνήμων, ὡς ἅπαν μου-
σικῆς ὄργανον εἰς τὸ συμπόσιον παρακεκληκώς. ἐκείνων μὲν τὸ πα-
ρὸν ὑπεροράς, καὶ τοῖς δημωδεστέροις ἐκχωρεῖς. πραγμάτων δὲ μυ-
στικῶν ὡς ἀληθῶς, καὶ ἡδονῇ θείᾳ τῷ ὄντι συγκεκραμένων, φιλικῶς
» ἔχεις. καί μοι δοκεῖς καὶ τοῦ δαίμονος κάλλιστα συνιέναι τὸν Ἑρμῆν
» τῷ Διονύσῳ συγκαθιδρύων. καὶ λόγων ἥδυσμα τοῦ πότου συ-
» ναναχέων. ὡς ἐγώ σου, καὶ τὴν ἄλλην μὲν τῆς οὐσίας πολυτέλειαν
ἔχω θαυμάζειν, οὐκ ἔστι δὲ ὅπως μᾶλλον ἄνῆς τὸν Ἑρμῆν ἱλάσαιο,
ἢ τὸ οἰκειότατον ἐκείνῳ λόγους εἰς εὐωχίαν ἐρανιζόμενος. ἐπείθετο
ὁ Καλάσιρις. ἅμα μὲν τῷ Κνήμωνι χαριζόμενος, ἅμα δὲ τὸν Ναυσι-
κλέα τῶν μετὰ ταῦτα ἕνεκεν ὑποποιούμενος, ἅπαντα ἔλεγε. τὰ
μὲν πρῶτα καὶ ἤδη λεχθέντα πρὸς Κνήμωνα ἐπιτεμνόμενος. καὶ
ὥσπερ



ὥσπερ ἐν κεφαλαιούμενος. καί τινα ἑκὼν ὑπερβαίνων. ὅσα τὸν Ναυ-
σικλέα γινώσκειν οὐ συμφέρειν ἐδοκίμαζε, τὰ δ᾽ ἔτι ἀδιήγητα
καὶ ἐχόμενα τῶν εἰρημένων ἐνθένδε λέγων. ὡς ἐπειδὴ τῆς φοινίσσης ὁλ-
κάδος ἐπέβησαν, τοὺς ἀδελφοὺς ἀποδράντες, τὰ μὲν πρῶτα πλεῖν
κατὰ γνώμην, ἀκραεῖ τῷ πνεύματι, καὶ ἐκ νώτου ὑποφερομένους.
ἐπεὶ δὲ κατὰ τὸν καλυδώνιον πορθμὸν γενέσθαι, διαταραχθῆναι
σφᾶς οὐ μικρῶς. ταραχώδει τὰ πολλὰ φύσει θαλάσσῃ προστυ-
χόντας. τοῦ δὲ Κνήμωνος μὴ δὲ τοῦτο παραλιπεῖν ἀξιοῦντος, ἀλλὰ
φράζειν, εἴ τινα καταμεμαθήκοι τῆς ὑπολαζούσης τῷ τόπῳ τρα-
χύτητος αἰτίαν, τὸ πέλαγος ἔφη τὸ ἰόνιον, ἐκ πολλῆς εὐρυχωρίας
ἐνταῦθα στενούμενον, καὶ καθάπερ διὰ στομίου τινός, εἰς τὸν κρισαῖον
κόλπον εἰσχεόμενον, ὑπομῖξαί τε πρὸς τὴν αἰγαίαν θάλασσαν ἐπει-
γόμενον, ὑπὸ τοῦ πελοποννησίων ἰσθμοῦ, τῆς πρόσω φορᾶς ἀνακό-
πτεται. προμηθείᾳ κρειττόνων ὡς ἔοικεν ἐπικλύσαι τὴν ἀντίθεχυ
προβολῇ τοῦ αὐχένος ἀποτειχιζόμενον. κἀκ τοῦδε παλιρροίας ὡς
τὸ εἰκὸς γινομένης, καὶ περὶ τόνδε τὸν πορθμόν, πλέον ἢ κατὰ τὸν
ἄλλον κόλπον θλιβομένης τοῦ ὑπορρέοντος ἐπὶ τοῦ ἀνατρέχοντι
πολλάκις ἐμπίπτοντος, βρασμόν τε ἴσχει τὸ ὕδωρ, καὶ κῦμα φλε-
γμαῖνον ἐγείρει πρὸς τῆς ἀντιτυπίας εἰς κλύδωνα κορυφούμενον.
ἐπὶ τούτοις κρότου γενομένου καὶ ἐπαίνου τῶν παρόντων ἀληθῆ εἶναι
μαρτυρούντων τὴν αἰτίαν, ὁ Καλάσιρις εἴχετο τῶν ἑξῆς. ὑπερβα-
λόντες δὴ λέγων τὸν πορθμὸν καὶ νήσους ὀξείας ἀποκρύψαντες,
τὴν ζακυνθίων ἄκραν προσκοπεῖν ἀμφεβαλλόμεθα. ὥσπερ ἀμυ-
δρόν τι νέφος τὰς ὄψεις ἡμῖν ὑποδραμοῦσαν. καὶ ὁ κυβερνήτης
τὸ ἱστίον παραστέλλειν ἐπέταττεν. ἡμῶν δὲ πυνθανομένων, διότι πα-
ραλύει τὸ ῥόθιον, τῆς νεὼς οὐριοδρομούσης, ὅτι πλησιστίῳ χρώμενοι
τῷ πνεύματι, περὶ πρώτην ἄν, φυλακὴν τῇ νήσῳ προσορμίσαι-
μεν. καὶ δέος προσοκεῖλαι σκοταίους τόποις ὑφάλοις τὰ πολλὰ καὶ
κρημνώδεσι. καλὸν οὖν ἐννυκτερεῦσαι τῷ πελάγει, καὶ τὸ πνεῦ-
μα ὑφειμένως δέχεσθαι, συμμετρουμένοις ὅσον ἂν γένοιτο αὔταρ-
κες, ἕως ἡμᾶς τῇ γῇ προσπελάσαι. ταῦτα εἶπε μὲν ὁ κυβερνή-
της, οὐκ ἐγένετο δὲ ὦ Ναυσίκλεις. ἀλλ᾽ ἅμα ἥλιός τε ἀνίσχε, καὶ ἡ-
μεῖς ἀγκύρας καθίεμεν. οἱ δὲ τῆς νήσου περὶ τὸν ὅρμον ἰοκοῦντες, ἀπέ-

Calydoniũ fretum

Oxiæ ins.

χοντα οὐ πολὺ τῆς πόλεως, καθάπερ ἐπί τι παράδοξον τὴν θέαν τῆς ἡμετέρας συνέρρεον. ἀγάμενοι μὲν ὡς ἐφαίνετο καὶ τὸ τῆς ὁλκάδος εὐάγωγον, εἰς κάλλος τε ἅμα καὶ μέγεθος αἰρομένου ἐκπεπονημένης. φοινίκειον τὸ φιλοτέχνημα γνωρίζειν. λέγοντες ὡς παραλόγῳ τῇ τύχῃ χρησαμένους, εὔδιόν τε καὶ ἀπήμονα πλοῦν, ἐν χειμερίῳ τῇ ὥρᾳ, καὶ πλειάδων ἤδη δυομένων ἀνύσαντες. οἱ μὲν οὖν ἄλλοι σχεδόν τι πάντες ἔτι τῶν πρυμνησίων ἀναπτομένων ἀπολιπόντες τὴν ναῦν, ὡς τὸ ἄστυ τῆς ζακύνθου ἀγοράσοντες ἀνέτρεχον. ἐγὼ δὲ τοῦ κυβερνήτου γὰρ ἀκηκοὼς ἐτύγχανον. ὡς χειμάσειν χρῄζοντα τῇ νήσῳ, καταγωγὴν σκεψόμενος αὐτοῦ που περὶ τὴν ἀκτὴν ἠρχόμην. τὴν μὲν ναῦν ὡς ἀπρεπὲς οἰκητήριον διὰ τὴν ναυτικὴν τύρβην, τὴν πόλιν δὲ ὡς οὐκ ἀσφαλὲς διὰ τὴν τῶν νέων φυγὴν παραιτούμενος. ὀλίγον οὖν ὅσον προήκων, ὁρῶ πρεσβύτην ἁλιευτικὸν πρόσθεν τῶν θυρῶν τοῦ αὐτοῦ καθήμενον. καὶ δικτύου διερρωγότος βροχίδας ἀκούμενον. πλησιάσας δή, χαῖρε εἶπον ὦ βέλτιστε, καὶ φράζε, ὅπῃ τις ἂν τύχοι καταγωγῆς. ὁ δέ, περὶ τὴν πλησίον ἄκραν ἔφη χοιράδι πέτρᾳ τῆς προτεραίας ἐνεχθέν, διεσπάρακται. κἀγὼ τοῦτο μὲν ἔφην οὐδὲν ἐδεόμην μαθεῖν. ὅμως οὖν χρηστῶς ἂν ποιοίης καὶ φιλανθρώπως, ἢ αὐτὸς ὑποδεχόμενος, ἢ ἕτερον ὑφηγούμενος. καὶ ὃς οὐκ αὐτὸς φησίν. οὐ γὰρ συνέπλεον. μὴ γὰρ οὕτω ποτὲ σφαλείη. μὴ δὲ ὑπὸ γήρως πιεσθείη τυρρήνιος. ἀλλ᾽ ἐστι πταίσματα τῶν παιδαρίων, ἀπειρίᾳ τῶν ὑφάλων. οὐ μὴ ἐχρῆν τὰ δίκτυα καθορμισάντων. ὀψὲ δή ποτε συνεὶς ὡς παχύτερον ἔχει τῆς ἀκοῆς, γεγωνότερον ἐμβοήσας, χαίρειν κελεύω σε ἔφην, καὶ φράζειν ἡμῖν ξένοις οὖσι καταγωγήν. ἀλλὰ καὶ σύ γε, χαίροις ἀπεκρίνατο, καὶ μένοις εἰ βούλοιο παρ᾽ ἡμῖν. εἰ μή τις τυγχάνοις τῶν πολυκλίνους οἴκους ἐπιζητούντων, ἢ θεραπείαν εἰς πλῆθος ἐπαγομένων. ἐμοῦ δὲ εἰπόντος, ὡς παῖδες εἰσί μοι δύο, καὶ τρίτος ἐγώ, χαίρειν ἔφη τὸ σύμμετρον. ἑνὶ γὰρ πλείους ἡμᾶς εὑρήσετε. κἀμοὶ γὰρ παῖδες εἰσὶν ἔτι δύο συσσιτοῦντες. οἱ πρεσβύτεροι δὲ γήμαντες, οἴκου ἄρχουσι. καὶ τετάρτη τροφὸς ἡ τῶν παιδίων. ἡ γὰρ μήτηρ αὐτοῖς, οὐ πρὸ πολλοῦ τέθνηκεν. ὥστε ὦ λῷστε, μὴ μέλλε. μὴ δὲ ἀμφίβαλλε, ὡς οὐ χαίροντες ὑποδεξόμεθα, ἄνδρα καὶ ἐκ πρώτης ἐντεύξεως εὐγένειαν ἐμφαίνοντα. ἐπρατ-

Βροχίδας. ἀπὸ τοῦ βρόχος





τον οὕτως. καὶ μετ᾽ οὐ πολὺ σὺν τῷ θεαγένει καὶ τῇ χαρικλείᾳ παριόντα με, ἄσμενος ὁ τυρρήνιος ὑποδέχεται. καὶ μέρος τὸ ἀλεεινότερον ἀπεκλήρου τῆς οἰκήσεως. καὶ πως οὐκ ἀηδῶς τὴν χειμέριον ὥραν τὰ πρῶτα διηνύομεν. τὰ μὲν ἄλλα συνδιημερεύοντες. χωριζόμενοι δέ, ὅτε καθεύδειν ἔδει, σὺν τῇ τροφῷ μὲν ἡ χαρίκλεια. ἐγὼ δὲ ἰδίᾳ καὶ θεαγένης. ὁ τυρρήνιος δὲ σὺν τοῖς αὐτοῦ παισὶ καθ᾽ ἕτερον δωμάτιον ἀναπαυόμενοι. ἡ τράπεζα δὲ ἡμῖν κοινὴ προὐτίθετο. τὰ μὲν ἄλλα ἡμῶν παρεχόντων. τοῦ τυρρηνοῦ δὲ ὄψον ἄφθονον ἐκ θαλάττης τοῖς νέοις ἐξιόντος. τὰ μὲν, καθ᾽ αὑτὸν ἁλιεύοντος. τὰ δέ, καὶ ἡμῶν ἔστιν ὅτε τὴν σχολὴν διατιθεμένων, καὶ συνεφαπτομένων τῆς ἄγρας. ἣν ποικίλην τε, καὶ πρὸς πᾶσαν ὥραν ἁρμόδιον ἐπήσκητο. καὶ ἦν εὔβολόν τι χρῆμα καὶ πολύθηρον. ἅτε καὶ οἱ πολλοὶ τὴν ἐμπορείαν αὐτῷ τῆς τέχνης, εἰς εὐμένειαν τύχης προσέπιπτον. ἀλλ᾽ οὐ γὰρ ἦν φησι τοὺς δυστυχοῦντας, μὴ οὐχὶ πανταχοῦ δυστυχεῖν. οὐδὲ ἐνταῦθα τῆς ἐρημίας ἀνενόχλητον εἶχεν ἡ χαρίκλεια τὸ κάλλος. ἀλλ᾽ ὁ τύριος ἐκεῖνος ἔμπορος ὁ πυθιονίκης, ᾧ συνεπλεύσαμεν, ἰδίᾳ μοι προσιὼν ἠνώχλει πολλάκις. καὶ ἀπέκναιε λιπαρῶν, καὶ εἰς γάμον ὡς ἂν, παρὰ πατρὸς αἰτῶν τὴν χαρίκλειαν. πολλὰ σεμνύνων ἑαυτόν, καὶ τοῦτο μέν, γένος ἔνδοξον καταλέγων, τοῦτο δέ, τὸν παρόντα πλοῦτον καταριθμούμενος, τήν τε ὁλκάδα, ὡς ἴδιον αὐτοῦ κτῆμα τυγχάνοι, καὶ ὡς τοῦ πλείονος φόρτου τῶν ἀγωγίμων δεσπόζει, χρυσοῦ τε ὄντων, καὶ λίθων πολυταλάντων, καὶ σηρικῆς ἐσθῆτος. οὐκ ὀλίγον δὲ εἰς ἐνδοξείας προσθήκην, καὶ τὴν πυθιονίκην ὠνόμαζεν. ἕτερα τε αὖ, πολλὰ πρὸς τούτοις. ἐμοῦ δὲ τήν τε παροῦσαν πενίαν προβαλλομένου, καὶ ὡς οὐκ ἄν ποτε τῷ χώραν ἄλλην οἰκοῦντι καὶ ἔθνος, ὃ τοσοῦτον κεχώρισται τῆς αἰγυπτίων, ἐκδοῦναι τὸ θυγάτριον αἱρησομένου, πέπαυσο τούτων ἔλεγεν ὦ πάτερ. τὴν μὲν γὰρ προῖκα, ἀπέχειν ἡγήσομαι πολλὰ τάλαντα καὶ πλοῦτον ὅλον τὴν κόρην. ἔθνος δὲ καὶ πατρίδα τὴν ὑμετέραν ἀλλάξομαι. τῆς μὲν ἐνταῦθα καρχηδόνος ὁρμῆς, ἐκτραπείς. ὑμῖν δὲ σύμπλους οὗ καὶ βούλεσθε γενόμενος. ὁρῶν δὲ τὸν

φοίνικα μὴ ἀνιέντα, ἀλλ' εἰς ὑπερβολήν τι πρὸς τὸ βούλημα θερμαινόμενον, καὶ ἡμέραν ἀλλ' οὐδεμίαν τοῦ διενοχλεῖν μοι περὶ τῶν αὐτῶν ἀπολειπόμενον, ἔγνων τὸ πρὶν ὑπερθέσθαι χρησαμένους ἐπαγγελίαις, μὴ καὶ βίαιόν τι περὶ τὴν νῆσον ὑποσταίημεν. καὶ ἅπαντα ποιήσειν ἐλθὼν εἰς τὴν αἴγυπτον ἐπηγγελλόμην. οὕτω δέ μου τοῦτον ἐπ' ὀλίγον ἀποσκευασαμένου, κῦμα φησὶν ἐπὶ κῦμα προσέβαλλεν ὁ δαίμων. ὁ γὰρ τυῤῥηνὸς οὐ πολλαῖς ὕστερον ἡμέραις, εἰς τινά με περιηγκωνισμένην ἀκτὴν παραλαβών, ὦ καλάσιρι ἔφη. τὸν ποσειδῶ σοι τὸν πελάγιον ἐπόμνυμι, καὶ τοὺς ἄλλους ἐναλίους θεούς, ἦ μήν, αὐτόν τε σε ὡς ἀδελφόν, παῖδάς τε τοὺς σούς, ἴσα καὶ παισὶν ὁρᾶν τοῖς ἐμοῖς. ἥκω δή σοι φράσων ἐγειρόμενόν τι πρᾶγμα. ἀνιαρὸν μέν. ἀλλ' ἔμοιγε σιωπῆσαι ἀθέμιτον, ἑστίας ἡμῖν τῆς αὐτῆς κεκοινωνηκότι. σοί τε γνῶναι πάντως ἀναγκαῖον. ναυλοχεῖ τὴν ὁλκάδα τὴν φοίνισσαν, πειρατικὸν ἐργαστήριον, περὶ τὴν προκύπτουσαν τῆς δὲ τῆς ἄκρας πλευρὰν ὑποκαθήμενον. σκοποῖς ἀμοιβαδὸν τὸν ἔκπλουν τῆς νεὼς παρατηρούμενον. ὅρα δὴ οὖν φυλάττου καὶ λογίζου, τί ἂν ποιῇς. σοῦ γὰρ δὴ ἕνεκεν, μᾶλλον δὲ θυγατρὸς τῆς σῆς, τὸ οὕτως ἀπηνὲς ἔργον, ἐκείνοις δὲ συνήθως διανοοῦνται. κἀγὼ πρὸς αὐτόν. σὲ μὲν ἔφην ἀντὶ τούτων οἱ θεοὶ κατ' ἀξίαν ἀμείψαιντο. πόθεν δὲ ὦ τυῤῥηνὲ συνείληφας τὴν ἐπιβουλήν; καὶ ὃς ἀπὸ τῆς τέχνης ἔφη τοῖς ἀνδράσι γνωρίζομαι. καὶ ὄψον αὐτοῖς προσκομίζων, πλέον ἢ παρὰ τῶν ἄλλων τὸ τίμημα κομίζομαι. τῇ προτεραίᾳ δή, κύρτους ἀναλεγομένῳ μοι περὶ τοὺς κρημνοὺς ἐντυχὼν ὁ λῄσταρχος, πότε ἄρα οἱ φοίνικες ἐξορμήσειν μέλλουσιν, εἴγε πέπυσαι διηρώτα. κἀγὼ συνιεὶς τὴν ἐνέδραν τοῦ ἐρωτήματος, τὸ μὲν ἀκριβὲς ἔφην ὦ τραχῖνε οὐκ ἔχω λέγειν. εἰς ἔαρ δὲ πρῶτον ἡγοῦμαι αὐτοὺς ἀφορμήσειν. ἆρ' οὖν ἔφη καὶ ἡ κόρη αὐτοῖς ἡ παρὰ σοὶ καταγομένη συμπλεύσεται. ἄδηλον μὲν εἶπον. ἀλλὰ τί πολυπραγμονεῖς; ὅτι αὐτῆς ἐρῶ μανικῶς, ἅπαξ θεασάμενος. οὐ γὰρ οἶδα προστυχὼν τοιούτῳ κάλλει. πολλὰς καὶ ταῦτα καὶ οὐκ ἀώρους αἰχμαλώτους ᾑρηκώς. ὑπαγόμενος οὖν αὐτὸν ὥστε πᾶν ἀναπτύξαι τὸ βούλευμα, τί οὖν ἔφην δεῖ σε συμπλέκεσθαι τοῖς φοίνιξιν, ἀλλὰ μὴ ἀναιμωτὶ καὶ πρὸ τῆς θαλάσσης ἔχειν, ἐκ τῆς οἰκίας ἁρπάσαντα τῆς ἐμῆς.



κῦμα ἐπὶ κῦμα προσέβαλλεν ὁ δαίμων

περιηγκωνισμένην ἀκτήν

ναυλοχεῖ

κύρτους



σώζεται καὶ παρὰ λῃσταῖς ἔφη τί συνειδὸς πρὸς τοὺς γνωρίμους φιλάνθρωπον. οὔτε οὖν φείδομαι μὴ πραγμάτων πειρατείας τοὺς ξένους ἐπιζητούμενος. ἐγὼ δὲ δι' ἑνὸς ἔργου, δύο τὰ μάλιστα βούλομαι κτήσασθαι. τόν τε πλοῦτον τῆς νεώς, καὶ τὸν γάμον τῆς κόρης. ὧν θατέρου πάντως ἐστὶν ἀποτυχεῖν, περὶ γῆν ἐγχειροῦντα τὴν πρᾶξιν. καὶ ἄλλως οὐδὲ ἀκίνδυνον ἂν τοῦτο γένοιτο, πλησίον τῆς πόλεως ἐκ τοῦ παραχρῆμα, τῆς τε αἰσθήσεως, καὶ τῆς ἐπιδιώξεως ἑπομένης. πολλὰ δὴ τῆς συνέσεως αὐτὸν ἐπαινέσας, ἐκείνου μὲν ἀπηλλαττόμην. σοὶ δὲ καταμηνύων τὴν σκευωρουμένην πρὸς τῶν ἀλαστόρων ἐπιβουλήν, ἱκετεύω φροντίδα ποιεῖσθαι, τοῦ σαυτόν τε καὶ τοὺς σεαυτοῦ, διασώζειν. ἀπῄειν κατηφὴς τούτων ἀκούσας. καὶ παντοίας ἔστρεφον παρ' ἐμαυτῷ βουλάς, ἕως ἐκ ταὐτομάτου μοι πάλιν ἐντυχὼν ὁ ἔμπορος, καὶ περὶ τῶν αὐτῶν διαλεγόμενος, σκέμματός τινος ἐνδόσιμον παρέσχεν. ἀποκρύπτων γὰρ τῶν παρὰ τοῦ τυῤῥηνοῦ μηνυθέντων ἅπερ ἐβουλόμην, ἐκεῖνο μόνον τὸ μέρος ἐξέφαινον, ὡς ἁρπάσαι τις τῶν ἐγχωρίων διανοεῖται τὴν κόρην. πρὸς ὃν οὐκ ἔστιν ἀξιόμαχος ἀντιτάξασθαι. ἐγὼ δέ σοι μᾶλλον ἄν, ἔφην ἐδοίμην αὐτήν. κατεγγυῆσαι διά τε τὴν προϋπάρχουσαν γνῶσιν, διά τε τὴν περιουσίαν. καὶ πρὸ πάντων, ὅτι τὴν ἡμετέραν οἰκεῖν, εἰ τοῦ γάμου τύχοις ἔφθης ἐπαγγελλόμενος. ὥστε εἴ σοι πάντως φίλον, σπουδαστέον ἡμῖν τὸν ἐνθένδε ἀπόπλουν, πρίν τι καὶ εἰς τὸ ἀκούσιον προληφθῆναι παθόντας. ὑπερήσθη τούτων ἀκούσας. καὶ εὖγε ὦ πάτερ ἔφη. καὶ ἅμα ἐφίλει προσιὼν τὴν κεφαλήν. ἐπυνθάνετό τε, πότε. ἀνάγεσθαι κελεύοιμι. καὶ γὰρ εἰ μηδέπω τῆς ὥρας εἶναι τὰ πλόϊμα, ἀλλ' ὑπάρχειν μετασκηνωμένους εἰς ἕτερον ὅρμον, ἐπιβουλῆς τε ἐκτὸς γενέσθαι τῆς ὑπονοουμένης, καὶ τὸ ἀκριβὲς τοῦ ἀέρος περιμεῖναι. οὐκοῦν ἔφην εἰ δὴ μέλλει τὸ ἐμὸν ἰσχύειν πρόσταγμα, τῆς ἀρχομένης ἄν, βουλοίμην πλεῦσαι νυκτός. καὶ ὁ μὲν οὕτω γενήσεται εἰπών, ἀπεχώρει. ἐγὼ δὲ οἴκαδε ἐλθών, πρὸς μὲν τὸν τυῤῥηνὸν οὐδὲ ἕν. πρὸς δὲ τοὺς παῖδας ἔφραζον, ὡς μεθ' ἑσπέραν βαθεῖαν, αὖθις ἐπιβαίνειν δεήσει τῆς ὁλκάδος. τῶν δέ, τὸ αἰφνίδιον θαυμαζόντων, καὶ τὴν αἰτίαν πυνθανομένων, ὑπερθέμενος εἰσαῦθις φράσειν, νῦν δὲ οὕτω πραχθῆναι συμφέρειν ἔλεγον. ἐπεὶ δὲ δείπνου πρὸς



σκευωρουμένην

ἐνδόσιμον

ὀλίγον μεταλαβόντων εἰς ὕπνον ἐτετράμμην, ὄναρ μοί τις πρεσβύτης ἐφαίνετο. τὰ μὲν ἄλλα κατεσκληκώς, ὑπογονίδια δὲ λείψανον τῆς ἐφ' ἡλικίας ἰσχύος ἀνεσταλμένου σώματος ὑποφαίνων. κυνῆν μὲν τῆς κεφαλῆς ὑποκείμενος. ἀγχίνουν δὲ ἅμα καὶ πολύτροπον περισκοπούμενος. καὶ οἷον ἐκ πληγῆς τινος μηρὸν σκάζοντα παρέλκων. πλησιάσας δή μοι καὶ σεσηρός τι μειδιάσας, ὦ θαυμάσιε ἔφη. σὺ δὲ μόνος ἐν οὐδενὸς λόγου μοίρᾳ τέθεισαι τὰ καθ' ἡμᾶς, ἀλλὰ πάντων ὅσοι δὴ τὴν κεφαλλήνων παρέπλευσαν, οἶκόν τε τὸν ἡμέτερον ἐπισκεψαμένων καὶ δόξαν γνῶναι τὴν ἡμετέραν ἐν σπουδῇ θεμένων, αὐτὸς οὕτως ὀλιγώρως ἔσχηκας, ὡς μηδὲ γοῦν δὴ τὸ κοινὸν προσειπεῖν, ἐκ γειτόνων καὶ ταῦτα οἰκοῦντα, τοιγάρτοι τούτων ὑφέξεις οὐκ εἰς μακρὰν τὴν δίκην, καὶ τῶν ὁμοίων ἐμοὶ παθῶν αἰσθήσῃ, θαλάττῃ τε ἅμα καὶ γῇ πολεμίοις ἐντυγχάνων. τὴν κόρην δὲ ἣν ἄγεις παρὰ τῆς ἐμῆς γαμετῆς πρόσειπε. χαίρειν γὰρ αὐτῇ φησι, διότι πάντων ἐπίπροσθεν ἄγει τὴν σωφροσύνην. καὶ τέλος αὐτῇ δεξιὸν εὐαγγελίζεται. ἀνήλλαμην ὑπὸ τῆς ὄψεως παλλόμενος. καὶ τοῦ θεαγένους ὅ τι πέπονθα ἐρομένου, τάχα ἔφην ὠψιάσθημεν τῆς ἀναγωγῆς. καὶ τεθορύβημαι ἀφυπνίσας πρὸς τὴν ἔννοιαν. ἀλλ' αὐτός τε ἀνίσω καὶ τὰ ὄντα συσκεύαζε. τὴν χαρίκλειαν τε ἐγὼ μετελεύσομαι. παρῆν ἡ παῖς ἐμοῦ γοῦν σημήναντος. καὶ ὁ θυρρωνὸς αἰσθόμενος, διανίστη. καὶ τὸ γινόμενον ἐπυνθάνετο. κἀγὼ τὸ μὲν γινόμενον ἔστιν ἔλεγον ἡ σὴ συμβουλή. διαδρᾶναι πειρώμεθα τοὺς ἐπιβουλεύοντας. σὺ δὲ αὐτός τε σῴζοιο πρὸς τῶν θεῶν. ἀνδρῶν βέλτιστος περὶ ἡμᾶς γεγενημένος. καὶ τὴν δὲ δίδου τελευταίαν χάριν. θῦε διεκπλεύσας εἰς ἰθάκην ὑπὲρ ἡμῶν ὀδυσσεῖ. καὶ αἴτει τὴν μῆνιν αὐτὸν ἀνεῖναι τὴν καθ' ἡμῶν. ἣν ἀγανακτεῖν ὡς παρεωσμένος, τῆς δέ μοι τῆς νυκτὸς ἐπιφανεὶς ἐξηγόρευσεν. ἐπηγγέλλετο ποιήσειν οὕτω, καὶ ἄχρι τῆς νεὼς προέπεμπεν. ἐπιδακρύων τε πλεῖστα. καὶ τὸν πλοῦν ἡμῖν, ἀπήμονά τε γενέσθαι καὶ ἤδη νῦν ἐπευχόμενος. τί δεῖ μηκύνοντα ἐνοχλεῖν. ἄρτι φωσφόρου διαλάμψαντος, ἀνηγόμεθα. πολλὰ μὲν τῶν ναυτῶν τὴν πρώτην ἐναντιουμένων. τέλος δὲ, πρὸς τοῦ τυρίου τοῦ ἐμπόρου πεισθέντων, λῃστρικὴν προαγορευθεῖσαν ἔφοδον διαδιδράσκειν ἄποντος. καὶ ὁ μὲν ἐλάνθανε τὰ ὄντα ὡς πλάσματα λέγων. ἡμεῖς

δὲ πνεύ-

κατεσκεληκώς

ὑπογονίδια

Sommu



ἢ πνεύμασι βιαίοις χρησάμενοι, ζάλης τε ἀπροσμάχου, καὶ κλύδωνος ἀφράστου πειραθέντες, ἀπολέσθαι τε παρὰ μικρὸν ἐλθόντες, εἰς ἄκραν τινὰ κρητικὴν προσωκείλαμεν. τῶν τε πηδαλίων θάτερον ἀποβαλόντες, καὶ τῆς κεραίας τὸ πλεῖστον συντρίψαντες. ἔδοξεν οὖν ἐπισκευῆς τε ἕνεκεν τῆς ὁλκάδος, καὶ ἡμῶν αὐτῶν ἀναλήψεως, ἡμέρας τινὰς ἐπιμεῖναι τῇ νήσῳ. καὶ τούτων οὕτω γενομένων, ὁ πλοῦς ἡμῖν αὖθις παρηγγέλλετο πρώτην ἡμέραν σεληναίας μετὰ τὴν πρὸς ἥλιον σύνοδον ὑπολαμπούσης. καὶ ἀναχθέντων ἤδη ζεφύρων ἐαρινῶν ἐπηχούντων ἐφερόμεθα. νύκτα τε καὶ ἡμέραν ἐπὶ τὴν λιβύων γῆν τοῦ κυβερνήτου τὴν ὁλκάδα χειραγωγοῦντος. ἔφασκε γὰρ ἐνδέχεσθαι μὲν εὐθυβόλως καὶ διαμπὰξ περαιωθῆναι τὸ πέλαγος τοῦ πνεύματος ἐπιτρέποντος. ἐπείγεσθαι δὲ λαβέσθαι τινὸς ἠπείρου καὶ ὅρμου, πειρατικὸν εἶναι τὸ ἐκ πρύμνης ἀναφαῖνον ἀκάτιον. ἐξ οὗ γὰρ ἔφη τῆς κρητικῆς ἤραμεν ἄκρας ἕπεται κατ' ἴχνος καὶ ἀπαραλλάκτως μετατίθεται τὸν ἡμέτερον πλοῦν ὥσπερ τῆς αὐτῆς ὁρμῆς ἐξηρτημένον. ἐφώρασά τε πολλάκις συμπεριφερόμενον. ἐμοῦ τὴν ναῦν ἐξεπίτηδες ἔστιν ὅτε τοῦ εὐθέος παρατρέποντος. τούτων οἱ μὲν, ἐδήχθησαν εἰρημένων καὶ πρὸς ἄμυναν εὐτρεπίζεσθαι παρῄνουν. οἱ δὲ ὀλιγώρως εἶχον. ἔθος εἶναι φάσκοντες ἐν τοῖς πελάγεσιν ἕπεσθαι ταῖς ὑπερόγκοις ναυσὶ τὰς βραχυτέρας. ὥσπερ ὑπὸ πλείονος ἐμπειρίας ὁδηγουμένας. ἐπὶ τούτων δὲ θάτερα γυμναζομένων, ἦν μὲν ἤδη τῆς ἡμέρας, ὅτε ἀρότρου βοῶν ἐλευθεροῖ γηπόνος. ὁ δὲ ἄνεμος τῆς ἄγαν φορᾶς ὤκλαζε. καὶ κατ' ὀλίγον ἐνδιδοὺς, ἄπρακτός τε καὶ μαλακὸς τοῖς ἱστίοις ἐνέπιπτε. καὶ σοβῶν μᾶλλον, ἢ προωθῶν τὴν ὀθόνην. τέλος καὶ εἰς γαλήνην ἐξεκινήθη, καθάπερ τῷ ἡλίῳ συγκαταδυόμενος. ἢ ἀληθέστερον εἰπεῖν, τοῖς ἐπιδιώκουσιν ὑπηρετούμενος. οἱ γὰρ ἐπὶ τῆς ἀκάτου, ἕως μὲν ἡμῖν ὁ πλοῦς ὑπήνεμος ἠνύετο, μακρῷ τῆς ὁλκάδος ὡς τὸ εἰκὸς ἀπελείποντο. μείζοσι τοῖς ἱστίοις πλέον τὸ πνεῦμα δεχομένης. ἐπεὶ δὲ τὴν θάλασσαν ἐστόρεσεν ἡ γαλήνη, καὶ τὰς κώπας ἡ χρεία παρεκάλει, θᾶττον ἡμῖν ὥστε εἰπεῖν ἐπέστησαν. ἅτε οἶμαι πρόσκωποί τε πάντων οἱ ἐμπλεόντων, καὶ κοῦφον ἀκάτιον, καὶ πρὸς εἰρεσίαν εὐπειθέστερον ἐλαύνοντες. ἤδη δὲ πλησιαζόντων,

ἀνέκρα-

Gubernaculorū alterū

γηπόνος

ἀνέκραγέ τις τῶν συμβεβηκότων Ζακυνθίων, τοῦτ' ἐκεῖνο ἄνδρες
ἀπολώλαμεν. πειρατικὸς στόλος. Τραχίνου γνωρίζω τὴν ἄκατον.
ἐσείσθη πρὸς τὴν ἀγγελίαν ἡ ὁλκάς. ἔν τε γαλήνῃ, κλύδωνος ἐμ-
πέπληστο θορύβοις. ὀλολυγμοῖς, διαδρομαῖς καταιγιζομένη. τῶν μὲν,
εἰς τὰ κοῖλα τῆς νεὼς καταδυομένων. τῶν δὲ, πρὸς μάχην ἐπὶ τῶν
ἰκρίων, ἀλλήλοις παρακελευομένων. τῶν δὲ, εἰς τὸ σκάφος τὸ ὑπηρε-
τικὸν ἅλλεσθαι καὶ διαδρᾶναι βουλευομένων. ἕως ἐν τῷ μέλλειν καὶ
ἄκοντας αὐτοὺς προλαβὼν ἔστησεν ὁ πόλεμος τῷ προστυχόντι πρὸς
ἄμυναν ὁπλίσας. ἐγὼ δὲ καὶ ἡ Χαρίκλεια τῷ Θεαγένει περιφύντες
ὅλον ἐνθουσιῶντα πρὸς τὴν μάχην καὶ ζέοντα μόλις ἐπείχομεν. ἡ
μὲν, ἵνα μηδὲ παρὰ τὸν θάνατον ὡς ἔφασκε χωρίζοιτο. ξίφει δὲ, ἑνὶ
καὶ πληγῇ μιᾷ τοῦ πάθους ὁμοίως κοινωνήσειεν. ἐγὼ δὲ ὡς Τραχῖνον
τὸν ἐπιόντα ἔγνων, συνοίσον πρὸς τὰ μέλλοντά τι προμηθούμενος.
ὅπερ δὴ καὶ συνέβη. πλησιάσαντες γὰρ οἱ λῃσταί, καὶ ἐγκάρσιοι
περιελαύνοντες, ἀπειρώμενοί τε, εἴπως ἀναιμωτὶ γένοιντο ἐγκρα-
τεῖς τῆς ὁλκάδος, ἔβαλλον μὲν οὐδέπω. τοῖς δὲ εἰς κύκλον περί-
πλοις, οὐδαμοῦ προβαίνειν ἐπέτρεπον. ἐῴκεσάν τε πολιορκοῦσι.
καὶ τὴν ναῦν ἐξ ὁμολογίας ἑλεῖν ἐσπουδάκασι. καὶ ὦ δυσδαίμο-
νες ἔφασαν. τί δή ποτε μαίνεσθε, καὶ πρὸς οὕτως ἄμαχον καὶ
ὑπέρφορον ἰσχὺν, ἐναντίας αἰρόμενοι χεῖρας, πρόδηλον ἀναῤῥι-
πτεῖτε θάνατον. ἔτι φιλανθρωπευόμεθ' ὑμᾶς. ἐπιτρέπομεν εἰς τὸ
ἐφόλκιον εἰσβῆναι. καὶ σώζειν ἑαυτοὺς οἱ βούλεσθε. οἱ μὲν, ταῦτα
προὔτεινον. οἱ δὲ ἐπὶ τῆς ὁλκάδος, ἕως μὲν ἀκίνδυνον μάχην καὶ πό-
λεμον ἀναίμακτον ἠγωνίζοντο, θρασεῖς τε ἦσαν, καὶ οὐκ ἂν ἔφα-
σαν ἐκστῆναι. ἐπεὶ δέ τις τῶν λῃστῶν ὁ τολμηρότερος ἐναλλόμενος
εἰς τὴν ναῦν, καὶ παίων τῷ ξίφει τοὺς προστυχόντας, φόνῳ καὶ θα-
νάτῳ κρίνεσθαι τὸν πόλεμον ἐδίδαξεν, ἀφήλλαντο δὲ καὶ οἱ λοι-
ποὶ πάντες, τότε δὴ μετεμέλοντο οἱ Φοίνικες. καὶ προσπεσόν-
τες, ἀπέχεσθαι σφῶν ἱκέτευον. ἐφ' ᾧ τε τὰ προσταχθησόμενα ποιή-
» σειν. οἱ δὲ, καίπερ ἤδη φονῶντες, αἵματος γὰρ ὄψις, φρονήματος
» γίνεται στόμωσις, ἐκ προστάγματος τοῦ Τραχίνου παρ' ἐλπίδα πά-
σαν ἐφείδοντο τῶν ὑποπεσόντων. ἐγίγνετο δὲ ἄσπονδος ἐκεχειρία.
καὶ πόλεμος ἔργοις ὁ χαλεπώτατος. εἰρήνης ὀνόματι νόθῳ παρα-
λυόμενος.

ἰκρίων

ἀναῤῥιπτεῖτε θάνατον



λυόμενος. συνθήκης βαρυτέρας πλέον, ἢ τῆς μάχης ὁριζομένης.
σὺν ἑνὶ γὰρ χιτωνίσκῳ τῆς ὁλκάδος ἐξίστασθαι προηγορεύετο. καὶ θάνα-
τος τῷ παραβαίνοντι διηπείλητο. ἀλλ' ἔστιν ὡς ἔοικεν ἀνθρώποις ψυ- «
χὴ πάντων προτιμότερον. δι' ἣν καὶ τότε οἱ Φοίνικες ἐλπίδι πλού- «
του τῆς νεὼς ἀποσυλώμενοι, καθάπερ οὐ στερούμενοι, κερδαίνειν ἐμέλ-
λοντες, ὅστις πρότερος τὸν ἕτερον φθάσας ἐπιβαίη τοῦ σκάφους ἠ-
πείγοντο. θᾶττον ἐν τῷ βιαίῳ τοῦ περιεῖναι γενέσθαι πᾶς τις ἁμιλ-
λώμενος. ἐπεὶ δὲ καὶ ἡμεῖς τῷ δόγματι πειθόμενοι παρῄειμεν, ὁ Τρα-
χῖνος τῆς Χαρικλείας ἐπιλαβόμενος, οὐδὲν ἔφη πρὸς σὲ ὁ δὲ ὁ πόλε-
μος ὦ φιλτάτη. ἀλλὰ διὰ σὲ γεγένηται. καὶ σοὶ πάλαι καὶ ἐξ οὗ
γε ἀπελελοίπατε τὴν Ζάκυνθον ἕπομαι. τοσοῦτον ἕνεκα σοῦ, καὶ
πέλαγος καὶ κίνδυνον ἀναδεξάμενος. ὥστε θάρσει. καὶ ἴσθι δέ-
σποινα σὺν ἐμοὶ τῶν δὲ ἁπάντων ἐσομένη. ταῦτα ἐκεῖνος μὲν ἔλε- «
γεν. ἡ δὲ, ἔστι γάρ τι χρῆμα σοφώτατον καιρὸν διαθέσθαι δραστή- «
ριος, ἅμα δέ τι καὶ τῆς ἐμῆς ὑποθήκης ἀνύουσα, τὸ κατηφὲς τῶν πε- «
ριεστηκότων τοῦ βλέμματος, ἀποσκεδασαμένη, καὶ πρὸς τὸ ἐπαγω-
γότερον ἐκβιασαμένη, ἀλλὰ θεοῖς μὲν ἔφη χάρις τοῖς τὰ φιλανθρω-
πότερα περὶ ἡμῶν ἐπὶ νοῦν τὸν σὸν ἄγουσιν. εἰ δὲ βούλει με τῷ ὄντι
θαρροῦσαν ἔχειν καὶ μένειν, πρώτην ἔφη δίδου ταύτην ἀπόδειξιν τῆς
σῆς εὐνοίας. ἀδελφὸν τουτονὶ τὸν ἐμὸν καὶ πατέρα περίσωζε. μὴ
δὲ ἐπίτρεπε τὴν ναῦν ἀπολιπεῖν. ὡς οὐκ ἔστιν ὅπως βιώσομαι τού-
των χωριζομένων. καὶ ἅμα λέγουσα, τοῖς γόνασι προσέπιπτε. καὶ
εἴχετο ἐπὶ πλεῖστον ἱκετεύουσα. τοῦ Τραχίνου ταῖς περιπλοκαῖς ἐν-
τρυφῶντος, καὶ τὴν ὑπόσχεσιν ἐπίτηδες παρέλκοντος. ὡς δὲ
ὑπό τε τῶν δακρύων πρὸς οἶκτον ἤρχετο, καὶ πρὸς τῶν βλεμμά-
των πρὸς τὸ ὑπήκοον ἐδουλοῦτο, τὴν κόρην ἀναστήσας, τὸν μὲν ἀδελ-
φὸν ἔφη δωροῦμαί σοι. καὶ μάλα χαίρων. ὁρῶ γὰρ νεανίσκον ἀν-
δρείας ἀνάμεστον καὶ βίῳ τῷ ἡμετέρῳ συντελεῖν ἐπιτήδειον. ὁ δὲ
ὁ πρεσβύτης, ἄχθος τηνάλλως, εἰς χάριν μόνην τὴν σὴν περιέστω.
τούτων καὶ λεγομένων καὶ γινομένων, ὁ μὲν ἥλιος ἀκριβῶς εἰς
δυσμὰς περιελθὼν τὸ μεταίχμιον ἡμέρας καὶ νυκτὸς σκιόφως ἀ-
πετέλεσεν. ἡ θάλασσα δὲ αἰφνίδιον ἐτραχύνετο. τάχα μὲν προ-
πὴν ἐκ τοῦ καιροῦ λαβοῦσα, τάχα δέ που καὶ τύχης τινὸς βουλήματι

μεταβληθεῖσα. καὶ βόμβος ἀνέμου κατιόντος ἠκούετο. καὶ ὅσον οὔπω πνεῦμα λάβρον τε καὶ βίαιον αὐτόθεν ἐμπεσὸν, ἀπροσδοκήτου θορύβου τοὺς λῃστὰς ἐνεπεπλήκει. τὴν μὲν ἰδίαν ἄκατον ἐκλιπόντας. ἐπὶ δὲ τὴν ὁλκάδα πρὸς τὴν διαρπαγὴν τοῦ φόρτου καταληφθέντας. ὅπῃ τε χρήσονται τῷ μεγέθει τῆς νεὼς ἀπείρως ἔχοντας. τοι γάρ τοι τῶν μὲν ναυτιλίας μέρος ὑπὸ τοῦ προστυχόντος ἐγχειριάζετο. τέχνην δὲ ἄλλος ἄλλην αὐτοδίδακτος ἐθρασύνετο. τῶν μὲν, τὰ ἱστία τεταραγμένως ἀνικόντων. τῶν δὲ, τοὺς κάλως ἀπείρως κατανεμόντων. καὶ ὁ μέν τις τὴν πρῷραν ἀδοκίμαστος ἐκληροῦτο. ὁ δὲ τὴν πρύμναν εἶχε καὶ τοὺς αὐχένας. οὐχ ἥκιστα γοῦν ἡμᾶς εἰς τὸν ἔσχατον τῶν κινδύνων ἐνέβαλεν, οὐ τὸ βίαιον τοῦ κλύδωνος οὔπω γὰρ ὁλοσχερῶς ἐπετετάρακτο. ἀλλὰ τὸ ἄτεχνον τοῦ κυβερνῶντος. ἀντισχόντος μὲν, ἐφ' ὅσον ἡμερινοῦ φωτὸς ἀπαύγασμα περιέλαμπεν. ἀπειπόντος δὲ τοῦ σκότους ἐκνικήσαντος. ἤδη δὲ καταποντιζομένων, καὶ καταδῦναι μικρὸν ἀπολιπόντων, ἐπεχείρουν τὴν πρώτην ἔνιοι τῶν λῃστῶν, εἰς τὴν ἰδίαν αὐτῶν μετεισβαίνειν ἄκατον. ἔπειτα ἐπεῖχον ὑπό τε τοῦ κλύδωνος ἐκκρουόμενοι, καὶ τοῦ Τραχίνου. πείθοντος, ὡς μυρίοις σκάφεσιν, εὐπορωτέρους ἐξέσται γενέσθαι τὴν ὁλκάδα καὶ τὸν ἐνόντα πλοῦτον διασώζουσι. καὶ τέλος καὶ τὸ καλώδιον ἐξ οὗ τῆς νεὼς ἐξήρτητο, διέκοψεν. ἄλλον χειμῶνα τοῦτον ἐφέλκεσθαι σφᾶς διατεινόμενος. καὶ ἅμα καὶ τοῦ μέλλοντος ἀσφαλοῦς προνοεῖν ὑφηγούμενος. ἐπεὶ γὰρ ὕποπτον ἀμφοτέραις προσπλεῦσαι ποι ταῖς ναυσί. τῶν ἐμπλευσάντων θατέρας πάντως ἐπιζητηθησομένων. ἐδόκει τε εἶναι πιθανὸς. καὶ δυοῖν δι' ἑνὸς τὸ περιὸν εὐδοκιμεῖν. βραχέας ῥαστώνης αἰσθομένων, ἐξ οὗ τὴν ἄκατον ἐχώρισεν. οὐ μὴν παντάπασι τῶν δεινῶν ἀπαλλαγέντων. ἀλλὰ τρικυμίαις τε ἐπαλλήλοις ἐλαυνομένων, καὶ πολλὰ τῆς νεὼς ἀποβαλόντων. καὶ κινδύνου πᾶν εἶδος ὑφισταμένων. ἕως ἐκείνης τε τῆς νυκτὸς μόλις διαδραμούσης καὶ πρὸς τῆς ἐχομένης ἡμέρας, περὶ δείλην ἀκτῇ τινι κατὰ τὸ στόμιον τοῦ Νείλου τὸ Ἡρακλεωτικὸν προσωκείλαμεν. καὶ γῆς Αἰγυπτίας ἀβουλήτως οἱ δυσδαίμονες ἐπεβαίνομεν. οἱ μὲν ἄλλοι χαίροντες. ἡμεῖς δὲ ἀνιώμενοι. καὶ πολλὰ τῆς σωτηρίας τὴν θάλατταν ὀνειδίζοντες, ὡς ἀνυβρίστῳ θανάτῳ φθονήσασαν, καὶ φοβε-

ρωτέρᾳ

αὐχένας

τρικυμίαις



ρωτέρᾳ γῇ, καὶ προσδοκίᾳ παραδοῦσαν, ἀθέμοις βουλήμασι λῃστῶν ἐκκειμένους. οἷα γὰρ καὶ ἐπεχείρουν, οὔπω χερσόν τῆς γῆς ἐπιβεβηκότες οἱ ἀλιτήριοι χαριστήρια δῆθεν Ποσειδῶνι θύειν βούλεσθαι φήσαντες οἶνον μὲν τύριον, καὶ ἄλλα ἄττα τῆς νεὼς ἐξεκόμιζον. βοσκήματα δὲ ἐκ τῶν πέριξ χωρίων τοὺς ὠνησομένους ἀπέστελλον. ἀργύριόν τε ὅσον πλεῖστον ἐγχειρίσαντες. καὶ τίμημα τὸ πρῶτον αἰτούμενον διδόναι κελεύσαντες, ὡς δὲ ἐκεῖνοι τε τάχιστα παρῆσαν, ὅλην προβάτων καὶ συῶν ἀγέλην ἐλαύνοντες. οἵ τε κατὰ χώραν μείναντες ὑποδεξάμενοι, πυράν τε ἐξῆπτον. καὶ τὰ θύματα δείραντες, εὐτρέπιζον εὐωχίαν, ὁ Τραχῖνος ἰδίᾳ με καὶ τῶν ἄλλων εἰς ἀνήκοον παραλαβὼν, ὦ πάτερ ἔφη. θυγατέρα τὴν σὴν ἐμαυτῷ γαμετὴν ἐμνηστευσάμην. καὶ τοὺς γάμους ὡς ὁρᾷς ἑστιᾶν μέλλω τήμερον, ἑορτῶν τὴν ἡδίστην θυσίᾳ τῇ τῶν θεῶν ἐπισυνάπτων. ὅπως οὖν μὴ αὐτός τε ἀνήκοος στυγνότερον συμποσιάζοις, ἥ τε παῖς διὰ σοῦ μαθοῦσα δέξηται χαίρουσα τὸ ἐσόμενον, ἐδικαίωσα προειπεῖν σοι τὴν ἐμαυτοῦ γνώμην. οὐ βεβαιωθῆναι παρὰ σοῦ ταύτην βουλόμενος. ἔχω γάρ μοι κατεγγυῶσαν τὸ βούλημα τὴν ἐξουσίαν. ἀλλ' αἴσιον ἄλλως καὶ εὐπρεπὲς δοκιμάζων, εὐπειθεστέραν εὐτρεπίσασθαι τὴν νύμφην, διὰ τοῦ φύντος προμαθοῦσαν τὸν γάμον. ἐπῄνουν τὰ εἰρημένα καὶ χαίρειν ἐνεδεικνύμην. τοῖς τε θεοῖς χάριν ὁμολογεῖν ἥτις μεγίστη, τοῖς ἄνδρα τὸν δεσποντεύοντα τῆς θυγατρὸς ἀποφήνασιν. ἀποχωρήσας τε μικρὸν, καί τινα τῶν πρακτέων ἔννοιαν ἐπ' ἐμαυτοῦ φροντίσας, ἐπανελθὼν ἱκέτευον σεμνότερον τελεσθῆναι τὰ δρώμενα. καὶ θάλαμον ἀποφῆναι τῇ κόρῃ τὴν ὁλκάδα. ἐπεισιέναι δὲ μηδένα μηδὲ ὀχλεῖν κελεύσαντα. ὡς ἂν, καὶ κόσμου τοῦ νυμφικοῦ, καὶ τῆς ἄλλης ἐπιμελείας καὶ εὐπρεπείας ἐπιμεληθῆναι κατὰ καιρὸν ἐγγένοιτο. καὶ γὰρ ἂν, εἴη πάντων ἀτοπώτατον, τὴν εὐγενείᾳ καὶ πλούτῳ κομῶσαν, καὶ τὸ μέγιστον Τραχίνου γαμετὴν ἐσομένην, μὴ δὲ ἀφ' ὧν ἔξεστιν ἁβρύνεσθαι. εἰ καὶ τὰ λαμπρότερα τῆς γαμηλίου πομπῆς ὁ καιρὸς ἡμᾶς καὶ ὁ τόπος ἀφῄρηται. διεχεῖτο πρὸς ταῦτα ὁ Τραχῖνος. καὶ χαίρων οὕτω πράξειν ἐπηγγέλλετο. καὶ προσέταξεν αὐτίκα πάντα κομισαμένους ὧν χρῄζοιεν, τοῦ λοιποῦ τῇ νηῒ μὴ πλησιάζειν. καὶ οἱ μὲν, τὰ ἐντεταλμένα ἔπραττον.

διαφόρων τραπέζας. κρατῆρας. τάπητας. παραπετάσματα. σι-
δωνίων ἔργα χειρῶν καὶ τυρίων. τἆλλα οἷς δεῖπνον ὑπηρετεῖται
πάντα ἀφειδῶς καὶ ἐπὶ τῶν ὤμων ἀκόσμως διετίθεντο πλοῦτον. ὃν
πολλοὶ πόνοι καὶ φειδωλοὶ συνήθροισαν ἀσώτῳ συμποσίῳ τῆς τύ-
χης ἐνυβρίσαι παραδούσης. ἐγὼ δὲ τὸν θεαγένην παραλαβὼν, καὶ
παρὰ τὴν χαρίκλειαν ἐλθὼν, εὑρών τε δεδακρυμένην, ὦ θύγατερ
ἔφην. εἰωθότα μὲν σοι καὶ οὐ ξένα. θρηνεῖς δ᾽ οὖν ὅμως, ἃ καὶ πρό-
τερον. ἤ τι καινότερον. ἡ δὲ, πάντα μὲν ἔφη. πρὸ πάντων δὲ τὰ
προσδοκώμενα καὶ τὴν ἐμοὶ τραχίνου πολεμίαν εὔνοιαν. ἣν εἰκὸς
» ἐκείνῳ τοῦ καιροῦ ἐπιτεῖναι. φιλεῖ γὰρ δυσημερία παράλογος, ὕβρεως
» ἔργα προκαλεῖσθαι. τραχῖνος μὲν οὖν καὶ ὁ τραχίνου στυγητὸς ἔρως
οἰμώξεται. θανάτῳ μοι προλήψει προδιαγραφησόμενος. ἐμὲ δὲ ἥτε
σὴ ἔννοια καὶ ἡ θεαγένους εἰ πρὸς τὸ τέλος χωρισθήσομαι πρὸς θρή-
νους κατήγαγε. τί ὄντα ἔφην εἰκάζεις. ὁ γὰρ τραχῖνος εἰς γάμον
τὸν αὐτοῦ τε καὶ σὸν ἀπὸ τῆς θυσίας μεταποιεῖ τὴν εὐωχίαν. ἐμοί
τε ὡς πατρὶ τὴν βουλὴν διηγόρευσεν. εἰδότι μὲν αὐτοῦ καὶ πά-
λαι τὴν ἐπὶ σοὶ μανιώδη κίνησιν, ἐξ ὧν ὁ τυρρηνός μοι περὶ τὴν ζα-
κυνθίων διείλεκτο. σιωπῶντι δὲ πρὸς ὑμᾶς. ὡς ἂν τοῖς μέλλουσιν
ἀλγεινοῖς μὴ προκάμνοιτε τὰς γνώμας, ἐνδεχομένου καὶ διαδρᾶ-
ναι τὴν ἐπιβουλήν. ἐπεὶ δὲ ὦ παῖδες πρὸς τοῦτο μὲν ὁ δαίμων ἀν-
τέπραξεν, ἐν αὐτοῖς δὲ τοῖς δεινοῖς ἐμβεβήκαμεν, φέρε τι γενναῖον
καὶ ἀπότομον ἐγχειρησάντων, ὁμόσε τῇ ἀκμῇ τοῦ κινδύνου χωρή-
σωμεν. ἢ τὸ ζῆν γενναίως καὶ ἐλευθέρως κατορθώσαντες, ἢ τὸ τε-
θνάναι σωφρόνως καὶ ἀνδρείως κερδήσαντες. ὡς δὲ ποιήσειν ὅ, τι
ἂν κελεύω καθυπέσχοντο, ὑποθέμενος τὸ πρακτέον, ἐκείνους μὲν
ἀπέλιπον, διασκευαζομένους. ἐπὶ δὲ τὸν δευτερεύοντα τραχίνου
Pelorus λῃστήν, ἐκαλεῖτο δὲ οἶμαι πέλωρος ἀφικόμενος, ἔχειν τι φράζειν
αὐτῷ κερδαλεώτερον ἔλεγον. ἐκείνου δὲ ἑτοίμως ὑπακούσαντος,
καὶ οὗ μηδεὶς ἀκροάσεται παραγεγονότος, ἀκούοις ἂν ἔφην ὦ τέ-
κνον ἐπιτετμημένως. τὸ γὰρ στενὸν τοῦ καιροῦ πολυλογίαν οὐ δέχε-
ται. ἐρᾷ σου θυγάτηρ ἡ ἐμή. καὶ θαυμαστὸν οὐδέν. ἡττήθη τοῦ βελ-
τίονος. ὑφορᾶται δὲ τὸν λῄσταρχον, ὡς εἰς γάμον παρασκευάζοντα
τὸ συμπόσιον. καὶ γάρ τι καὶ τοιοῦτον ἐνέφηνεν δυσπρεπέστερον αὐ-
τὴν



τὴν κοσμηθῆναι προστάξας. ὅρα δὴ πῶς ἂν, τοῦτο διακρούσαιο. καὶ
σαυτῷ μᾶλλον τὴν παῖδα περιποιήσειας. φησὶ γὰρ ἀποθανεῖσθαι
πρότερον ἢ τραχίνῳ γαμηθήσεσθαι. καὶ ὃς θάρσει ἔφη, πάλαι γάρ
τοι καὶ αὐτὸς τῇ κόρῃ προσπεπονθὼς, ἐφοδίου λαβέσθαι τινὸς ηὐχό-
μην. ὥστε ἢ παραχωρήσει μοι τραχῖνος ἑκὼν εἰς τὰ πρωτεῖα τῆς νύμ-
φης ἃ χρεωστοῦμαι προεμβάτης τῆς ὁλκάδος γεγονὼς, ἢ πικρόγα- χρεωστοῦμαι
μος ἔσται πρὸς τῆς δεξιᾶς, ἃ προσήκει παθών. ἀπέτρεχον
τούτων ἀκούσας, ὡς μή τινα ἐγγενέσθαι ὑπόνοιαν. καὶ τοὺς παῖδας
ἥκων ἐθάρρυνον ὁδῷ βαδίζειν τὴν σκέψιν εὐαγγελιζόμενος. ἐ-
δειπνοῦμεν ὀλίγον ὕστερον. καὶ ὅτε διαβεβρεγμένους ἤδη καὶ πρὸς
τὸ ὑβριστικώτερον παραφερομένους ᾐσθόμην, ἠρέμα πρὸς τὸν πέλω-
ρον, ἐκείμην δὲ αὐτοῦ πλησίον ἐπιτηδεύσας, εἶδες ἔφην ὅπως ἡ
κόρη κεκόσμηται; τοῦ δὲ, οὐδαμῶς εἰπόντος. καὶ μὴν ἔξεστιν εἶπον
ἰδεῖν αὐτὴν, εἰ λάθρα παρέλθοις εἰς τὴν ναῦν. οἶσθα γὰρ ὡς καὶ τοῦτο
διεκώλυσεν ὁ τραχῖνος. αὐτὴν τὴν ἄρτεμιν ὄψει προκαθημένην.
ἀλλ᾽ ὅπως τὸ παρὸν θεάσῃ σωφρόνως. μὴ σαυτῷ τε κἀκείνῃ θάνα-
τον προξενήσῃς. ὁ δὲ, μηδὲν μελλήσας ὥσ τινος τῶν ἀναγκαίων ἐπεί-
γοντος, ἀνίσταται, καὶ λαθὼν εἰστρέχει τε εἰς τὴν ὁλκάδα. καὶ
ἰδὼν τὴν χαρίκλειαν δάφνης τε φέρουσαν ἐπὶ τῇ κεφαλῇ στέφα-
νον, καὶ χρυσοϋφεῖ στολῇ καταυγάζουσαν, τὴν γὰρ ἐκ δελφῶν ἱερὰν
ἐσθῆτα ἠμφίεσο, ὡς ἢ νικητήριον ἢ ἐντάφιον ἐσομένην, καὶ τἆλ-
λα περὶ αὐτὴν φαιδρυνόμενα, καὶ σχῆμα παστάδος ἀπομιμούμενα, παστάδος
διακαίεται ὡς εἰκὸς τῇ θέᾳ. πόθου δὲ ὁμοῦ καὶ ζήλου προσπεσόντων.
καὶ δῆλος ἦν αὐτόθεν ἐπανήκων ἀπὸ τοῦ βλέμματος, ἐμμανές τι
διανοούμενος. οὔπω γὰρ σχεδὸν τι κατακλινεὶς, ἐγὼ δὲ ἔφη τὸ γέ-
ρας τὸ προεμβατήριον, τίνος ἕνεκεν οὐχὶ κομίζομαι. ὅτι ἔφη τρα-
χῖνος οὐκ ᾔτησας. ἀλλ᾽ οὐδὲ νέμησις οὐδέπω προὐτέθη τῶν εἰλημ-
μένων. καὶ ὅς, οὐκοῦν αἰτῶ τὴν κόρην τὴν αἰχμάλωτον. τοῦ τραχί-
νου δὲ παρ᾽ αὐτὴν ὃ βούλει λάμβανε εἰπόντος, ὁ πέλωρος ὑπολα-
βὼν, καταλύεις οὖν τὸν νόμον τὸν λῃστρικὸν, ὃς τῷ πρώτῳ ἐπι-
βάντι νηὸς πολεμίας, καὶ τὸν ὑπὲρ πάντων ἀγῶνα κινδυνεύσαντι
τὴν κατὰ βούλησιν ἐκλογὴν ἀπονέμει; οὐ τοῦτον εἶπεν ὁ τραχῖνος ὦ βέλ-
τιστε καταλύω. ἀλλ᾽ ἑτέρῳ νόμῳ διισχυρίζομαι, εἴκειν τοῖς ἄρχουσι

ὑπόχειρα

σπιλάδι

συνερρωγότα τὸν πόλεμον



κελεύοντι. πέπονθα δή τι πρὸς τὴν κόρην. καὶ γαμετὴν ἐμαυτῷ λαμβάνω. προτιμηθῆναι δίκαιος. σὺ δὲ εἰ μὴ τὸ κελευόμενον πράττεις, οὐκ εἰς μακρὰν οἰμώξῃ τῷδε τῷ κρατῆρι βαλλόμενος. ὁ δὲ πέλωρος ἀπιδὼν εἰς τοὺς παρόντας, ὁρᾶτε ἔφη τὰ ὑπόχειρα τῶν πόνων; οὕτω καὶ ὑμῶν ἕκαστος τοῦ γέρως ποτὲ στερηθήσεται. τί ἦν ἰδεῖν τὸ ἐντεῦθεν ὦ Ναυσίκλεις. θαλάττῃ προσεικάσαις ἄν, τοὺς ἄνδρας ἀφνιδίῳ σπιλάδι κατασεισθέντας. οὕτως ἄλογός τις ὁρμὴ πρὸς ἄφρασον αὐτοὺς ἤγειρε τάραχον. ἅτε οἴνῳ καὶ θυμῷ κατόχους γεγενημένους. οἱ μέν, γὰρ ὡς τοῦτον. οἱ δ' ὡς ἐκεῖνον ἀποκλίναντες, οἱ μὲν αἰδεῖσθαι τὸν ἄρχοντα. οἱ δέ, μὴ καταλύεσθαι τὸν νόμον ἐθορύβουν. καὶ τέλος ὁ μὲν Τραχῖνος ἐπανετείνετο, ὡς τῷ κρατῆρι πατάξων τὸν πέλωρον. ὁ δέ, προπαρεσκεύαστο γὰρ ἐγχειριδίῳ φθάνει διελαύνων τὸν μαζόν. καὶ ὁ μέν, ἔκειτο καιρίαν βεβλημένος. τοῖς λοιποῖς δὲ ἄσπονδος ἐκ τούτου πόλεμος. ἔπαιόν τε συμπεσόντες ἀλλήλους ἀφειδῶς. οἱ μέν, ὡς ἐπαμύναντες τῷ ἄρχοντι. οἱ δέ, ὡς τῷ πελώρῳ σὺν τῷ δικαίῳ προασπίζοντες. καὶ ἦν οἰμωγὴ μία. ξύλοις. λίθοις. κρατῆρσι. τραπέζαις. βαλλόντων καὶ βαλλομένων. ἐγὼ δὲ ὡς πορρωτάτω χωρήσας ἐμαυτόν, ἐπί τινος λόφου θέαν ἀκίνδυνον ἐμαυτῷ κατένεμον. οὐ μὴν οὐδὲ Θεαγένης ἀπόλεμος ἦν, οὐδὲ Χαρίκλεια. τὰ γὰρ συγκείμενα πράττοντες, ὁ μέν, ξιφήρης θατέρῳ τὰ πρῶτα μέρει συνεμάχει. παντάπασιν ἐνθουσιῶντι προσεοικώς. ἡ δέ, ὡς συνερρωγότα τὸν πόλεμον εἶδεν, ἀπὸ τῆς νεὼς ἐτόξευεν εὐσκόπως τε, καὶ μόνου τοῦ Θεαγένους φειδομένη. καὶ ἔβαλλεν οὐ καθ' ἓν τῆς μάχης μέρος. ἀλλ' ὃν πρῶτον ἴδοι, τοῦτον ἀνήλισκεν. αὐτὴ μὲν οὐχ ὁρωμένη. ἀλλὰ ῥᾳδίως πρὸς τὴν πυρκαϊὰν τοὺς ἐναντίους κατοπτεύουσα. τῶν δὲ ἀγνοούντων τὸ κακόν, καὶ δαιμονίους εἶναι τὰς πληγὰς ἐνίων ὑπονοούντων. ἕως τῶν ἄλλων πεσόντων, μόνος ὁ Θεαγένης ὑπελείφθη τῷ πελώρῳ μονομαχῶν. ἀνδρὶ τὰ πάντα γενναίῳ, καὶ φόνοις ἐγγεγυμνασμένῳ παμπόλλοις, οὐδὲν οὔτε τῆς Χαρικλείας τοξείας ἐπαμύνειν ἔτι δυναμένης. ὠδινούσης μὲν εἰς τὴν βοήθειαν. δεδοικυίας δὲ τὴν ἀστοχίαν αὐτοσχεδίου, καὶ ἐν χερσὶ τῆς μάχης αὐτοῖς ἀνθουμένης. οὐ μὴν εἰς τέλος γε ἀντέσχεν ὁ πέλωρος. ὡς γὰρ ἀποροῦσα πρὸς τὴν ἐνέργειαν συμμαχίαν ἡ

χαρίκλεια



Χαρίκλεια, λόγον ἐπίκουρον τῷ Θεαγένει διετόξευσεν. ἀνδρίζου φίλτατε ἐμβοήσασα. ἐντεῦθεν ἤδη μακρῷ τὸν πέλωρον ὑπερεῖχεν ὁ Θεαγένης. ὥσπερ ἰσχὺν αὐτῷ καὶ θάρσος τῆς φωνῆς διακονούσης. καὶ ὅτι τῆς μάχης περίεστι τὸ ἔπαθλον μηνυούσης. ἐγείρας γὰρ τὸ φρόνημα πολλοῖς ἤδη τοῖς τραύμασι πεπιεσμένον, ἐφήλατό τε τῷ πελώρῳ καὶ τῇ κεφαλῇ τὸ ἐγχειρίδιον ἐπιβαλών, τῆς μέν, ἀπέτυχεν ἐκείνου μικρὸν ἀποκλίναντος. ἄκρον δὲ τὸν ὦμον παραξέσας, τὴν χεῖρα περὶ τὴν συμβολὴν τοῦ ἀγκῶνος ἀπέκοψεν. κἀκ τούτου δέ, ὁ μὲν ἐτράπη πρὸς φυγήν. ὁ δέ, ἐδίωκε. καὶ τὰ μὲν ἄλλα τῶν μετὰ ταῦτα οὐκ ἔχω λέγειν. πλὴν ὅτι γε ἐμὲ μὲν ἔλαθεν ἐπανελθὼν ἐγκαταμείναντα τῷ λόφῳ. καὶ οὐ θαρρήσαντα τῆς νυκτὸς ἐπιμίξαι χωρίῳ πολεμουμένῳ τὴν Χαρίκλειαν δὲ οὐδαμῶς. ἀλλ' εἶδον ἡμέρας γενομένης, τὸν μέν, ἴσα καὶ νεκρῷ προκείμενον. τὴν δὲ προσκαθημένην καὶ θρηνοῦσαν. καὶ βούλεσθαι μὲν ἐπισφάττειν ἑαυτὴν ἐνδεικνυμένην. ὑπὸ δὲ ὀλίγης ἐλπίδος τοῦ τάχα ἄν, καὶ περιγενέσθαι τὸν νεανίσκον ἐπεχομένην. οὐδὲ ἔφθην ὁ δυσδαίμων εἰπεῖν τε καὶ μαθεῖν, οὐδὲ ἐπικουφίσαι παραμυθίᾳ τὴν συμφοράν, οὐδὲ τὰ ἐνδεχόμενα ἐπιμεληθῆναι. τὰ ἐκ θαλάττης κακά, τῶν ἐκ γῆς ἀδιαστάτως διαδεξαμένων. ἄρτι γὰρ ἐμοῦ καὶ ὅτε ἡμέραν εἶδον τὸν λόφον κατιόντος, λῃστρικὸν αἰγυπτίων πλῆθος ἐκ τοῦ ὑπερτείνοντος ὄρους ὡς ἐῴκει κατέτρεχεν. εἶχέν τε ἤδη τοὺς νέους καὶ ἀπῆγε μικρὸν ὕστερον, ὅσα φέρειν ἠδύνατο τῆς νεὼς ἐπικομιζόμενον. ἐγὼ δὲ τηνάλλως πόρρωθεν εἱπόμην ὀδυρόμενος, τὰς ἐμαυτοῦ τε κἀκείνων τύχας. οὔτε δὲ ἐπαμύνειν ἔχων, οὔτε ἐπιμίγνυσθαι δοκιμάζων, εἰς ἐπικουρίας ἐλπίδα ἐμαυτὸν ταμιευόμενος. οὐ μὴν ἐπήρκεσέ γε. πόθεν ἀπολειφθεὶς μὲν τότε, τοῦ γήρως ἐμποδίσαντος ἐν τοῖς ὀρθίοις μέρεσι συνεκδραμεῖν τοῖς αἰγυπτίοις. ἐπί τε τοῦ παρόντος εἰς τὴν ἀνεύρεσιν τέως τῆς θυγατρὸς θεῶν μὲν εὐμενείᾳ, σῇ δὲ ὦ Ναυσίκλεις εὐνοίᾳ χρησάμενος. αὐτὸς δὲ οὐδὲν ἐρανισάμενος. θρήνων δὲ μόνων τῶν ἐπ' αὐτοῖς καὶ ὀδυρμῶν ἀφθόνων χαριζόμενος. ἐπὶ τούτοις, ἐδάκρυε μὲν αὐτός. ἐδάκρυον δὲ οἱ παρόντες. καὶ εἰς θρῆνον

ἡδονῇ

ἀθυμίᾳ τινὶ σύγκρατον μετεβέβλητο τὸ συμπόσιον. ἐπίφορον γάρ
τι πρὸς δάκρυον οἶνος. ἕως ὁ ναυσικλῆς ἐπιθαρσύνων τὸν καλά-
σιριν, ὦ πάτερ ἔφη, σὺ δὲ εἰς τὸν ἑξῆς γοῦν εὔθυμος εἶναι χρό-
νον. τὴν μὲν θυγατέρα ἤδη τήνδε κεκομισμένος. τὸν παῖδα δὲ,
ἰδεῖν ὑπὸ τῆς νυκτὸς μόνης εἰργόμενος. εἰς ἕω γὰρ ἀφιξόμεθα πρὸς
τὸν μιτράνην, καὶ πάντα τρόπον, λύσασθαί σοι τὸν ἄριστον θεα-
γένην πειρασόμεθα. βουλοίμην ἂν, εἶπεν ὁ καλάσιρις. νῦν δὲ ὥ-
ρα γε διαλύειν τὸ συμπόσιον. μνήμη τοῦ δαιμονίου γινέσθω. καὶ
τὰς λυτηρίους τῇ σπονδῇ ἀγέσθω. ἐκ τούτου περιῄγοντο μὲν αἱ
σπονδαί. ἐλύετο δὲ τὸ συμπόσιον. ὁ καλάσιρις δὲ τὴν χαρίκλειαν
ἐσκόπει, καὶ ὡς τὴν πάροδον τοῦ πλήθους παρατηρῶν οὐκ ἐφεύ-
ρισκεν, ὀψέ τινος γυναίου φράσαντος, εἰς τὸ ἄδυτον παρελθὼν,
καταλαμβάνει τοῖς ἴχνεσι τοῦ ἀγάλματος προσπεφυκυῖαν. καὶ
δι᾽ εὐχῆς τε μακρᾶς περιολκῇ, καὶ λύπης προσβολῇ, πρὸς ὕπνον βα-
θὺν ὀλισθήσασαν. ὑποδακρύσας οὖν ὀλίγα, καὶ πρὸς τὰ βελτίο-
να τρέψαι τὰ κατ᾽ αὐτὴν ἱκετεύσας τὸν θεὸν, ἠρέμα τε ἀφυπνί-
σας, ἦγεν εἰς τὴν καταγωγὴν ἐρυθριῶσαν ὡς ἐφαίνετο διότι λά-
θοι πρὸς τοῦ ὕπνου κεκρατημένη. καὶ ἡ μὲν, εἰς τὴν γυναι-
κωνῖτιν χωρισθεῖσα, σὺν τῷ θυγατρίῳ τε τοῦ ναυ-
σικλέους κατακλινεῖσα, τὰς περιούσας ἀγρυ-
πνίᾳ διετίθετο φροντίδας.



# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙ-ΚΩΝ ΛΟΓΟΣ ε.

ὉΔΕ καλάσιρις καὶ ὁ κνήμων, κατά τι τῶν ἀνδρῶ-
νος ἑαυτοὺς ἀναπαυσάντων, ἐπειδὴ τὸ λειπόμε-
νον τῆς νυκτὸς, βράδιον μὲν ἢ ἐβούλοντο, θᾶττον δὲ
ἢ ᾤοντο διέδραμεν, οἷα δὴ περὶ τὴν εὐωχίαν
καὶ τὸ ἀπρόσκορον μῆκος τῶν διηγημάτων τῆς
πλείστης περιῳχηκυίας, οὐδὲ ἀκριβῶς ἡμέραν ἀναμείναντες, ὡς τὸν
ναυσικλέα παραγίνονται. καὶ φράζειν ὅποι τὸν θεαγένην διάγειν
οἴοιτο καὶ ἄγειν ὡς ὅτι τάχιστα παρεκάλουν. ὁ δὲ, ἐπείθετο. καὶ ἀναλα-
βὼν ἦγεν. ἡ χαρίκλεια δὲ πολλὰ ἐπιδεῖται ἱκετεύουσα, μένειν κατὰ χώ-
ραν ἐβιάσθη. ὡς οὔτε πόρρω ποι ἀφίξονται, καὶ ὡς αὐτίκα σὺν τῷ
θεαγένει ἥξουσι διεγγυωμένου τοῦ ναυσικλέους. καὶ τὴν μὲν, αὐτοῦ κα-
ταλείπουσι. λύπης τε ἐπὶ τῷ χωρισμῷ, καὶ χαρᾶς ἐπὶ τοῖς ἐλπιζο-
μένοις ἐν μεταιχμίῳ σαλεύουσαν. αὐτοὶ δὲ ἄρτι τῆς κώμης ἐκτὸς
γεγονότες, καὶ τὰς ὄχθας τοῦ νείλου περιαμείβοντες κροκόδειλον
ὁρῶσιν ἐκ δεξιῶν ἐπὶ θάτερα διερπύζοντα. καὶ τῷ ῥείθρῳ τοῦ πο-
ταμοῦ, σὺν ὀξείᾳ τῇ ῥύμῃ καταδυόμενον. οἱ μὲν δὴ ἄλλοι, συνή-
θως τε καὶ ἀθορύβως τὸ ὀφθὲν ἦγον. πλὴν ὅσον ὁ καλάσιρις κώλυ-
μά τι τῶν καθ᾽ ὁδὸν ἐπισημαίνεσθαι προύλεγεν. ὁ δὲ κνήμων, καὶ
σφόδρα ἐπτοίητο πρὸς τὴν ὄψιν. οὐδὲ ἀκριβῶς αὐτῷ τοῦ ζώου φα-
νέντος. ἀλλὰ σκιᾶς αὖ τὸ πλέον χθαμαλῆς ὑποδραμούσης. καὶ ὀλί-
γου ἔδει καὶ ὑποφεύγειν. ὁ δὴ καλάσιρις ὅσον πλεῖστον τοῦ ναυσι-
κλέους ἐγγελῶντος, ὦ κνήμων ἔφη. ἐγὼ ᾤμην νύκτωρ σε μόνον τῇ
δειλίᾳ ἐνοχλεῖν, καὶ πρὸς τοῦ σκότους σε τὸ ψοφοδεὲς ἐπιγίγνε-
σθαι. σὺ δὲ ἄρα καὶ μεθημερίαν ἤδη λίαν ὡς ἔοικε τολμηρός. καὶ
οὐκ ὀνόματά σε μόνον ἀκουόμενα, ἤδη δὲ καὶ θεάματα τῶν ἐν ποσὶ
καὶ ἀδεᾶ τάραχον ἐμβάλλει. καὶ τίνος θεοῦ ἔφη ὁ ναυσικλῆς, ἢ τί-
νος δαιμόνων ἀκούων τὴν ἐπωνυμίαν ὁ χρηστὸς ἡμῖν οὗτος οὐκ ἀνέ-
χεται. εἰ μὲν καὶ θεῶν ἀπεκρίνατο ἢ δαιμόνων, οὐκ ἔχω λέγειν. ἀν-
θρώπου δὲ ὃ καὶ πλεῖον ἐστὶ θαυμαστόν. οὐδὲ ἀνδρός τινος ἢ τῶν ἐπ᾽
ἀνδρίᾳ βεβοημένων. ἀλλὰ γυναικὸς καὶ ταύτης νεκρᾶς, ὡς αὐτός

φησὶν ἥτις λέγει τοὔνομα περίφρικε. τὴν γὰρ νυκτὸς καθ' ἣν ἀπὸ τῶν βουκόλων ἐπανῄεις ἀνασώζων ἡμῖν τὴν Χαρίκλειαν, ὦ 'γαθὲ οὐκ οἶδ' ὅπως ἢ ὅθεν οὐ λέγω τούτου παρακηκοὼς τοῦ ὀνόματος. οὐδὲ ὅσον πρὸς βραχὺ γὰρ ὕπνου μοι μεταλαβεῖν ἐνδέδωκε, συνεχὲς ὑπὸ τοῦ δέους ἐκθνήσκων. καί μου πράγματα ἔχοντος ὥστε ἀναλαμβάνειν. καὶ εἰ μὴ λυπεῖν αὐτὸν ἢ πλοεῖν ἔμελλον, εἶπον ἄν, καὶ νῦν τοὔνομα ὦ Ναυσίκλεις. ὡς ἄν, πλέον γελώης. καὶ ἅμα ἐπῆγε τὴν Θίσβην. καὶ ὁ Ναυσικλῆς, ἐγέλα μὲν οὐκέτι. συνεστάλη δὲ πρὸς τὴν ἀκοήν. καὶ σύννους ἐπὶ πλεῖστον εἱστήκει διαπορῶν, προφάσεως ἐκ ποίας ὁ Κνήμων, ἢ τίνος κοινωνίας, ἤτοι πεπόνθοι πρὸς τοὔνομα τῆς Θίσβης. ἐξεκάγχασε δὴ πρὸς ταῦτα ὁ Κνήμων. καὶ ὦ 'γαθὲ Καλάσιρι, ὁρᾷς εἶπεν, ὅση τις τοῦ ὀνόματος ἡ δύναμις, καὶ ὡς οὐκ ἐμοὶ μόνον μορμολύκειον ὡς αὐτὸς φῄς, ἀλλ' ἤδη καὶ Ναυσικλεῖ γίνεται; μᾶλλον δὲ καὶ ὁλοσχερὴς γέγονε τοῦ πάθους μετάστασις, καὶ τοὔμπαλιν, ἐγὼ μὲν γελῶ, γινώσκω γὰρ οὐκ ἔτ' οὖσαν, ὁ δὲ γεννάδας ἡμῖν Ναυσικλῆς, καὶ πολλοῦ γέλωτι τῶν ἄλλων κατατωθάζων ἐτύγχανε. πέπαυσο ἔφη ὁ Ναυσικλῆς· καὶ ἅλις σου τῆς εἰς ἐμὲ ἀμύνης ὦ Κνήμων. ἀλλὰ πρὸς ξενίων καὶ φιλίων θεῶν, πρὸς ἁλῶν καὶ τραπέζης, ὧν ὡς οἶμαι φιλανθρώπων ἐν ἡμετέροις πεπείρασθε, πόθεν τὸ Θίσβης ὄνομα, εἴτε γνωρίζετε. εἴτε πεφόβησθε, εἴτε παιδιὰν ἐμὴν πεποίησθε, καταμηνύσατε. καὶ ὁ Καλάσιρις, σὸς ἔφη ὁ λόγος ὦ Κνήμων. ὃν πολλάκις μοι διελθεῖν, γνῶσιν τε τῶν περὶ σεαυτὸν παρασχεῖν ἐπαγγειλάμενος. ἐς δεῦρο τε ποικίλαις ἀεὶ διαδύσεσιν ὑπερθέμενος, ἐν καιρῷ λέγοις ἄν. τό τε Ναυσικλεῖ τε ἅμα τῷδε χαριζόμενος, καὶ ἡμῖν τὸν πόνον τῆς ὁδοιπορίας ἐπικουφίζων. καὶ τῷ διηγήματι παραπέμπων. ἐπείθετο ὁ Κνήμων. καὶ ἔλεγεν ἅπαντα ἐπιτέμνων ὅσα ἤδη τῷ Θεαγένει καὶ τῇ Χαρικλείᾳ διηγήσατο. τὴν πατρίδα ὡς καὶ Ἀθηναῖος. τὸν πατέρα ὡς Ἀρίστιππος. καὶ τὴν Δημαινέτην ὅτι μητρυιὰ γεγόνει. καὶ δίεισι καὶ τὸν ἄθεσμον ἐπ' αὐτῷ τῆς Δημαινέτης ἔρωτα, καὶ ὡς ἀποτυγχάνουσα ἐπιβουλὴν σφίσι διάκονον εἰς τὴν ἐπιβουλὴν καθεῖσα τὴν Θίσβην. προσετίθει καὶ τὸν τρόπον. καὶ ὅτι φυγαδευθείη τῆς ἐνεγκούσης. ὡς παραλόγου τοῦ δήμου ταύτην ζημίαν ἐπιθέντος. καὶ ὡς διάγοντι περὶ τὴν Αἴγιναν, πρῶτα μὲν Χαρίας τῶν συνεφήβων τὴν Δημαινέτην ὅτι τέθνηκε, καὶ

πλοῦν

μορμολύκειον

κατατωθάζων





ὅπως ἐξαγγείλειε τῆς Θίσβης κἀκείνη τὴν ἐπιβουλὴν συνθείσης. ἔπειτα Ἀντικλῆς, ὅπως μὲν ὁ πατὴρ αὐτῷ δημεύσει τῶν ὄντων ὑποβληθείη. συστάντων ἐπ' αὐτὸν τῶν περὶ γένος τῇ Δημαινέτῃ προσηκόντων, καὶ πρὸς ὑπόνοιαν φόνου τὸν δῆμον κατ' αὐτοῦ κινησάντων. ὅπως δὲ ἡ Θίσβη τῶν Ἀθηνῶν ἀπέδρα σὺν τῷ ἐραστῇ τῷ ἐμπόρῳ τῷ Ναυκρατίτῃ. καὶ τέλος ἐπῆγεν ὁ Κνήμων, ὅτι σὺν τῷ Ἀντικλεῖ περὶ ζήτησιν τῆς Θίσβης ἐκπλεύσειεν ὡς ἐπὶ τὴν Αἴγυπτον εἴδ' ὅπως ἀνεύρων, ἀγαγών τε εἰς τὰς Ἀθήνας, λύσειε μὲν τῷ πατρὶ τὴν συκοφαντίαν, τιμωρήσαιτο δὲ ἐκείνην. καὶ πολλοῖς μὲν ἄλλοις κινδύνοις, πολλαῖς δὲ τύχαις τοῦ μεταξὺ χρόνου περιπεσών, ἁλοὺς δὲ καὶ ὑπὸ καταποντιστῶν, εἶτα πῶς διαδρὰς καὶ Αἰγύπτῳ προσορμισθεὶς αὖθις, ὑπὸ τῶν βουκόλων ληφθείη λῃστῶν. ἔνθα καὶ τὴν πρὸς Θεαγένην καὶ Χαρίκλειαν αὐτῷ γενέσθαι συντυχίαν. καὶ τὴν Θίσβης ἀναίρεσιν ἅμα κατέλεγεν, καὶ τὰ ἐπὶ τούτοις ἑξῆς, ἄχρι τῶν γνωριζομένων τῷ τε Καλασίρει καὶ τῷ Ναυσικλεῖ πάντων. ἐφ' οἷς ὁ Ναυσικλῆς μυρίας ἔστρεφε βουλάς. νῦν μὲν ἐξειπεῖν τὰ ἀμφ' αὐτῷ τε καὶ τῇ Θίσβῃ διανοούμενος, νῦν δὲ εἰσαῦθις ὑπερθέσθαι κρίνων. καὶ τέλος, μόγις ἐπέσχε. τὸ μέν τοι αὐτὸς δοκιμάζων. τὸ δὲ, καὶ ὑπὸ συντυχίας ἑτέρας ἐμποδισθείς. ἄρτι γὰρ ἑξήκοντά που στάδια διανύσαντες, καὶ ἤδη τῇ κώμῃ καθ' ἣν ὁ Μιτράνης διῆγε πλησιάζοντες, γνωρίμῳ τινὶ τοῦ Ναυσικλέους ἐντυγχάνουσι. καὶ ὅποι προθυμοῖτο οὕτως ἐσπουδασμένως ἀνηρώτων. ὁ δὲ, ὦ Ναυσίκλεις ἔφη, τὴν ὁρμὴν ἐκπυνθάνῃ τὴν ἐμὴν ὥσπερ ἀγνοῶν ὅτι μοι τὸ πρόσω; πάντα μοι πρὸς ἓν ἀποσπουδάζεται σκοπόν, ὅπη ἄν, Ἰσιάδι τῇ Χεμμιάτιδι τὰ προσταττόμενα ὑπηρετοίην. ἐκείνῃ γεωργῶ πάντα. ἐκείνῃ πορίζω. δι' ἐκείνην ἀγρυπνῶ νύκτα τε καὶ ἡμέραν. οὐδὲν ἀπαγορεύων. ἀλλά μοι ζημία καὶ μόχθος, ὁ ἄν, μὴ ἐπιτάττῃ, μέγα ἢ μικρὸν Ἰσιὰς ἐκείνη. καὶ νυνὶ δὲ θέω, ὄρνιν τινὰ τουτονὶ ὡς ὁρᾷς νείλῳον φοινικόπτερον, τὸ φιλτάτης ἐπίταγμα κομίζων. ὡς εὐγνώμονι ἔφη ὁ Ναυσικλῆς ἐρωμένῃ συμπέπλεξαι. καὶ ὡς μικρὰ λίαν αὐτῆς τὰ ἐπιτάγματα, εἴγε φοινικόπτερον, ἀλλ' οὐκ αὐτόν σοι τὸν φοίνικα τὸν ἐξ Αἰθιόπων ἢ Ἰνδῶν ὡς ἡμᾶς ἀφικνούμενον ὄρνιν ἐπέταττε. καὶ ὅς, ταῦτα μὲν ἐκείνη ἔφη χλεύην ἐμὲ συνήθως, καὶ τὰ ἐμὰ πεποίηται. ἀλλὰ ποῖ δὴ καὶ ὑμεῖς. καὶ ἐπὶ τίνα τὴν χρείαν. ὡς δὲ ὅτι παρὰ τὸν

μιτρανῶ ἐπισυλλέκασιν ἀπεκρίναντο, ἀλλὰ μάτην ὑμῖν. ἔφη καὶ
εἰς κενὸν ἡ σπουδή. Μιτράνου τὰ νῦν περὶ χώραν οὐκ ὄντος. ἀλλ' ἤδη
τοὺς Βησσαεῖς τὴν κώμην ἐνοικοῦντας βουκόλους ταύτης τῆς νυκτὸς ἐκ-
στρατεύσαντος, ὅτι δὴ τινὰ νεανίσκον αἰχμάλωτον Ἕλληνα πρὸς
Ὀροονδάτην εἰς τὴν Μέμφιν ἀπεσταλκότος. ὡς ἂν ἐκεῖθεν οἶμαι βα-
σιλεῖ τῷ μεγάλῳ δῶρον ἀναχθείη, Βησσᾶ εἷς καὶ ὁ τούτων ἔναρ-
χος ἀναχθεὶς ἔξαρχος Θύαμις, ἐξ ἐπιδρομῆς ἑλόντες ἔχουσι. καὶ
ὁ μὲν, ἔτι λέγων, ἀπέτρεχεν. ἐμοὶ δὲ ἤδη τὴν Ἰσιάδα προσιόντι εἰ-
πὼν, εἴπου με νῦν πολλοῖς τοῖς ὀφθαλμοῖς περισκοπεῖ, μὴ δή τι μοι
ἢ πρόσκρουσμα ἐρωτικὸν ἢ βραδυτὴς ἐνέγκῃ. δεινὴ δὲ ἐκείνη καὶ
ἀπροφασίστους αἰτίας, ἐγκλήματά τε καὶ ἀκκισμοὺς ἀναπλάσαι
κατ' ἐμοῦ. οἱ δὲ, ὡς τούτων ἤκουσαν, ἀχανεῖς ἐπὶ πλεῖστον εἱστήκεσαν.
πρὸς τὸ ἀνέλπιστον τῆς ἀτυχίας τῶν προσδοκηθέντων. ἀλλ' ὀψέ πο-
τε αὑτοὺς ὁ Ναυσικλῆς ἀνελάμβανεν, ὡς οὐ δέοι τὴν ἐπ' ὀλίγον ἢ
πρὸς καιρὸν ἀποτυχίαν τέλεον ἀπεγνωκέναι ἢ τῶν ἐν χερσὶν ὑπο-
τιθέμενος. ἀλλὰ νῦν μὲν χρῆναι εἰς τὴν Χέμμιν ἐπανιέναι. τῶν δὲ
πρακτέων ἐν ἐπισκέψει ἐχομένους, καὶ ὡς πρὸς ἐκδημίαν πλέο-
να συνεσκευασμένους πρὸς τὴν τοῦ Θεαγένους ἐπιζήτησιν, εἴτε πα-
ρὰ τοῖς βουκόλοις, εἴτε παρὰ ἄλλοις τισὶ πυνθάνοιντο τρέπεσθαι, ἀγα-
θὴν τῆς ἀνευρέσεως ἐλπίδα πανταχοῦ προβαλλομένους. ὡς ἢ νῦν
οὐκ ἀθεεὶ γενέσθαι δοκεῖν, τὸ δή τινι τῶν γνωρίμων ἐντυχόντας, χα-
ραγωγηθῆναι πρὸς τῶν ἀγγελθέντων, ὅποι δεῖ σφᾶς τὸν Θεαγένην μα-
στεύειν τὴν ὁρμὴν τῆς πορείας, οἷον ἤδη σκοπὸν τὴν βουκολικὴν κώ-
μην τείνοντας. ταῦτα λέγων, οὐ χαλεπῶς ἔπειθεν. ἅμα τε οἶμαι
καὶ ἑτέρας ἐλπίδος τοῖς ἀγγελθεῖσι ἀναφαινομένης. καὶ τοῦ Κνή-
μωνος πρὸς τὸν Καλάσιριν ἰδίᾳ πάνυ θαρσεῖν ὡς ὁ Θύαμις περι-
σώσει τὸν Θεαγένην διϊσχυριζομένου. ἔδοξεν οὖν ἐπανιέναι. καὶ ἐπα-
νήεσαν. τήν τε Χαρίκλειαν ἤδη τοῖς προθύροις καταλαμβάνουσι.
πόρρωθεν αὐτοὺς καὶ ἐκ πάντων κλιμάτων περισκοποῦσαν, ἢ ὡς
οὐδαμοῦ τὸν Θεαγένην ἑώρα σὺν αὐτοῖς, λύγιόν τι ἀνακωκύσασα,
ἀλλ' ἢ μόνοι μοι πάτερ ἔφη, καὶ οἵπερ ἐντεῦθεν ἐξωρμήκατε, πά-
λιν ἐπάνιτε; Θεαγένης δὲ ἄρα ὡς ἔοικε τέθνηκεν. εἴ τι φράζειν ἔχε-
τε, βᾶστον ἐξείπατε πρὸς θεῶν. μὴ δὲ ἐπιτείνητέ μοι τὴν συμφο-



φοβερά



ρὰν προλκῇ τῆς ἐπαγγελίας. ἔχει τι φιλάνθρωπον ὀξεῖα δυστυχη-
μάτων δήλωσις, τὴν ὁμόσε χώρησιν πρὸς τὸ δεινὸν τῇ ψυχῇ, καὶ
ταχεῖαν ἀπάλγησιν παρασκευάζουσα. ὑποτεμνόμενος δὴ δυσφο-
ροῦσαν ἄγαν ὁ Κνήμων, ὡς ἐργώδης σύ γε ἔφη ὦ Χαρίκλεια. ἐπί-
φορός πως ἀεὶ τυγχάνεις τὰ χείρονα μαντεύεσθαι. καὶ ψεύδη γε
ἅμα καλῶς ποιοῦσα. Θεαγένης γοῦν ἔστι καὶ σώζεται θεῶν
βουλομένων. καὶ ὅπως ἢ παρὰ τίσιν, ἐπιτεμὼν ἔλεγε. καὶ ὁ Καλά-
σιρις οὔπω ποτὲ ἠράσθης ἐξ ὧν λέγεις εἶπεν ὦ Κνήμων. ἦ γὰρ ἂν
ἔγνως, ὡς καὶ τὰ ἀδεᾶ φοβερὰ τοῖς ἐρῶσι, καὶ μόνοις ὀφθαλμοῖς
μάρτυσι πιστεύουσιν ὑπὲρ τῶν παιδικῶν. ἡ δὲ ἐκείνων ἀπουσία,
δειλίαν εὐθὺς ἤδη καὶ ἀγωνίαν ψυχαῖς ἐρωτικαῖς γίνεται. αἴτιον δὲ
καὶ πεπείκασιν ἑαυτοὺς, οὐκ ἄλλως πώποτε σφῶν ἀπολείπεσθαι τοὺς
φιλτάτους, μὴ οὐχὶ κωλύματος ἀηδοῦς ἐμποδίζοντος. ὥστε ὦ φίλος
Χαρικλείᾳ μὲν ξυγγινώσκωμεν, εὖ τὰ ἐρώτων πάθη καὶ ἀκριβῶς
νοσούσῃ. αὐτοὶ δὲ ἐντὸς θυρῶν γενόμενοι, τῶν πρακτέων φροντίζω-
μεν. καὶ ἅμα λαβόμενος τῆς χειρὸς μετά δή τινος πατρικῆς θε-
ραπείας εἰσῆγε τὴν Χαρίκλειαν. ὁ δὲ Ναυσικλῆς τὸ ἐντεῦθεν ἀνεῖ-
ναι τῶν φροντίδων αὐτοὺς βουλόμενος, καί τι καὶ ἕτερον πραγμα-
τευόμενος, ἑστίασίν τε λαμπροτέραν εἴπερ τὸ εἰωθὸς παρεσκεύασε.
καὶ μόνοις σὺν τῇ θυγατρὶ τὸ συμπόσιον ἀφῆκεν, ἁβροτέραν τε
τοῦ εἰωθότος ὀφθῆναι τὴν παῖδα καλλωπίσας, καὶ πολυτελέστε-
ρον κοσμήσας. κἀπειδὴ τῆς εὐωχίας ἱκανῶς ἔχειν ἐδόκει, λόγων πρὸς
αὐτοὺς ἄρχεται τοιῶνδε. ἐμοὶ λέγων ὦ ξένοι. θεοὶ μάρτυρες τῶν λε-
χθησομένων. ἡδὺ μὲν, καὶ εἴπερ αὐτὸν τῇδε καὶ παρ' ἐμοὶ μένοντες
ἐθέλοιτε τὸν πάντα διάγειν χρόνον. ἐπὶ κοινοῖς μὲν τοῖς οὖσι. κοι-
νοῖς δὲ τοῖς φιλτάτοις. οὐ γὰρ ὡς ἐπιδήμους ξένους. ἀλλὰ φίλους λοι-
πὸν, εὔνους τε ἐμοὶ καὶ γνησίους νενομικὼς, βάρος οὐδ' ὁτιοῦν ἅ-
παν τὸ εἰς ὑμᾶς ἐσόμενον ἡγήσομαι. ἕτοιμος δὲ καὶ τοὺς οἰκείους ἀνα-
ζητεῖν ὑμῖν βουλομένοις τὰ εἰς δύναμιν, ἕως ἂν παρεῖναι με συμβαί-
νῃ συμπράττειν. ἀλλὰ ἴστε που καὶ αὐτοὶ πάντως, ὅτι μοι βίος ἐστὶν
ἐμπορικός. καὶ ταύτην γεωργῶ τὴν τέχνην. καὶ ὡς λαμπροὶ ζέφυ-
ροι πάλαι καταπνέοντες, ἀνέῳξαν μὲν εἰς ναυτιλίαν τὴν θάλατ-
ταν. τὰ πλόϊμα δὲ τοῖς ἐμπόροις εὐαγγελίζονται. καί με καθάπερ

κήρυγμα ἡ χρεία καλεῖ, πρὸς τὴν εἰς Ἕλληνας ἐκδημίαν. δίκαια τοίνυν ἂν ποιοῖτε τί ποτε καὶ ὑμῖν βουλομένοις ἐστὶ κοινούμενοι. ὡς ἂν καὶ αὐτὸς πρὸς τὸν ἡμέτερον σκοπὸν, τὰ κατ' ἐμαυτὸν διαθοίμην. μικρὸν δὴ ἐφησυχάσαντος τοῖς εἰρημένοις ὁ Καλάσιρις, ὦ Ναυσίκλεις ἔφη. σοὶ μὲν ἐπ' αἰσίοις ὁ ἔκπλους τελοῖτο. καὶ Ἑρμῆς μὲν κερδῷος, Ποσειδῶν δὲ ἀσφάλειος, συνέμποροι καὶ πομποὶ γίγνοιντο. πᾶν μὲν τὸ πέλαγος εὔρουν καὶ εὐήνεμον παραπέμποντες. πάντα δὲ ὅρμον ἐλίμενον, καὶ πᾶσαν πόλιν εὐπρόσοδον καὶ φιλέμπορον ἀποφαίνοντες, ὅτως ἡμᾶς καὶ παρόντας προπέμποντι, καὶ ἀπιέναι βουλομένους πέμποντι. καὶ τοὺς ξενίους τε καὶ φιλίους θεσμοὺς ἀκριβοῦντι. ἀλλ' ἡμῖν ἀλγεινὸν μὲν ἴσως τὸ χωρίζεσθαί σου τε καὶ οἰκείας τῆς σῆς, ἣν ἰδίαν ἡμῶν ἡγεῖσθαι παρεσκεύασας. ἀναγκαῖον δὲ καὶ ἀπαραίτητον ἐπὶ τὴν τῶν φιλτάτων ἀνεύρεσιν, παντοίως ἀντιλαμβάνεσθαι. ἐμοὶ μὲν οὕτως καὶ Χαρικλείᾳ ταύτῃ. Κνήμωνι δὲ, τί ποτε ἡ γνώμη. καὶ εἴτε συναλητεύειν ἡμῖν καὶ χαρίζεσθαι ἕτοιμος, εἴτε ἄλλη πῃ διέγνωκεν, αὐτὸς ἂν λέγοι παρών. βουλόμενος δὴ ὁ Κνήμων πρὸς ταῦτα ἀποκρίνεσθαι, καὶ μέλλων τι ἤδη καὶ φθέγγεσθαι, ἔλυζέ τε ἀφνίδιον. καὶ ἀθρόον αὐτῷ δάκρυον θερμὸν προχυθὲν, ἐπεστόμιζε τὴν γλῶτταν. ἕως ὀψέ ποτε τὸ πνεῦμα συλλεξάμενος καὶ ἀναστενάξας, ὦ πάσης ἔφη τροπῆς ἀνάμεστον καὶ ἀσταθμητότατον τύχης ἀνθρωπίνης κίνημα. ὅσην παλίρροιαν κακῶν, ἐπί τε ἄλλων δὴ πολλῶν πολλάκις, καὶ κατ' ἐμοῦ πεφιλοτίμησαι. γένους μὲν καὶ οἰκίας πατρῴας ἐστέρησας. πατρίδος τε καὶ πόλεως καὶ τῶν φιλτάτων ἐξῴκισας. αἰγυπτίᾳ με γῇ, πολλὰ τὰ μεταξὺ σιωπῶντα προσώκειλας. λῃσταῖς βουκόλοις παρέδωκας. μικράν τινα χρηστὴν ἐλπίδα ὑπέφηνας, ἀνδρῶν συντυχίαν. δυστυχῶν μὲν καὶ τούτων, πλὴν ἀλλ' Ἑλλήνων πρυτανεύσασα. μεθ' ὧν τὸ λειπόμενον τοῦ χρόνου βιώσεσθαι ἤλπιζον. καὶ ταύτην ὡς ἔοικεν ὑποτέμνῃ τὴν παραμυθίαν. ποῖ γὰρ τράπωμαι. τί δ' ἐμὲ καὶ χρὴ πράττειν. καταλείπω Χαρίκλειαν, οὔπω Θεαγένην ἀνευρηκυῖαν; ἀλλὰ δεινὸν ὦ γῆ καὶ ἀθέμιστον. ἀλλ' ἕπεσθαί με χρὴ καὶ συναναζητεῖν; εἰ μὲν ἐπὶ προδήλῳ τῇ εὑρέσει καλὸν τὸ μοχθεῖν, ἐπ' ἐλπίδι τοῦ κατορθώσειν. εἰ δὲ ἄδηλον τὸ μέλλον καὶ πλέον τὸ

δυσχε-

συναλητεύω

Cnemonis que relae advers[us] fortunam



δυσχερὲς, ἄδηλον καὶ ποῖ ποτε στήσεταί μοι τὰ τῆς ἄλης. τί δὲ, οὐχὶ συγγνώμην παρ' ὑμῶν τε καὶ θεῶν φιλίων αἰτήσας νῦν γοῦν ποτε τῆς ἐπὶ τὴν πατρίδα καὶ τὸ γένος ἐπανόδου μνησθήσομαι, καὶ ταῦτα εἰς καλὸν ἔκ του θεῶν ὡς ἔοικε παρεμπεπτωκότος; καὶ τουτὶ Ναυσικλέους ὡς ἔφη εἰς Ἕλληνας ἀφήσειν μέλλοντος, μὴ δή μοι τι καὶ τοῦ πατρὸς ἐν τούτῳ παθόντος, ἔρημος εἰς τὸ παντελὲς διαδόχου, καὶ ἄκληρος οἶκος ἀπολειφθείη. καὶ γὰρ καὶ εἰ πένεσθαι μέλλοιμι, σώζεσθαι γοῦν τι λείψανον δι' ἐμοῦ τοῦ γένους καλὸν καὶ αὔταρκες. ἀλλ' ὦ Χαρίκλεια. σοὶ γὰρ προηγουμένως ἀπολογοῦμαι καὶ συγγνώμην αἰτῶ καὶ δέομαι. δός. ἄχρι μὲν τῶν βουκόλων ἕψομαι. μικρὸν ἐπιμεῖναι Ναυσικλέα κἂν σφόδρα ἐπείγηται παρακαλέσας. ὅπως σε Θεαγένει παρόντι ἐγχειρίσας, χρηστὸς μὲν παρακαταθήκης φύλαξ ἀποδειχθείην. ἐπὶ χρησταῖς δὲ καὶ αὐτὸς ταῖς μελλούσαις ἐλπίσι μετὰ ἀγαθοῦ τοῦ συνειδότος χωριζοίμην. εἰ δὲ ἀποτύχοιμεν ὃ μὴ γένοιτο, καὶ οὕτω συγγνωστός. ὅτι δὲ δὴ μόνην σε οὐδὲ τότε καταλιπὼν, ἀλλ' ἀγαθόν σοι φύλακα καὶ πατέρα Καλάσιριν τουτονὶ παρακαταστήσας. ἡ δὲ Χαρίκλεια τόν τε Κνήμωνα ἐκ πολλῶν ἤδη συμβάλλουσα τοῦ Ναυσικλέους ἐπὶ τὸ θυγάτριον ἐπτοημένον, ὀξὺς γὰρ ὁ ἐρῶν φωρᾶσαι τὸν ἀπὸ τῶν ἴσων παθῶν κεκρατημένον, καὶ τὸν Ναυσικλέα πρὸς τῶν ὑπ' αὐτοῦ λεχθέντων συνεῖσα, ὡς ἀσμένως γένοιτο ἄν, τὸ κῆδος, καὶ πάλαι τοῦτο πραγματεύεται, καὶ τὸν Κνήμωνα ἐμπορεύεται ποικίλως ἐφελκόμενος, καὶ ἅμα οὐδὲ εὐπρεπῆ λοιπὸν τῆς ὁδοῦ κοινωνὸν οὐδὲ ἀνύποπτον ἡγουμένη τὸν Κνήμωνα, ὡς δή σοι φίλον ἔφη, τῆς μὲν ἐπὶ τοῖς προϋπηργμένοις παρὰ σοῦ χρηστοῖς εἰς ἡμᾶς χάριτος, κεχρεωστημένης καὶ ὁμολογουμένης. ἐπὶ δὲ τοῖς λειπομένοις, οὐ πάντως ἐπούσης ἀνάγκης τὰ ἡμέτερα ἐκφροντίζειν. οὐδὲ ἀλλοτρίαις τύχαις καὶ ἄκοντα συγκινδυνεύειν. ἀλλὰ σὺ μὲν Ἀθήνας τὰς σὰς, καὶ γένος καὶ οἰκίαν τὴν σὴν κομίσαιο. Ναυσικλέα τουτονὶ, καὶ τὴν δι' αὐτοῦ παραπεσοῦσαν ὡς φῂς πρόφασιν, οὐδαμῶς προωσάμενος. ἐγὼ δὲ καὶ Καλάσιρις πρὸς τὰ συμπίπτοντα μαχησόμεθα. ἕως ἂν τὸ τέλος τῆς πλάνης εὕρωμεν. εἰ καὶ ἀνθρώπων μηδεὶς συνεφέποιτο, θεοὺς συνεμπόρους ἔχειν καταπιστεύοντες. ὑπολαβὼν δὲ πρὸς ταῦτα ὁ Ναυσικλῆς,

χαρί-

ἀνύποπτον

κεχρεωστημένης

χαρίκλεια μὲν ἔφη κατ' εὐχὰς ἀποβαίη. καὶ θεοὶ συνέμποροι κατὰ τὴν αὐτῆς αἴτησιν γίγνοιντο. καὶ εἰς τὰ οἰκεῖα κομίζοιντο. οὕτως οὖσα γενναία μὲν τὸ λῆμα, συνετὴ δὲ τὸ φρόνημα. σὺ δὲ ὦ κνήμων, εἴτε θίσβην οὐκ ἄγεις εἰς τὰς ἀθήνας, ἀγάλλε, καὶ ταῦτα ἔχων ὑπόδικον ἐμὲ τουτονὶ τῆς κατ' ἐκείνην ἁρπαγῆς. καὶ τῆς ἐκ τῶν ἀθηνῶν ὑπεξαγωγῆς. ὁ γὰρ ἔμπορος ὁ ναυκρατίτης ὁ θίσβης ἐραστὴς οὗτος ἐγώ. εἰ γάρ σοι φίλον καὶ ἐμοὶ φανείη, χρημάτων δὲ εὐπορήσεις συχνῶν. οἶκον τε ἀπολήψῃ καὶ πατρίδα τὴν σήν. ἐμοῦ κατάγοντος. γῆμαι τε βουλομένῳ θυγατέρα ταυτηνὶ τὴν ἐμὴν ἁρμόζω ναυσίκλειαν, προῖκα ἐπιδοὺς, αὐτῆς μὲν πλείστην ὅσην. τῇ παρὰ σοῦ δὲ πάλιν εἰληφέναι κρίνων, δι' οὗ γένος καὶ οἶκον καὶ ἔθνος τὸ σὸν ἐγνώρισα. πρὸς ταῦτα οὐδὲ πρὸς βραχὺ διαμελλήσας ὁ κνήμων, ἀλλὰ πάλαι δι' εὐχῆς τε καὶ ἐπιθυμίας ἔχων ἃ οὐκ ἤλπιζε, ταῦτα ὑπὲρ εὐχὴν ἀπροσδόκητον λαμβάνων, ἅπαντα ἔφη δέδεγμαι ἃ καταγγέλλεις ἄσμενος. ἅμα δὲ τῇ δεξιᾷ προτείναντι τὸ θυγάτριον ὁ ναυσικλῆς ἐνεχείριζε καὶ κατηγγύα. ἐπὶ τὸν ὑμέναιον ᾄδεσθαι πρὸς τῶν οἰκείων ἐγκελευσάμενος, χορείας ἐν πρώτοις ἐξῆρχε. εἰς αὐτοσχέδιον γάμον, τὸ παρὸν συμπόσιον ἀναδείξας. οἱ μὲν δὴ ἄλλοι, πρὸς χοροῖς ἦσαν. καὶ τὸν ὑμέναιον ἀπρόσκλητον ἐπὶ τοῖς θαλάμοις ἐκώμαζον. καὶ γαμήλιος παννυχὶς τὴν οἰκίαν κατέλαμπεν. ἡ χαρίκλεια δὲ χωρισθεῖσα μόνη τῶν ἄλλων, ἐπὶ τὸ συνῆθες ἔρχεται δωμάτιον. καὶ τὰς θύρας εἰς τὸ ἀσφαλὲς ἐπικλεισαμένη, πρὸς οὐδενός τε ὀχλεῖσθαι πεπιστευκυῖα, βακχιόν τι οἰστρηθεῖσα, τάς τε κόμας ἀφειδῶς λύεται, καὶ θοιμάτιον περιρρηξαμένη, φέρε ἔφη καὶ ἡμεῖς δαίμονι τῷ εἰληχότι χορεύσωμεν κατὰ τὸν ἐκείνου τρόπον. ᾄσωμεν αὐτῷ θρήνους καὶ γόους ὑπορχησώμεθα. ζόφος δὲ ἐπηχείτω. καὶ νὺξ ἀλαμπὴς ἡγείσθω τῶν δρωμένων. τοῦ δὲ τοῦ λύχνου τῇ γῇ προσαρραχθέντος. οἵας γὰρ δὴ καὶ ἐφ' ἡμῖν τὰς παστάδας ἐπήξατο. οἷον τὸν θάλαμον ἀνέδειξε. μόνην μὲν ἔχει με ἐπὶ ἀνύμφευτον δαίμων ὁ εἰληχώς με. τὸν δὲ μέχρις ὀνόματος νυμφίον, οἴμοι, χορεύει κνήμων. γαμεῖ. θεαγένης τε ἀληθεύει. καὶ ταῦτα αἰχμάλωτος. ἢ τάχα καὶ δέσμιος. καὶ ταῦτα ἂν, εἴη τὰ εὐτυχέστερα. σώζοιτο μόνον. ναυσίκλεια νυμφεύεται. κἀμοῦ διέζευκται, ἡ



ὑπόδικον

αὐτοσχέδιον

∴ ἀλητεύει



μέχρι τῆς παρελθούσης ὁμόκοιτος. χαρίκλεια δὲ καὶ μόνη. καὶ ἔρημος. καὶ οὐ τῶν ἐπ' ἐκείνοις ἡμῖν μέμψις, ὦ τύχη καὶ δαίμονες. ἀλλὰ καὶ πράττοιεν κατὰ γνώμην. τῶν δὲ καθ' ἡμᾶς, ὅτι μὴ δὲ τούτοις ἡμῖν ἐξ ἴσου κέχρησθε. οὕτω τὸ δρᾶμα τὸ περὶ ἡμᾶς, εἰς ἄπειρον ἐμηκύνατε. καὶ πᾶσαν λοιπὸν σκηνὴν ὑπερφθέγγεται. ἀλλὰ τί ταῦτα ἀωρεὶ θεκλαθοῦμαι. τελείσθω καὶ τὰ ἐξῆς, ὅποι τοῖς θεοῖς φίλον. ἀλλ' ὦ θεάγενες. ὦ μόνη μοι γλυκεῖα φροντίς. εἰ μὲν τέθνηκας, καὶ τοῦτο παθεῖν ὃ μή ποτε γνοίην, τότε μέν σοι συνεῖναι οὐχ ὑπερθήσομαι. τὸ παρὸν δέ σοι, τὰς δὲ ἐπιφέρω χοάς. καὶ ἅμα ἔτιλλε τὰς τρίχας, καὶ ἐπὶ κλίνην ἐπέβαλλε. καὶ τὰς δὲ ἐπιχέω τὰς σπονδὰς ἐκ τῶν σοι φίλων ὀφθαλμῶν. καὶ αὐτίκα διάβροχος ἦν ἡ στρωμνὴ τοῖς δάκρυσιν. εἰ δέ μοι περισώζῃ καλῶς γε ποιῶν, δεῦρο ἐπὶ συναναπαῦσαι φίλος ὄναρ γοῦν ὀφθείς. φείδου δὲ ἐπὶ τότε ὦ γαθέ. καὶ φύλαττε νομίμῳ γάμῳ τὴν σὴν παρθένον. μὴ δὲ καθ' ὕπνους συγγένῃ. ἰδού σε καὶ περιπτύσσομαι. παρεῖναι καὶ ὁρᾶν ὑπονομίζουσα τιθεμένη. καὶ ἅμα λέγουσα, ῥίπτει κατὰ τῆς κλίνης ἐπὶ πρόσωπον αὑτὴν ἀθρόον. καὶ περιχυθεῖσα περιέβαλλε. λύζουσά τε καὶ βρύχιον ἀναστένουσα. ὡς αὐτὴν ὑπὸ τῆς ἄγαν λύπης, ἀχλύς τε καὶ ἴλιγγος ὑποδραμὼν, καὶ τὸ νοερὸν τῆς ψυχῆς ζοφώσας πρὸς ὕπνον ἔλαθεν ὑποφέρων. καὶ εἰς ἡμέραν ἤδη λαμπρὰν κατέχων. ὥστε καὶ ὁ καλάσιρις θαυμάζων, καὶ παρὰ γε τὸ εἰωθὸς οὐχ ὁρωμένην ἐπιζητῶν, ἐπὶ τὸν θάλαμον ἀφικόμενος, ἔπαιέ τε σφοδρότερον τὰς θύρας, καὶ ὀνομαστὶ συνεχῶς χαρίκλειαν ἀνακαλῶν, ἀφύπνιζεν. ἡ δὲ, πρὸς τὸ αἰφνίδιον τῆς κλήσεως διεταράχθη. καὶ ὡς κατελήφθη σχήματος ἐπὶ τὰς θύρας ὁρμήσασα, τόν τε μοχλὸν παρήνεγκε. καὶ πρὸς εἴσοδον τῷ πρεσβύτῃ διέστελλεν. ὁ δὲ, ὡς εἶδε τῆς τε κόμης τὸ ἄτακτον, καὶ τὸν χιτῶνα κατερρωγότα περὶ τοῖς στήθεσι, καὶ ὄμμα ἔτι κυμαῖνον, συνίησι μὲν τὴν αἰτίαν. ἀγαγὼν δὲ αὖθις ἐπὶ τὴν κλίνην, καὶ καθίσας, ἐφεστρίδα τε ἐπέβαλε. καὶ πρὸς τὸ εὔσχημον περιστείλας, τί ταῦτα ἔφη χαρίκλεια. τί λίαν οὕτω ἐπὶ ἄμετρα δυσφορεῖς. τί δὲ οὕτως ἐκφρόνως ἥττων γίγνῃ τῶν προσπιπτόντων. οὐδέ σε γνωρίζω τὸ παρόν, ἀεὶ γενναίαν καὶ σώφρονα τύχας ἐνεγκεῖν τὸ πρόσθεν ἐγνωκώς. οὐ παύσῃ τῆς ἄγαν ταύτης ἀνοίας; οὐκ ἐν-

νοήσεις, ἄνθρωπος οὖσα πρᾶγμα ἀστάθμητον, καὶ ὀξείας ῥοπὰς ἐφ'
ἑκάτερα λαμβάνων; τί σαυτὴν προκαταιρεῖς, βελτιόνων ἴσως ἐλ-
πίδων. φεῖσαι καὶ ἡμῶν ὦ τέκνον φεῖσαι. εἰ μή γε σαυτῆς, ἀλλὰ θεα-
γένους. ᾧ βίος ὁ σὺν σοὶ μόνος αἱρετός. καὶ ἐπὶ σοὶ σωζομένῃ τὸ εἶναι
κέρδος. ἠρυθρία τούτων ἀκούσασα ἡ χαρίκλεια. καὶ πλέον ἐν οἷοις κα-
τέληπτο γινώσκουσα. σιωπήσασά τε ἐπὶ πλεῖστον ὡς ἐνέκειτο πρὸς τὴν
ἀπόκρισιν ὁ καλάσιρις, ἀληθῆ μὲν ἔφη ἐπιτιμᾷς. ἀλλ' ἴσως ἐμοὶ
συγγνωστὰ ὦ πάτερ. οὐ γάρ με δημώδης, οὐδὲ νεωτερίζουσά τις
ἐπιθυμία πρὸς ταῦτα διεξάγει τὴν ἀθλίαν. ἀλλὰ καθαρός τε καὶ
σωφρονῶν. ἀπειρά του μὲν, ἀλλ' ἐμοί γε ἀνδρὸς πόθος. καὶ τούτου θεα-
γένους. λυποῦντός με καὶ ὅτι μὴ σύνεστι. πλέον δὲ εἰ περίεστιν ἢ μή,
φοβοῦντος. ἀλλὰ τούτου γε ἕνεκα θάρσει ἔλεγεν ὁ καλάσιρις. ὡς
ὄντος ἐκείνου καὶ συνεσομένου θεῶν νευόντων. εἴπερ τι χρὴ, τοῖς
τε προθεσπισθεῖσι περὶ ὑμῶν, χρὴ δὲ πιστεύειν καὶ τῷ διαγγείλαντι
χθιζόν, ὡς εἴληπται ὑπὸ θυάμιδος εἰς τὴν μέμφιν ἀναπεμπόμενος.
εἰ δὲ εἴληπται, δῆλον ὡς καὶ σώζεται. φιλίας αὐτῷ πρὸς τὸν θύαμιν
καὶ γνώσεως προϋπαρχούσης. καιρὸς δὴ μὴ μέλλειν. ἀλλὰ σπευ-
στέον ὡς ἔνεστιν ἡμῖν τάχους ἤδη βλέπουσαν τὴν κώμην, καὶ ἀναζητη-
τέον, σοὶ μὲν τὸν θεαγένην. ἐμοὶ δὲ πρὸς τούτῳ καὶ τὸν υἱόν, οἶσθα που
πάντως προακηκουῖα, παῖδα ἐμὸν εἶναι τὸν θύαμιν. καὶ ἡ χαρίκλεια
γενομένη σύννους, εἰ μὲν δὴ ἔφη παῖς ἐστι σοι θύαμις, καὶ ἔστιν ὁ σὸς,
ἀλλὰ μὴ ἕτερος, καὶ ἄλλος, νῦν μὲν δὴ τὰ ἡμέτερα πρὸς κίνδυνον
ἐλαύνει τὸν μέγιστον. θαυμάσαντος δὲ καὶ τὴν αἰτίαν ἐρομένου τοῦ
καλασίριδος, οἶσθα εἶπεν ὡς αἰχμάλωτος ἐλήφθην ὑπὸ τῶν βου-
κόλων. ἐκεῖ τοίνυν καὶ τὸν θύαμιν ὑπηγάγετο πρὸς τὸν κατ' ἐμοῦ
πόθον, ἡ δυστυχῶς μοι προσεῖναι δοκοῦσα τῆς ὄψεως ὥρα. καὶ δέος
εἰ ἀναζητοῦντες ἐντύχοιμεν, μὴ ὀφθεῖσαν ἐκείνην εἶναι με ταύτην
ὑπομνησθεὶς, τὸν γάμον ὅν ποτέ μοι προτεινόμενον παρ' αὐτοῦ διε-
κρουσάμην ἐπινοίαις, εἰς ἔργον ἄγειν βιάσηται. καὶ ὁ καλάσιρις. μὴ
οὕτω μὲν ποτὲ ἐπιθυμία κρατήσειεν, ὡς καὶ τὴν πατρῴαν ὄψιν
ὁρωμένην ὑπεροφθῆναι. καὶ ὄμματα τοῦ φύντος μὴ καταιδέσαι
τὸν παῖδα, κολάσαι τὴν εἴπερ καὶ ἔστιν οὐκ ἔννομον ὄρεξιν. ὅμως
δ' οὖν κωλύει γὰρ οὐδὲν, τί οὐχὶ καὶ μηχανήν τινα πρὸς τὸ διαγρά-
φειν

ἄνθρωπ(ος) πρᾶγμα ἀστάθμητον καὶ ὀξ(είας) =
ῥοπὰς ἐφ' ἑκάτερα λαμβάνων



φὴν τῶν φοβούντων ἐπινοεῖς. δεινὴ δέ τις ἔοικας εἶναι σοφίζουσα
κατὰ τῶν ἐπιχειρούντων, διαλύσεις τε καὶ ὑπερθέσεις. ἀνείθη πρὸς
ταῦτα ἡ χαρίκλεια. καὶ εἰ μὲν ἐληλυθυίας εἶπεν, ἢ παιδιάν με πε-
ποίησαι, παρείσθω τὸ παρόν. ἐγὼ δὲ τέχνην ἅμα τῷ θεαγένει μὲν
καὶ πρότερον ἐπιχειρηθεῖσαν, ὑπὸ δὲ τῆς τύχης διακοπεῖσαν, ἐ-
σηγήσομαι καὶ νῦν ἐπ' ἀμείνοσι ταῖς τύχαις. τῆς γὰρ νήσου τῆς βου-
κολικῆς ἀποδρᾶναι δεηθεῖσιν, ἔδοκει τὴν ἐσθῆτα μεταμφιασαμέ-
νους δὴ τὸ λυπρότερον, καὶ πτωχοῖς ἑαυτοὺς ἀπεικάσαντας, οὕτως
ἐπιμίγνυσθαι κώμαις τε καὶ πόλεσιν. εἰ δὴ συναρέσκει, πλατ-
τώμεθα τὸ σχῆμα καὶ πτωχεύωμεν. οὕτω γὰρ ἧττόν τε ἐπιβουλευ-
σόμεθα πρὸς τῶν τυγχανόντων. ἀσφάλεια γὰρ ἐν τοῖς τοιούτοις ἡ «
εὐτέλεια. οἴκτου τε μᾶλλον ἢ φθόνου πέλας ἡ πενία. τῆς τε κα- «
θημέραν ἀναγκαίας τροφῆς ῥᾷον εὐπορήσομεν. ξένη γὰρ ἐν γῇ, τὸ «
μὲν ὤνιον, σπάνιον τοῖς ἀγνοοῦσι. τὸ δὲ αἰτούμενον, εὐμετάδοτον «
τοῖς ἐλεοῦσιν. ἐπῄνει ταῦτα ὁ καλάσιρις. καὶ ἔχεσθαι τῆς ὁδοιπο- «
ρίας ἐπέσπευδε. τοῖς τε περὶ τὸν ναυσικλέα καὶ κνήμωνα ἐντυγ-
χάνοντες, τήν τε ἔξοδον κοινωσάμενοι, εἰς τρίτην ἐξώρμησαν.
οὔτε ὑποζύγιον καί τοι διδόμενον, οὔτε ἀνθρώπων οὐδένα συ-
νέμπορον ἀναδεχόμενοι. τοῦ τε ναυσικλέους καὶ κνήμωνος προπεμ-
πόντων, καὶ ἄλλου τῆς οἰκίας πλήθους. προύπεμπε δὲ καὶ ἡ ναυσί-
κλεια πολλὰ τὸν πατέρα ἐπιτρέψαι καθικετεύσασα τῆς νυμφι-
κῆς αἰδοῦς, ὑπὸ φίλτρου τοῦ περὶ τὴν χαρίκλειαν ἐκνικηθεῖσα. καὶ
ὅσον πέντε σταδίους προελθόντων, ἠσπάζοντό τε ἀλλήλους τὰ τε-
λευταῖα ἤδη γένος, καὶ τὰς δεξιὰς ἐνέβαλλον. ἐπιδακρυσάντων
δὲ ὅσον πλεῖστον, καὶ ἤδη βελτίοσι χωρισθῆναι ταῖς τύχαις ἐπευ-
ξάμενοι, τοῦ κνήμωνος δὲ καὶ εἰς συγγνώμην αἰτοῦντος εἰ μὴ συμπο-
ρεύοιτο, νεοπήκτους ἔτι τοὺς θαλάμους ἔχων, ἐπικαταλήψεσθαί
τε εἰ καιρὸς γένοιτο πλανωμένους, διεχωρίσθησαν, οἱ μὲν ἤδη χέμ-
μιν. ἡ χαρίκλεια δὲ καὶ ὁ καλάσιρις, πρῶτα μὲν εἰς πτωχικὸν
πλάσμα μετημφιέννυντο. ῥάκεσιν ἑαυτοὺς προπαρεσκευα-
σμένοις ἐξευτελίσαντες. ἔπειτα δὲ ἡ χαρίκλεια. τό, τε πρό-
σωπον ἐνύβριζεν, ἀσβόλου τε ἐντρίψει καὶ πηλοῦ καταχρί-
σει μολύνασα. καὶ κρηδέμνου ξυπῶντος τὸ κράσπεδον ἀπὸ



οἴκτου μᾶλλον
ἢ φθόνου πέλας
ἡ πενία

μετώπου κατὰ θατέρου τοῖν ὀφθαλμοῖν, εἰς ἄτακτον περικάλυμμα ἀπο-
σβέσας. πήραν γε ὑπὸ μάλης οὑτωσὶ μὲν ἰδεῖν, ψωμῶν τινῶν καὶ
ἀκόλων δῆθεν ταμιεῖον. χρυσοδέτερον δὲ τῆς ἱερᾶς ἐκ Δελφῶν ἐσθῆ-
τος, καὶ τῶν στεμμάτων. τῶν τε συνεκτεθέντων μητρώων κειμη-
λίων, καὶ γνωρισμάτων, εἰς ὑποδοχὴν ἐξῆπτο. ὁ δὲ Καλάσιρις τὴν
μὲν φαρέτραν τῆς Χαρικλείας τετρυχωμένοις κωδίοις ἐνειλήσας,
ὡς δή τι φορτίον ἕτερον ἐπὶ τῶν ὤμων ἐγκάρσιον ἔφερε. τὸ δὲ τό-
ξον τῆς νευρᾶς παραλύσας, ἐπειδὴ τάχιστα πρὸς τὸ εὐθύτερον ἀνε-
κάμφθη, βακτηρίαν ταῖν χεροῖν ἐποιεῖτο. πολύς τε αὐτῇ καὶ βα-
ρὺς ἐμπίπτων. καὶ εἴ ποι τισὶν ἐντευξόμενος προΐδοι, κυφότητά
τε πλέον ἐπετήδευεν, ἢ τὸ γῆρας ἐπηνάγκαζε. καὶ τοῖν σκελοῖν
θάτερον παρέσυρεν. πρὸς τῆς Χαρικλείας ἔσθ' ὅτε χειραγωγούμενος
κἀπειδὴ τὰ τῆς ὑποκρίσεως αὐτοῖς διηκρίβωτο, μικρὰ καὶ ἐπισκώ-
ψαντες εἰς ἀλλήλους, καὶ ὡς πρέπει τὸ σχῆμα θάτερος θατέρῳ ἐ-
πιχλευάσαντες, τόν τε εἰληχότα δαίμονα στῆσαι τὰ δεινὰ, μέχρι γοῦν
τούτων καὶ ἀρκεσθῆναι παρακαλέσαντες, ἐσπούδαζον ἐπὶ Βῆσσαν τὴν
κώμην. οὗ τόν τε Θεαγένην καὶ τὸν Θύαμιν ἐλπίσαντες εὑρήσειν,
ἀπετύγχανον. ἄρτι γὰρ τῇ Βήσσῃ περὶ δύσιν ἡλίου πλησιάζοντες,
πλῆθος νεκρῶν κειμένων νεοσφαγῶν ὁρῶσι. τῶν μὲν πλειόνων,
Περσῶν εἶναι τῇ στολῇ καὶ καθοπλίσει γνωριζομένων. ὀλίγων δέ τι-
νων ἐγχωρίων. καὶ πολέμου μὲν εἶναι τὸ δρᾶμα εἴκαζον. τίνων δὲ,
καὶ πρὸς τίνας, ἠπόρουν. ἕως ἐπιπαριόντες τοὺς νεκροὺς καὶ ἅμα πε-
» ρισκοποῦντες, μή πού τις κεῖται καὶ τῶν οἰκείων. δειλαὶ γὰρ αἱ ψυ-
» χαὶ περὶ τοῖς φιλτάτοις τὰ δεινότερα μαντεύεσθαι. γυναίῳ περι-
» τυγχάνουσι πρεσβυτικῷ. σώματι τῶν ἐγχωρίων προσπεφυκότι.
καὶ παντοίους ἐγείροντι θρήνους. ἔγνωσαν οὖν ἐπιχειρεῖν τι παρὰ τῆς
πρεσβύτιδος εἰ οἷόν τε ἐκμανθάνειν. καὶ παρακαθισάμενοι, πρῶ-
τα μὲν παραμυθεῖσθαί τε καὶ καταστέλλειν τῶν ἄγαν θρήνων ἐπειρῶν-
το. ἔπειτα προσιεμένης ὅν τινα πενθοίη, καὶ τίς ὁ πόλεμος ἠρώ-
των. τοῦ Καλασίριδος πρὸς τὸ γύναιον αἰγυπτιάζοντος. ἡ δὲ,
ἔλεγεν ἅπαντα ἐπιτέμνουσα. ἐφ' υἱῷ μὲν εἶναι κειμένῳ τὸ πέν-
θος. καὶ ἐπιτετηδευκέναι τὴν εἰς τοὺς νεκροὺς ἄφιξιν. εἴ πη τις δια-
λάσας τοῦ ζῆν ἀπαλλάξειε. τέως μέντοι τὰ νομιζόμενα τῷ παιδὶ
ἐκ τῶν

καταστέλλειν τῶν ἄγαν θρήνων



ἐκ τῶν ἐνόντων δακρύουσάν τε καὶ θρηνοῦσαν ἐπιφέρειν. τὸν δὲ πό-
λεμον ἔλεγεν ὧδε. ἤγετο ξένος νεανίας τις κάλλει τε καὶ μεγέθει
διαφέρων. ὡς Ὀροονδάτην τοῦ μεγάλου βασιλέως ὕπαρχον εἰς τὴν
Μέμφιν. ἀπεστάλητο δὲ οἶμαι παρὰ Μιτράνου τοῦ φρουράρχου ληφθεὶς
αἰχμάλωτος, ὥς τι τῶν μεγίστων δώρων, ὡς φασί. τοῦτον οἱ τῆς κώ-
μης τῆς ἡμετέρας ταυτησί, δείξασα τὴν ἐχομένην, ἐπελθόντες γνω-
ρίζειν, εἴτ' οὖν ἀληθεύοντες, εἴτε καὶ πρόφασιν πλάσαντες ἔλε-
γον. ὁ δὴ Μιτράνης ταῦτα πυθόμενος, καὶ κατὰ εἰκὸς ἀγανακτή-
σας, ἐπιστρατεύει τῇ κώμῃ, δυσὶ ταύτης πρότερον ἡμέραις. καὶ
ἔστι γὰρ μαχιμωτάτου ἡ κώμη γένος. βίον ἀεὶ τὴν λῃστείαν πεποιη-
μένοι. καὶ θανάτου παντὸς ὑπερόπται. καὶ πολλὰς δὴ διὰ τοῦτο
πολλάκις, ἄλλας τε κἀμὲ τὸ πρὶν, ἀνδρῶν τε καὶ παίδων χηρώ-
σαντες. ἐπειδὴ τὴν ἔφοδον ἐσομένην ἐτεκμήραντο, προλοχίζουσι
τινὰς ἐνέδρας. καὶ δεξάμενοι τοὺς ἐναντίους, ἐπικρατέστεροι γίνον-
ται. οἱ μὲν, κατὰ στόμα καὶ ἐκ τοῦ εὐθέος μαχόμενοι. οἱ δὲ, κατό-
πιν ἐκ τῶν λόχων ἀπροσφυλάκτοις σὺν βοῇ τοῖς Πέρσαις ἐπελθόν-
τες. καὶ πίπτει μὲν ὁ Μιτράνης ἐν πρώτοις μαχόμενος. πίπτουσι
δὲ σὺν αὐτῷ σχεδὸν ἅπαντες. οἷα δὲ κυκλωθέντες, καὶ οὐδὲ φυ-
γῆς τόπον εὐμοιρήσαντες. πίπτουσι δὲ καὶ τῶν ἡμετέρων ὀλίγοι.
καὶ γίνεται τῶν ὀλίγων βαρείᾳ βουλήσει δαίμονος, καὶ ὁ παῖς ὁ
ἐμὸς, βέλει περσικῷ πρὸς τὰ στέρνα ὡς ὁρᾶτε βληθείς. καὶ νῦν ἡ ἀ-
θλία, τὸν μὲν θρηνῶ κείμενον. τὸν δὲ ἔτι μοι μόνον περιλειπό-
μενον, ἔοικα θρηνήσειν. ἐκστρατεύσαντος οὖν κἀκείνου τῇ προτε-
ραίᾳ μετὰ τῶν λοιπῶν ἐπὶ τὴν Μεμφιτῶν πόλιν. ἐπυνθάνετο καὶ
τὴν αἰτίαν τῆς ἐκστρατείας ὁ Καλάσιρις. καὶ ἡ γραῦς ἀκηκοέναι πα-
ρὰ τοῦ λειπομένου παιδὸς προστιθεῖσα ἔλεγε. διότι στρατιώτας
βασιλέως καὶ φρούραρχον μεγάλου βασιλέως ἀνελόντες ἐπὶ μὴ πε-
πραγμένοις καλῶς, εἶδον ἐκεῖνο καλῶς, μὴ εἰς μικρὸν αὐτοῖς ἀλλ'
εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον τὸ πρᾶγμα τελευτήσειν. Ὀροονδά-
του τοῦ κατὰ τὴν Μέμφιν ὑπάρχου, πλείστῃ τε χειρὶ πεφραγμένου, καὶ
αὐτίκα εἰ πύθοιτο, κατὰ πρώτην ἔφοδον σαγηνεύσαντος τὴν κώ-
μην. καὶ πανωλεθρίᾳ τῶν ἐνοικούντων δίκην εἰσπράξοντος. οἷα
δὴ οὖν τὸν περὶ τῶν ὅλων ἀναρριπτοῦντες κίνδυνον, ἔγνωσαν με-

γάλα τολμήματα. μείζοσιν εἰ δυνατὸν ὠνήσασθαι. καὶ φθῆναι τὴν ὀροονδάτου παρασκευήν. ἀπροσδόκητοί τε ἐπεισπεσόντες, ἢ προσανελεῖν κἀκεῖνον εἰ ἤδη τὴν Μέμφιν ὄντα καταλάβοιεν, ἢ εἴπερ ἐκδημῶν τυγχάνοι, πολέμου τινὸς αὐτὸν ὥς φασιν αἰθιοπικοῦ τανῦν ἀπασχολοῦντος. ῥᾷον τε τὴν πόλιν παραστήσασθαι, τῶν ὑπερμαχομένων ἔρημον. καὶ αὐτοῖς τε ἐκτὸς κινδύνου γενέσθαι τὸ παρόν, καὶ προσκατορθώσειν τῷ θυάμιδι ληστάρχῳ τῷ σφῶν, τὴν τῆς προφητείας ἱερωσύνην. καὶ οὐκ ἤδη νόμον παρὰ τοῦ ἀδελφοῦ νεωτέρου κατεχομένην, ἀνακομίσασθαι. ἢ εἴπερ καὶ ἀποτυγχάνειν συμβαίνοι, πολέμου γοῦν ἔργον μαχομένους γενέσθαι. μὴ δὲ ἄλλως ἁλῶναι καὶ ταῖς περσικαῖς αἰκίαις καὶ ὕβρεσιν ἐκκεῖσθαι. ἀλλ' ὦ ξένοι ποῖ δὴ τὸ νῦν ἀφίξεσθε. εἰς τὴν κώμην ὁ καλάσιρις εἶπεν. ἡ δὲ, οὐκ ἀσφαλὲς ὑμῖν ἔφη, τῆς τε ὥρας ἀωρὶ καὶ οὐδὲ γνωριζομένοις, συμμῖξαι τοῖς ὑπολειπομένοις. ἀλλ' εἰ ξεναγοίης ἔφη ὁ καλάσιρις, οὐκ ἀπελπίδος ἡμῖν ἤδη τῆς ἀσφαλείας. οὔ μοι καιρὸς ἀπεκρίνατο ἡ πρεσβῦτις. νυκτερινοὺς γάρ τινας ἐναγισμοὺς ἐπιτελέσαι μοι πρόκειται. ἀλλ' εἰ δὴ φόρτον ὑμῖν, ἐπάναγκες δὲ καὶ μὴ βουλομένοις, αὐτοῦ που καὶ τῶν νεκρῶν ἐν καθαρῷ μικρὸν ἀναχωρήσαντες, τὴν μὲν νύκτα ἐγκαρτερήσατε. τὴν ἕω δὲ ὑμῖν πρόξενος ἐγὼ τῆς ἀδείας ξεναγοῦσα γενήσομαι. ταῦτα εἰπούσης ὁ καλάσιρις ἅπαντα πρὸς τὴν χαρίκλειαν φράσας καὶ παραλαβὼν, μεθίσατο. καὶ μικρὸν ὅσον τοὺς κειμένους ὑπερβάντες, βουνῷ τινὶ χαμαιζήλῳ προστυγχάνουσι. κἀνταῦθα ὁ μὲν, κατέκλινεν ἑαυτὸν, τῇ κεφαλῇ τὴν φαρέτραν ὑποθέμενος. ἡ χαρίκλεια δὲ καθῆστο. τὴν πήραν εἰς καθέδραν ποιησαμένη. ἄρτι δὲ τῆς σεληναίας ἀνισχούσης, καὶ φωτὶ λαμπρῷ τὰ πάντα καταυγαζούσης, τρίτη γὰρ μετὰ πανσέληνον ἐτύγχανεν, ὁ μὲν καλάσιρις οἷα δὴ πρεσβυτικός τε ἄλλως, καὶ πρὸς τῆς ὁδοιπορίας κοπωμένος, ὕπνῳ κατείχετο. ἡ χαρίκλεια δὲ ὑπὸ τῶν συνεχόντων φροντισμάτων διαγρυπνοῦσα, σκηνῆς τινος οὐκ εὐαγοῦς μὲν, ταῖς δὲ αἰγυπτίαις ἐπιχωριαζούσης, θεωρὸς ἐγίγνετο. ἡ γὰρ πρεσβῦτις ἀνενοχλήτου καὶ ἀκατόπτου σχολῆς ἐπειλῆφθαι νομίσασα, πρῶτα μὲν ὠρύξατο. ἔπειτα πυρκαϊὰν ἑκατέρου μέρους ἐξῆψε. καὶ μέσον ἀμφοῖν τὸν νεκρὸν τοῦ παιδὸς προθεμένη κρατῆρά τε

ὀστρακίν



ὀστρακίνου ἔκ τινος παρακειμένου τρίποδος ἀνελομένη, μέλιτος ἐπέχει τῷ βόθρῳ. καὶ αὖθις ἐξ ἑτέρου γάλακτος. καὶ οἶνον ἐκ τρίτου ἐπέσπενδεν. εἶτα πέμμα στεάτινον εἰς ἀνδρὸς μίμημα πεπλασμένον. δάφνῃ καὶ μαλάθῳ καταστέψασα, εἰς τὸν βόθρον ἐνέβαλεν. ἐφ' ἅπασι δὲ ξίφος ἀνελομένη, καὶ πρὸς τὸ ἐνθουσιῶδες σοβηθεῖσα, καὶ πολλὰ πρὸς τὴν σεληναίαν βαρβάροις τε καὶ ξενίζουσι τὴν ἀκοὴν ὀνόμασι κατευξαμένη, τὸν βραχίονα ἐντεμοῦσα, καὶ δάφνης ἀκρέμονι τοῦ αἵματος ἀποψήσασα τὴν πυρκαϊὰν ἐπεψέκαζεν. ἄλλα τε ἐπὶ τούτοις τερατευσαμένη πρὸς τούτοις ἤδη τὸν νεκρὸν τοῦ παιδὸς προκύψασα, καί τινα πρὸς τὸ οὖς ἐπάδουσα, διήγειρέ τε, καὶ ἀθρόον ἑστάναι τῇ μαγγανείᾳ κατηνάγκαζεν. ἡ χαρίκλεια δὴ οὖν οὐδὲ τὰ πρῶτα ἀδεῶς κατοπτεύουσα, τότε δὴ καὶ ὑπέφριττε. καὶ πρὸς τῶν γινομένων ἀήθων ἐκδειματωθεῖσα, τὸν καλάσιριν ἀφυπνίζεται. καὶ θεατὴν γενέσθαι τῶν δρωμένων παρασκευάζει. αὐτοὶ μὲν οὖν ἅτε ἐν σκότῳ διάγοντες, οὐχ ἑωρῶντο. κατώπτευον δὲ τὰ ἐν τῷ φωτὶ, καὶ πρὸς τῇ πυρκαϊᾷ ῥᾷον καὶ τῶν λεγομένων οὐ πόρρωθεν ὄντες ἐπηκροῶντο. τῆς γραὸς ἤδη καὶ γεγωνότερον ἐκπυνθανομένης παρὰ τοῦ νεκροῦ. καὶ ἦν ἡ πεῦσις, εἴπερ ὁ ἀδελφὸς μὲν ὁ ἐκείνου, παῖς δὲ αὐτῆς ὁ λειπόμενος ἐπανήξει περισωθείς. ὁ δὲ, ἀπεκρίνατο μὲν οὐδέν. ἐπινεύσας δὲ μόνον, καὶ τῇ μητρὶ τὰ κατὰ γνώμην ἐλπίζειν ἀμφιβόλως ἐνδοὺς, κατηνέχθη τε ἀθρόον, καὶ ἔκειτο ἐπὶ πρόσωπον. ἡ δὲ, ἐπιστρέφει τε τὸ σῶμα πρὸς τὸ ὕπτιον, καὶ οὐκ ἀνίει τὴν πεῦσιν. ἀλλὰ βεβαιοτέροις ὡς ἐῴκει τοῖς κατανάγκαις πολλὰ τοῖς ὠσὶν αὖθις ἐπάδουσα. καὶ μεθαλλομένη ξιφήρης, ἄρτι μὲν πρὸς τὴν πυρκαϊὰν, ἄρτι δὲ ἐπὶ τὸν βόθρον, διήγειρέ τε αὖθις. καὶ ὀρθωθέντος, περὶ τῶν αὐτῶν διεπυνθάνετο. μὴ νεύμασι μόνον, ἀλλὰ καὶ φωνῇ τὴν μαντείαν ἀρισήμως δηλοῦν ἐπαναγκάζουσα. καὶ τῆς πρεσβύτιδος ἐν τούτοις, ἡ χαρίκλεια πολλὰ τὸν καλάσιριν καθικέτευε, τοῖς γιγνομένοις πλησιάσαντας, πυνθάνεσθαί τι καὶ αὐτοὺς περὶ τοῦ θεαγένους. ὁ δὲ, παρῃτεῖτο φάσκων καὶ τὴν θέαν οὐκ εὐαγῆ μὲν, κατ' ἀνάγκην δ' οὖν ὅμως γινομένην ἀνέχεσθαι. οὐ γὰρ οὐ προφητικὸν οὔτε ἐπιχαίρειν, οὔτε παρεῖναι τοῖς τοιοῖσδε πράξεσιν. ἀλλὰ τὸ μαντικὸν,

τάχοις

μαγκανεία

ἀρίσημως

τούτοις μὲν ἐκ θυσιῶν γινομένων καὶ εὐχῶν καθαρῶν παραγίνεσθαι, τοῖς δὲ βεβήλοις καὶ περὶ γῆν τῷ ὄντι τὸ σῶμα νεκρῶν εἰλουμένοις, οὕτως ὡς τὴν αἰγυπτίαν ὁρᾶν, ἡ τοῦ καιροῦ περίπτωσις ἐνεδίδου. ἔτι δὲ λέγοντος, ὁ νεκρὸς οἷον ἐκ μυχοῦ τινος, ἢ σπηλαίου φαραγγώδους βαρύ τι καὶ δυσηχὲς ὑποτρύζων, ἐγὼ μὲν ἔφη σου τὰ πρῶτα ἐφειδόμην ὦ μᾶτερ. καὶ παρανομοῦσαν εἰς τὴν ἀνθρωπείαν φύσιν, καὶ τοὺς ἐκ μοιρῶν θεσμοὺς ἐκβιαζομένην, καὶ τὰ ἀκίνητα μαγγανείαις κινοῦσαν ἠνεχόμην. σώζεται γὰρ ἡ περὶ τοὺς φύντας αἰδὼς ἐφ᾽ ὅσον οἷόν τε καὶ ἐν τοῖς ἀποιχομένοις. ἀλλ᾽ ἐπειδὴ καὶ ταύτην ἀναιρεῖς τὸ κατὰ σαυτήν, καὶ ἐλαύνεις, οὐκ ἀθεμίτοις μόνον τὴν ἀρχὴν ἐπιχειρήσασα, ἀλλ᾽ ἤδη καὶ εἰς ἄπειρον τὸ ἀθέμιτον ἐπεξάγουσα, οὐκ ὀρθοῦσθαι μόνον καὶ νεύειν, ἀλλὰ καὶ φθέγγεσθαι σῶμα νεκροῦ ἐκβιαζομένη, κηδείας μὲν τῆς ἐμῆς ἀμελοῦσα, καὶ ταῖς λοιπαῖς ἐπιμίγνυσθαι ψυχαῖς ἐμποδίζουσα, χρείας δὲ μόνης γινομένης τῆς σῆς, ἄκουε ταῦθ᾽ ἃ πάλαι σοι μηνύειν ἐφυλαττόμην. οὔτε ὁ παῖς σοι περισωθεὶς ἐπανήξει, οὔτε αὐτὴ τὸν ἀπὸ ξίφους ἐκφεύξῃ θάνατον. ἀλλὰ δὴ τὸν σαυτῆς βίον, ἐν οὕτως ἀθέσμοις πράξεσι καταναλώσασα, τὴν ἀποκεκληρωμένην πᾶσι τοῖς τοιούτοις βιαίαν οὐκ εἰς μακρὰν ὑποστήσῃ τελευτήν. ἥτις πρὸς τοῖς ἄλλοις, οὐδὲ ἐπὶ σαυτῆς τὰ οὕτως ἀπόρρητα καὶ σιγῇ καὶ σκότῳ φυλαττόμενα μυστήρια δρᾶν ὑπέμεινας. ἀλλ᾽ ἤδη καὶ ἐπὶ μάρτυσι τοσούτοις τὰς τῶν κειμένων ἐξορχῇ τύχας. ἑνὶ μὲν προφήτῃ. καὶ τοῦτο μὲν ἔλαττον. σοφὸς γὰρ τὰ τοιαῦτα σιγῇ πρὸς τὸ ἀνεκλάλητον ἐπισφραγίσασθαι. καὶ ἄλλως θεοῖς φίλος. τοὺς γοῦν παῖδας εἰς τὸν δι᾽ αἵματος ἀγῶνα καὶ ξιφήρεις καθισταμένους, καὶ μονομαχήσειν μέλλοντας, ἀποκωλύσει τε καὶ παύσει φανεὶς εἴπερ ἐπισπεύσειεν. ἀλλ᾽ ὃ δὴ βαρύτερον ὅτι καὶ κόρη τις τῶν ἐπ᾽ ἐμοὶ γίνεται θεωρὸς καὶ πάντων ἐπακροᾶται. γύναιον ὑπ᾽ ἔρωτος σεσοβημένον. καὶ πᾶσαν ὡς εἰπεῖν ἐρωμένου τινὸς ἕνεκεν γῆν ἀλώμενον. ᾧ μετὰ μυρίους μὲν μόχθους, μυρίους δὲ κινδύνους, γῆς ἐπ᾽ ἐσχάτοις ὅροις τύχῃ σὺν λαμπρᾷ καὶ βασιλικῇ συμβιώσεται. τούτων εἰρημένων, ὁ μὲν, ἔκειτο καταρραγείς. ἡ γραῦς δὲ συνεῖσα τοὺς ξένους εἶναι τοὺς κατασκόπους, ὡς εἶχε σχήματος ξιφήρης τε καὶ ἐμμανὴς πρὸς αὐτοὺς ἵεται. καὶ κατὰ πᾶν μέρος τῶν

κειμένων



κειμένων ἐφοίτα. τοῖς νεκροῖς ἐγκεκρύφθαι αὐτοὺς ὑποπτεύουσα. γνώμην δὲ ποιουμένη, διαχρήσασθαι εἰ ἀνεύροι. ὡς ἐπιβούλους τε καὶ πρὸς ἐναντίους τοῖς αὑτῆς μαγγανεύμασι κατασκόπους γεγενημένους. ἕως ἀπερίσκεπτον ὑπὸ θυμοῦ τὴν κατὰ τοὺς νεκροὺς ἔρευναν ποιουμένη, ἔλαθεν ὀρθωμένῳ κλάσματι δόρατος, κατὰ τοῦ βουβῶνος περιπαρεῖσα. καὶ ἡ μὲν, ἔκειτο. τὴν ἐκ τοῦ παιδὸς μαντείαν οὕτω παραπόδας ἐνδίκως πληρώσασα.

# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΩΝ ΛΟΓΟΣ Ζ.

Ο ΔΕ καλάσιρις καὶ ἡ χαρίκλεια παρὰ τοσοῦτον ἐλθόντες κινδύνου, καὶ ἅμα μὲν τῶν παρόντων φόβων ἐκτὸς ἑαυτοὺς ποιούμενοι, ἅμα δὲ τῶν μαντευθέντων ἕνεκεν ἐπισπεύδοντες, τὴν ἐπὶ τὴν μέμφιν ὁδὸν σπουδαιότερον εἶχοντο. καὶ δὴ καὶ ἐπλησίαζον τῇ πόλει τῶν ἐκ τῆς νεκυίας μεμαντευμένων, ἤδη κατ᾽ αὐτὴν τελουμένων. ὡς γὰρ ὁ θύαμις τὸ ἀπὸ τῆς βήσσης λῃστρικὸν ἐπάγων ἐφίστατο, οἱ μὲν κατὰ τὴν μέμφιν ὀλίγον ὅσον ἔφθησαν τὰς πύλας ἐπικλεισάμενοι, στρατιώτου τινὸς τῶν ἀπὸ μιτράνου διαδράντων τὴν κατὰ τὴν βῆσσαν μάχην. προειδόντος τε τὴν ἔφοδον, καὶ τοῖς ἐν τῷ ἄστει προμηνύσαντος. ὁ δὲ θύαμις περί τι μέρος τοῦ τείχους τὰ ὅπλα κατατίθεσθαι κελεύσας, διανέπαυέ τε ἅμα ἐκ συντόνου τῆς ὁδοιπορίας τὸν στρατὸν, καὶ ὡς πολιορκήσων δῆθεν ἐποιεῖτο γνώμην. οἱ δὲ κατὰ τὴν πόλιν, πρότερον μὲν ὡς πλῆθος τὸ ἐπιὸν καταδείσαντες. ἀπὸ δὲ τῆς ἐκ τῶν τειχῶν κατασκοπῆς ὀλίγους εἶναι τοὺς ἐπελθόντας καταγνόντες, ὥρμησαν μὲν καὶ αὐτίκα τοὺς ἐγκαταλελειμμένους ὀλίγους εἰς φρουρὰν τῆς πόλεως τοξότας τε καὶ ἱππέας ἀναλαβόντες, καὶ τὸν ἀστικὸν δῆμον τοῖς προστυχοῦσιν ἐξοπλίσαντες, ἐξελθεῖν τε καὶ συμπεσεῖν εἰς μάχην τοῖς ἐναντίοις. πρεσβυτικοῦ δέ τινος καὶ τῶν ἐπὶ δόξης διακωλύσαντος, καὶ ἐκδιδάξαντος διότι καὶ εἰ τὸν σατράπην ὀροονδάτην ἀπεῖναι συμβαίνει τανῦν ἐπὶ τὸν αἰθιοπικὸν ἐκστρατεύσαντος πόλεμον, ἀλλὰ καὶ

ε ἀρσάκῃ

∴ θεῶν

Ἀρσάκῃ οὖν τῇ ἐκείνου γαμετῇ δίκαιον, πρότερον ἀνακοινοῦσθαι τὴν πρᾶξιν. ὡς ἂν, μετὰ γνώμης τῆς ἐκείνης τὸ εὑρισκόμενον ἐπὶ τὴν πόλιν στρατιωτικὸν, ῥᾷόν τε συλλαμβάνοι καὶ προθυμότερον. ἐδόκει δὲ ταῦτα καλῶς εἰρῆσθαι. καὶ ἐπὶ τὰ βασίλεια πάντες ὥρμησαν. ταῦτα ἐχόντων εἰς κατοίκησιν τῶν σατραπῶν, βασιλέως μὴ παρόντος. ἡ δὲ Ἀρσάκη τὰ μὲν ἄλλα καλή τε ἦν καὶ μεγάλη. καὶ συνεῖναι δραστήριος. τό τε φρόνημα ἐξ εὐγενείας ὑπέρογκον. καὶ οἷον εἰκὸς τὴν ἀδελφὴν βασιλέως τοῦ μεγάλου γεγονυῖαν. ἄλλως δὲ τὸν βίον ἐπίμωμος. καὶ ἡδονῆς παρανόμου καὶ ἀκρατοῦς ἐλάττων. πρὸς γοῦν ἄλλοις καὶ τῷ Θυάμιδι παραιτία τῆς ἐκ Μέμφεως φυγῆς ἐγεγόνει ποτέ. ἄρτι γὰρ τοῦ Καλασίριδος διὰ τὰ ἐκ θεῶν αὐτῷ περὶ τῶν παίδων προθεσπισθέντα τῆς Μέμφεως ἑαυτὸν λάθρα πάντων ὑπεξῳκίσαντος, καὶ ἀφανοῦς ὄντος, ἢ καὶ ἀπολωλέναι δοκοῦντος, τοῦ δὲ Θυάμιδος ὡς ἂν πρεσβυτέρου παιδὸς ἐπὶ τὴν προφητείαν κληθέντος, καὶ τὰς εἰσιτηρίους θυσίας πανδημεὶ τελοῦντος, ἐντυχοῦσα ἐπὶ τὸν νεὼν τῆς Ἴσιδος ἡ Ἀρσάκη νεανίσκῳ χαρίεντι καὶ ἀκμάζοντι, καὶ πρὸς τῆς ἐν χερσὶ πανηγύρεως πλέον ὡραϊσμένῳ, ὀφθαλμούς τε ἐπέβαλεν οὐ σώφρονας καὶ νεύματα τῶν αἰσχροτέρων αἰνίγματα. καὶ ταῦτα μὲν Θύαμις οὐδὲ ἐπὶ μικρὸν προσίετο. φύσει τε καὶ ἐκ παίδων εὖ πεφυκὼς τὰ εἰς σωφροσύνην. καὶ τὰ πρὸς ἐκείνης δρώμενα, πόρρω τε ἦν ὡς ἐδρᾶτο ὑποπτεύειν. καὶ τυχὸν ἄλλως πως γίνεσθαι ὑπετίθετο. τῶν ἱερῶν ὅλος γινόμενος. ὅ γε μὴν ἀδελφὸς αὐτοῦ Πετόσιρις, καὶ πάλαι ζηλοτυπίαν ἐπ' αὐτῷ νοσῶν τῆς ἱερωσύνης, τάς τε προσβολὰς τῆς Ἀρσάκης παρατηρήσας, ἀφορμὴν εἰς ἐπιβουλὴν τοῦ ἀδελφοῦ τὴν ἐκείνης οὐκ ἔννομον πεῖραν ἐποιήσατο. καὶ τῷ Ὀροονδάτῃ λάθρα προσιὼν κατεμήνυεν. οὐ τὴν ἐκείνης ὄρεξιν μόνον, ἀλλ' ἤδη καὶ ὡς ὁ Θύαμις συγκατατίθοιτο προσεπιψευδόμενος. ὁ δὲ, ῥᾳδίως πεισθεὶς, ἐξ ὧν τὴν Ἀρσάκην προϋπώπτευε, τῇ μὲν, κατ' οὐδὲν ἠνώχλει. σαφῆ τε ἔλεγχον οὐκ ἔχων. καὶ ἅμα φόβῳ καὶ αἰδοῖ τῇ πρὸς τὸ βασίλειον γένος εἴ τι καὶ ὑπώπτευεν ἀνέχεσθαι βιαζόμενος. τῷ μέντοι γε Θυάμιδι θάνατον ἐκ παῤῥήσεως συνεχῶς διαπειλῶν, οὐ προσανῆκεν, ἄχρις οὗ τὸν μὲν ἐφυγάδευσε, τὸν Πετόσιριν δὲ εἰς τὴν προφητείαν ἐγκατέστησεν.

ἐπίμωμος

Petosiris

προσβολάς

παῤῥήσεως

ἐφυγάδευσε



σεν. ἀλλὰ ταῦτα μὲν χρόνοις ἐγεγόνει προτέροις. τότε δ' οὖν ἡ Ἀρσάκη τοῦ πλήθους ἐπὶ τὴν οἴκησιν αὐτῆς συῤῥυέντος, καὶ τήν τε ἔφοδον τῶν ἐναντίων διδασκόντων, ἤδη καὶ αὐτὴ προπεπυσμένη, καὶ τοῖς οὖσι τῶν στρατιωτῶν ἐπιτρέψαι συνεξελθεῖν αὐτοῖς αἰτούντων, οὐκ ἂν ἔφη ταῦτα προχείρως οὕτως ἐπιτρέψειν, οὔπω μὲν τὸ πλῆθος τῶν πολεμίων ὅσον, οὔπω δὲ, οἵ τινες εἰσὶν ἢ πόθεν εἰδυῖα. καὶ πρός γε οὐδὲ τὴν πρόφασιν δι' ἣν ἐπεληλύθασι γινώσκουσα. χρῆναι οὖν ἄχρι τῶν τειχῶν διαβῆναι πρότερον. καὶ ἅπαντα ἐκεῖθεν κατοπτεύσαντας, καὶ ἄλλους συλλαβόντας, οὕτω τοῖς δυνατοῖς καὶ λυσιτελοῦσιν ἐπιχειρεῖν. ἐδόκει καλῶς εἰρῆσθαι καὶ ὥρμησαν ὡς εἶχον ἐπὶ τὸ τεῖχος. ἔνθα σκηνὴν ὑπὸ ἁλουργέσι καὶ χρυσοϋφέσι παραπετάσμασιν ἐκ προστάγματος ἡ Ἀρσάκη πηξαμένη, πολυτελῶς τε αὑτὴν καλλωπίσασα, καὶ ἐφ' ὑψηλῆς καθέδρας προκαθίσασα, τούς τε σωματοφύλακας ἐν ὅπλοις ὑποχρύσοις περιστήσασα, κηρύκειόν τε εἰς εἰρηνικῶν διαλέξεων σύμβολον ἀναδείξασα, τοὺς πρώτους καὶ ἐπιδόξους τῶν ἐναντίων, πλησίον ἥκειν τοῦ τείχους προὔτρεπεν. ὡς δὲ ὁ Θύαμις καὶ ὁ Θεαγένης αἱρεθέντες ὑπὸ τοῦ πλήθους, ἀφίκοντο καὶ ἔστησαν ὑπὸ τῷ τείχει. τὰ μὲν ἄλλα ὡπλισμένοι. γυμνοὶ δὲ τοῦ κράνους, ὁ κῆρυξ τάδε ἔλεγεν. Ἀρσάκη λέγει πρὸς ὑμᾶς. Ὀροονδάτου μὲν τοῦ πρώτου σατράπου γυνή. μεγάλου δὲ βασιλέως ἀδελφή. τί βουλόμενοι καὶ τίνες ὄντες, ἢ τίνα αἰτίαν ἐπάγοντες, τὴν ἔφοδον ἐτολμήσατε. οἱ δὲ, τὸ μὲν πλῆθος εἶναι Βησσαέων ἀπεκρίναντο. ἑαυτὸν δὲ ὁ Θύαμις ὅστις εἴη, καὶ ὅτι παρανομηθεὶς ὑπό τε τοῦ ἀδελφοῦ Πετοσίριδος καὶ Ὀροονδάτου, τῆς τε προφητείας ἐξ ἐπιβουλῆς ἀφαιρεθεὶς, ἐπὶ ταύτην ὑπὸ Βησσαέων κατάγοιτο. καὶ εἰ μὲν ἀπολαμβάνοι ἱερωσύνην, εἰρήνην τε εἶναι, καὶ Βησσαέας εἰς τὴν οἰκείαν ἐπανήξειν. οὐδὲν κατ' οὐδὲν λυμηναμένους. εἰ δὲ μὴ, πολέμῳ κρίνειν καὶ τοῖς ὅπλοις ἐπιτρέψειν. χρῆναι δὲ καὶ Ἀρσάκην εἴπερ τι διανοεῖται τῶν προσηκόντων εἰς καιρὸν τῆς εἰς αὐτὴν ἐπιβουλῆς ἐκ Πετοσίριδος τὴν ἄμυναν εἰσπράττεσθαι. καὶ τῶν ἀθεμίτων διαβολῶν, ἃς ψευδῶς πρὸς Ὀροονδάτην πεποιημένος, ἐκείνην μὲν πρὸς τὸν ἄνδρα παρανόμου καὶ αἰσχρᾶς ἐπιθυμίας ὑποψίαν. αὐτῷ δὲ τὴν ἐκ τῆς πατρίδος φυγὴν ἐπιβεβουλευκὼς τυγχάνοι. πρὸς ταῦτα διεταράχθη μὲν,

καὶ σύμπαν τὸ μεμφιτῶν πλῆθος, τόν τε θύαμιν ἀναγνωριζόντων, καὶ τὴν ἀπροσδοκήτου φυγῆς αὐτῷ τὴν αἰτίαν, ἣν ἀρχῆς μὲν καὶ ἡνίκα ἐγίγνετο ἀγνοήσαντων, ἐκ δὲ τῶν λεχθέντων διὰ ὑποψίας τε ἀγόντων, καὶ ἀλήθειαν εἶναι πιστευόντων. ἡ δὲ ἀρσάκη πλέον ἢ σύμπαντων συνεχύθη τὴν διάνοιαν καὶ κλύδωνι φροντισμάτων περιεστοίχιστο. θυμοῦ μὲν ἐπὶ τὸν πετόσιριν πληρουμένη. καὶ πρὸς τὰ πάλαι συμβάντα τὴν διάνοιαν ἀναπεμπάζουσα, ὅπως ἂν τιμωρήσαιτο συνέταττε. τὸν δὲ θύαμιν ὁρῶσα, καὶ αὖθις τὸν θεαγένην, διεσπᾶτο τὴν διάνοιαν, καὶ ἐμερίζετο εἰς τὴν πρὸς ἑκάτερον ἐπιθυμίαν. ἔρωτα ἐπ' ἀμφοτέροις τὸν μὲν, ἀνανεουμένη. τὸν δὲ δριμύτερον ἄρτι τὴν ψυχὴν καταβαλλομένη. ὥστε οὐδὲ τοὺς περιεστηκότας ἔλαθεν ἀδημονοῦσα. πλὴν ἀλλὰ μικρὸν διαλιποῦσα, καὶ ὥσπερ οἱ ἐξ ἐπιλήψεως ἑαυτὴν ἀναλαβοῦσα, πολέμου μὲν ὦ βέλτιστοι ἔφη μανίαν ἐνοσήσατε. πάντων μὲν Βησσαεῖς, οὐχ ἥκιστα δὲ ὑμεῖς. ἀκμαῖοι καὶ χαρίεντες οὕτω νεανίαι καὶ εὖ γεγονότες. ὡς γινώσκω τε, καὶ εἰκάζειν πάρεστιν εἰς πρόδηλον κίνδυνον ὑπὲρ λῃστῶν καὶ ταῦτα ἑαυτοὺς καθέντες. οὐδὲ πρὸς τὴν πρώτην προσβολὴν εἰ μάχης διοίσειν ἀρκέσοντες. μὴ γὰρ οὕτω τὰ μεγάλου βασιλέως ἀσθενήσειεν, ὡς εἰ καὶ τὸν σατράπην ἀπεῖναι συμβαίνει, μὴ διὰ τῶν λειψάνων γοῦν τῆς ἐνταῦθα στρατιᾶς, ἅπαντας ὑμᾶς συγκλεισθῆναι. ἀλλ' οὐδὲν οἶμαι δεῖ τρίβεσθαι τοὺς πολλοὺς, καὶ τῆς περὶ τὴν ἔριδον προφάσεως ἰδίας τινῶν οὔσης, ἀλλ' οὐ δημοσίας οὐδὲ κοινῆς, μὴ οὐχὶ καὶ ἰδίᾳ τὴν ἀμφισβήτησιν κρίνεσθαι. καὶ ὥρας τὸ ἐκ θεῶν τε καὶ δίκης αὐτῆς ὁρισθησόμενον ἐκδέχεσθαι. δοκεῖ δή μοι ἔφη καὶ προστάττω, τοὺς μὲν ἄλλους μεμφιτῶν τε καὶ Βησσαέων, ἡσύχους εἶναι. μὴ δὲ ἀπροφάσιστον ἀλλήλοις ἐπιφέρειν πόλεμον. τοὺς δὲ τῆς προφητείας ἀμφισβητοῦντας, πρὸς ἀλλήλους μονομαχήσοντας, ἔπαθλον τῷ νικῶντι προθέσθαι τὴν ἱερωσύνην. ταῦτα τῆς ἀρσάκης εἰπούσης, οἱ μὲν, κατὰ τὴν πόλιν ἅπαντες ἀνεβόησαν, καὶ τὰ εἰρημένα ἐπῄνουν. ἅμα μὲν εἰς ὑποψίας μοχθηρᾶς προαιρέσεως κατὰ τοῦ πετοσίριδος κεκινημένοι, ἅμα δὲ καὶ τὸν ἐν ὀφθαλμοῖς καὶ ἄλλων οὔπω προσδοκώμενον κίνδυνον, αὐτός τις ἕκαστος εἰς τὸν δι' ἑτέρων ἀγῶνα διώσασθαι δοκιμάζων. οἱ πολλοὶ δὲ Βησσαέων ἐά-





κεσαν οὐκ ἀρεσκομένοις. οὐδὲ ἐκδοῦναι προκινδυνεύειν σφῶν τὸν ἔξαρχον βουλομένοις, ἄχρις ὁ θύαμις ἔπεισε συγκατατίθεσθαι. τό, τε ἀσθενὲς καὶ τὴν εἰς πολέμους ἀπειρίαν τοῦ πετοσίριδος καταμηνύων, καὶ ὡς ἐκ πολλοῦ τοῦ περιόντος ἔσται αὐτῷ τὰ τῆς μάχης ἐπιθαρρούμων. ἅπερ ὡς ἔοικε καὶ ἡ ἀρσάκη λαβοῦσα ἐνθύμιον τὴν μονομαχίαν προύθηκεν. ἀνύποπτον ἑαυτῇ κατορθωθήσεσθαι τὸν σκοπὸν συνορῶσα. καὶ ὡς ὁ πετόσιρις ἀραρότως αὐτῇ δίκην ὑφέξει πρὸς πολλῷ γενναιότερον τὸν θύαμιν διαγωνιζόμενος. ἦν οὖν καὶ λόγου θᾶττον ὁρᾶν τὰ τῆς προστάξεως περαινόμενα. τοῦ θυάμιδος προθυμίᾳ πάσῃ τὴν πρόκλησιν ἐπισπεύδοντος. καὶ τὰ λειπόμενα τῶν ὅπλων ἐν κόσμῳ τῶν γινομένων γεγηθότως ἀναλαμβάνοντος. πολλὰ καὶ τοῦ θεαγένους ἐπιθαρσύνοντος, καὶ τότε κράνος τῇ κεφαλῇ περιθέντος, εὔλοφόν τε, καὶ ὑποχρύσῳ μαρμαρυγῇ πυρσευόμενον. καὶ τἄλλα τῶν ὅπλων πρὸς τὸ ἀσφαλὲς διαδέοντος. τοῦ δὲ πετοσίριδος καὶ ὑπ' ἀνάγκης, πυλῶν τε ἐκτὸς ἐκ προστάγματος τῆς ἀρσάκης ὠθουμένου. πολλά τε εἰς παραίτησιν βοῶντος καὶ πρὸς βίαν ἐξοπλιζομένου, θεασάμενος δὲ αὐτὸν ὁ θύαμις, ὦ γαθὲ ἔφη θεάγενες, οὐχ ὁρᾷς ὅπως ὑπὸ δέει πάλλεται ὁ πετόσιρις; ὁρῶ ἔφη. ἀλλὰ πῶς χρήσῃ τοῖς προκειμένοις. οὐ γὰρ ἁπλῶς πολέμιος, ἀλλὰ καὶ ἀδελφὸς ὁ ἐναντίος. ὁ δὲ, εὖ λέγεις εἶπε. καὶ τοῦ σκοποῦ τῆς ἐμῆς διανοίας ἐστοχασμένως. νικῆσαι δὴ οὖν θεοῦ νεύοντος οὐκ ἀποκτεῖναι προῄρημαι. μὴ γὰρ οὕτω ποτὲ ὀργὴ καὶ μῆνις ἐφ' οἷς προπέπονθα κρατήσειεν, ὡς αἵματος αὐταδέλφου καὶ φόνου καὶ μιάσματος ὁμογαστρίου ἄμυναν μὲν ἐπὶ τοῖς παρελθοῦσι, τιμὴν δὲ ἵνα ἐπὶ τοῖς μέλλουσιν ἀλλάξασθαι. γενναίου τὰ ῥήματα ἔφη ὁ θεαγένης. καὶ γνωρίζοντος εὖ τὴν φύσιν. ἀλλ' ἐμοὶ δῆτα, τί παραφυλάττειν ἐπιτέλλεις. καὶ ὃς ὁ μὲν προκείμενος ἀγὼν, εὐκαταφρόνητος. ἀλλ' ἐπειδὴ πολλὰ καὶ παράδοξα πολλάκις αἱ κατ' ἀνθρώπους τύχαι καινουργοῦσιν, εἰ μὲν ἐγκρατὴς ὦ, συνεισελεύσῃ τε εἰς τὸ ἄστυ, καὶ συνοικήσεις ἐπὶ τοῖς ὁμοίοις. εἰ δ' ἔτι τῶν παρ' ἐλπίδας ἀποβαίνοι, Βησσαέων ἡγήσῃ τούτων. εὔνοιαν πρός σε πολλὴν ἐχόντων. καὶ τὸν λῃστρικὸν διαθλήσεις βίον, ἕως ἂν σοι τέλος τῶν κατὰ σὲ δεξιώτερον ὑποφήνῃ θεός. ἐπὶ τούτοις κατησπάζοντό τε ἀλλήλους, σὺν δα-

Multa praeter spé contingunt saepe hominibus

δοφρῆθι

κρουσιν ἅμα καὶ φιλήμασιν. καὶ ὁ μὲν αὐτοῦ καθῆστο ὡς εἶχε προειδὼς πῶς τὸ μέλλον. καὶ τῇ Ἀρσάκῃ παρεῖχεν οὐκ εἰδὼς ἐντρυφᾶν αὐτοῦ τῇ θέᾳ. παντοίως αὐτὸν περισκοπούσῃ. καὶ τοῖς ὀφθαλμοῖς τέως ἀπολαύειν τῆς ἐπιθυμίας ἐπιτρεπούσῃ. ὁ δὲ Θύαμις ἐπὶ τὸν Πετόσιριν ὁρμήσας, οὐ μὴν ὑπέστη γε ἐκεῖνος τὴν ἔφοδον. ἀλλὰ παρὰ τὴν πρώτην κίνησιν στραφεὶς ἐπὶ τὰς πύλας εἰσφρῆσαι εἰς τὸ ἄστυ προθυμούμενος. ἀλλ' ἤνυε τε οὐδὲν ὑπὸ τῶν ἐφεστώτων ταῖς πύλαις ἀπειργόμενος, καὶ τῶν ἐπὶ τοῦ τείχους μὴ παραδέχεσθαι καθὸ μέρος ὁρμήσειεν ἐπικελευομένων. ἀπεδιδίδρασκε δή τε ὡς εἶχε τάχους περὶ τὸν κύκλον τοῦ ἄστεος. ἤδη καὶ τὰ ὅπλα ἀποβαλών. συμπαρέθει δὲ κατόπιν καὶ ὁ Θεαγένης, ὑπεραγωνιῶν τε τοῦ Θυάμιδος, καὶ τῶν γινομένων μὴ πάντα ὁρῶν, μὴ φορῶν. οὐ μὴν ἔνοπλός γε τοῦ μή τινα λαβεῖν ὑπόνοιαν, ὡς τῷ Θυάμιδι τοῦ ἔργου συνεφαψόμενος. ἀλλ' ἔνθα καθῆστο τοῦ τείχους ὑπ' ὄψει τῆς Ἀρσάκης τὴν ἀσπίδα καὶ τὸ δόρυ καταθέμενος, καὶ ταῦτα περισκοπεῖν αὐτῇ πάλιν ἀνθ' ἑαυτοῦ παραχωρῶν, συμπαρωμάρτει τοῖς δρόμοις. οὔτε ἁλισκομένου τοῦ Πετοσίριδος, οὔτε καταπολὺ φυγῇ φθάνοντος. ἀλλ' ἀεὶ ληφθησομένῳ προσεοικότος. καὶ τοσοῦτον ὑπεκφεύγοντος, ὅσον εἰκὸς ἦν τοῦ ἀνόπλου καθυστερεῖν ὡπλισμένον τὸν Θύαμιν. εἰς ἅπαξ γὰρ οὖν καὶ δεύτερον οὕτω περιήλασαν τὸ τεῖχος. ἀλλ' ὅτε ὁ τρίτος αὐτοῖς ἠνύετο κύκλος, ἤδη τὸ δόρυ τοῦ Θυάμιδος ἐπὶ τῶν μεταφρένων τοῦ ἀδελφοῦ κατασείοντος, καὶ μένειν ἢ βεβλῆσθαι διαπειλοῦντος, ἡ πόλις δὲ ὥσπερ ἐκ θεάτρου περιεστῶσα τοῦ τείχους ἠθλοθέτει τὴν θέαν, τότε δήπως εἴτε δαιμόνιον, εἴτε τύχη τις τὰ ἀνθρώπεια βραβεύουσα, καινὸν ἐπεισόδιον ἐπετραγῴδει τοῖς δρωμένοις. ὥσπερ εἰς ἀνταγώνισμα δράματος ἀρχὴν ἄλλου παρεισφέρουσα. καὶ τὸν Καλάσιριν εἰς ἡμέραν καὶ ὥραν ἐκείνην, ὥσπερ ἐκ μηχανῆς συνδρομόν τε καὶ οὐκ εὐτυχῆ θεωρὸν τῷ περὶ ψυχῆς ἀγῶνι τῶν παίδων ἐφίστησι. πολλὰ γὰρ ἀνατλάντα καὶ πάντα μηχανησόμενον, φυγάς τε ἑαυτῷ καὶ ἄλλας ξενικὰς ἐπιβαλλόντα, ὅπως ἐκκλίνειε τὴν οὕτως ἀπευκτὴν θέαν. ἐκνικηθέντα δὲ ὑπὸ τῆς εἱμαρμένης, καὶ ἰδεῖν ἃ πάλαι αὐτῷ οἱ θεοὶ προεθέσπισαν συνελαθέντα. πόῤῥωθεν μὲν τὰ τῆς διώξεως προκατοπτεύσαντα, ἐκ δὲ τῶν πολλάκις προῤῥηθέντων τοὺς παῖδας

Fortunæ incōstātia

εἶναι



εἶναι τοὺς αὐτοῦ συννοήσαντα, καὶ συντονωτέροις ἢ καθ' ἡλικίαν δρόμοις ἐπὶ τῷ φθῆναι τὴν εἰς τέλος αὐτῶν συμπλοκὴν καὶ τὸ γῆρας βιασάμενον. ὡς δ' οὖν ἐπέστη καὶ πλησίον ἤδη συμπαρέθει, τί ταῦτα ὦ παῖδες ἀνεκάλει πολλάκις. οἱ δ' οὐδέπω τὴν πατρῴαν γνωρίζοντες ὄψιν, τοῦ μὲν ἔτι τοῖς πτωχικοῖς ἠμφιεσμένου ῥάκεσιν, αὐτοὶ δὲ ὅλοι τῆς ἀγωνίας ὄντες, ὥς τινα τῶν ἀγυρτῶν ἢ ἄλλως ἐξεστηκότων παρήμειβον. τῶν δὲ ἐπὶ τοῦ τείχους, οἱ μὲν ἐθαύμαζον ὡς ἀφειδοῦντα αὐτοῦ καὶ εἰς ξιφήρεις ἐμβάλλοντα. οἱ δὲ, ὡς παραπλῆγα καὶ μάτην φερόμενον ἐγέλων. ἀλλ' ὅτε συνεῖς ὁ πρεσβύτης ὑπὸ τῆς εὐτελείας τοῦ σχήματος ἑαυτὸν οὐ γνωριζόμενον, ἐγυμνώθη μὲν τῶν ἐπιβεβλημένων ῥακῶν, τὴν δὲ ἱερὰν κόμην ἄδετον οὖσαν καθῆκε. καὶ τὸ κατ' ὤμου φορτίον καὶ τὴν ἐν χερσὶ βακτηρίαν ἀποῤῥίψας εἰς ἱκετηρίαν προτείνας, ὦ τέκνα σὺν δάκρυσιν ἀνωλόλυξεν. οὗτος ἐγὼ Καλάσιρις. οὗτος ἐγὼ πατὴρ ὁ ὑμέτερος. αὐτοῦ στῆτε. καὶ τὴν ἐκ μοιρῶν μανίαν στήσατε. τὸν φύντα καὶ ἔχοντες καὶ αἰδεσθέντες. τότε οἱ μὲν, παρείθησαν καὶ κατενεχθῆναι μικρὸν ἀπολιπόντες, προσέπιπτον ἅμα τῷ πατρί. καὶ τοῖς γόνασι περιφύντες, πρῶτα μὲν ἀτενέστερον ἐνορῶντες, διηκρίβουν τὸν ἀναγνωρισμόν. ὡς δὲ οὐ φάσματα τὴν ὄψιν, ἀλήθειαν δὲ ἐγνώρισαν, πολλὰ ἅμα καὶ ἐξ ἐναντίων ἔπασχον. ἥδοντο ἐπὶ τῷ φύντι σωζομένῳ παρ' ἐλπίδας. ἐφ' ᾗ κατελαμβάνοντο πράξει, καὶ ἠνιῶντο καὶ ᾐσχύνοντο. τῆς ἀδηλίας τῶν ἀποβησομένων εἰς ἀγωνίαν καθίσταντο. καὶ ταῦτα ἔτι τῶν ἐκ τῆς πόλεως θαυμαζόντων. καὶ λεγόντων μὲν οὐδὲν οὐδὲ πραττόντων. ὥσπερ δὲ ἀχανῶν ὑπὸ ἀγνοίας καὶ τοῖς γεγραμμένοις παραπλησίων, πρὸς μόνην τὴν θέαν ἐπτοημένων, ἕτερον ἐγίγνετο περιεγκύκλημα τοῦ δράματος. ἡ Χαρίκλεια κατ' ἴχνος ἐφεπομένη τοῦ Καλασίριδος, καὶ πόῤῥωθεν ἀναγνωρίσασα τὸν Θεαγένην, ὀξὺ γάρ τι πρὸς ἐπίγνωσιν ἐρωτικῶν ὄψις καὶ κίνημα, πολλάκις καὶ σχῆμα μόνον, κἂν πόῤῥωθεν ἢ κἂν ἐκ νώτων τῆς ὁμοιότητος τὴν φαντασίαν παρέστησεν, ὥσπερ οἰστρηθεῖσα ὑπὸ τῆς ὄψεως, ἐμμανὴς ἐπ' αὐτὸν ἵεται. καὶ περιφῦσα τοῦ αὐχένος, ἀπρὶξ εἴχετο καὶ ἐξήρτητο. καὶ γοεροῖς τισι κατησπάζετο θρήνοις.

περιεγκύκλημα

ὁ δὲ

ἀγειρόντων

ἡ δὲ, οἷον εἰκὸς, ὄψιν τε ῥυπῶσαν καὶ πρὸς τὸ αἰσχρότερον ἐπιτετηδευμένην ἰδὼν, καὶ ἐσθῆτα τετρυχωμένην καὶ κατερρωγυῖαν, ὥσπερ τινὰ τῶν ἀγυρτῶν καὶ ἀληθῶς ἀλήτην, διωθεῖτο καὶ παρηγκωνίζετο. καὶ τέλος ἐπειδὴ οὐ μεθίει, ὡς ἐνοχλοῦσαν καὶ τῆς θέας τῶν ἀμφὶ Καλάσιριν ἐμπόδιον ἱσταμένην, καὶ διερράπισεν. ἡ δὲ, ὦ Πύθιε πρὸς αὐτὸν ἠρέμα. οὐδὲ τοῦ λαμπαδίου μέμνησαι; καὶ τότε Θεαγένης ὥσπερ βέλει τῷ ῥήματι βληθεὶς καὶ τῶν συγκειμένων αὐτοῖς συμβόλων τὸ λαμπάδιον γνωρίσας, ἐνατενίσας τε καὶ ταῖς βολαῖς τῶν ὀφθαλμῶν τῆς Χαρικλείας, ὥσπερ ἐκ νεφῶν ὑπὸ ἀκτῖνος διαπεσούσης καταυγασθεὶς, περιέβαλλέ τε καὶ ἐνηγκαλίζετο. καὶ τέλος τὸ πρὸς τῷ τείχει σύμπαν μέρος καθ' ὃ παρεκαθῆστο ἡ Ἀρσάκη διοιδουμένη, καὶ οὐκ ἄνευ ζηλοτυπίας ἤδη τὴν Χαρίκλειαν θεωμένη, σκηνογραφικῆς ἐπληροῦτο θαυματουργίας. λέλυτο μὲν ἄθεσμος ἀδελφῶν πόλεμος, καὶ ἀγὼν ὁ δι' αἵματος κριθήσεσθαι προσδοκώμενος, εἰς κωμικὸν ἐκ τραγικοῦ τὸ τέλος κατέστρεψε. πατὴρ τοὺς παῖδας ξιφήρεις ἐπ' ἀλλήλους καὶ μονομαχοῦντας θεασάμενος. καὶ ὁ τὸν παρὰ τοσοῦτον τέκνων θάνατον ἐν ὀφθαλμοῖς τοῖς γεννήσασι δυστυχῆσαι κινδυνεύσας, εἰρήνης αὐτοῖς ἐγίνετο πρύτανις. διαδρᾶναι μὲν τὸ προωρισμένον ἐκ μοιρῶν ἀδυνατήσας. εἰς καιρὸν δὲ ἐπιστῆναι τοῖς ἀποκεκληρωμένοις εὐτυχήσας. παῖδες τὸν φύντα μετὰ δεκαετοῦς ἄλης χρόνον ἐκομίζοντο. καὶ τὸν αἴτιον τῆς ἐπὶ τῇ προφητείᾳ καὶ μέχρις αἵματος στάσεως, αὐτοὶ μικρὸν ὕστερον κατέστεφον. καὶ τοῖς τε συμβόλοις τῆς ἱερωσύνης ἀνεδοῦντο περιέπεμπον. ἐφ' ἅπασι δὲ, τὸ ἐρωτικὸν μέρος τοῦ δράματος, ἡ Χαρίκλεια καὶ ὁ Θεαγένης ἐπήκμαζεν. ὡραῖοι καὶ χαρίεντες οὕτω νέοι, παρ' ἐλπίδα πᾶσαν ἀλλήλους ἀπειληφότες. καὶ πλέον τῶν ἄλλων εἰς τὴν ἐφ' αὐτοὺς θέαν τὴν πόλιν ἐπιστρέφοντες. ἐξεχύθη γοῦν πᾶσα διὰ πυλῶν. καὶ τὸ προκείμενον πεδίον ἐπλήρου διὰ πάσης ἡλικίας. τοῦ μὲν ἐφηβεύοντος τῆς πόλεως καὶ εἰς ἄνδρας ἄρτι παραλλάττοντος, τῷ Θεαγένει προστρέχοντος. τῶν δὲ δυνάμει τῆς ἀκμαζούσης ἡλικίας, καὶ τοὺς ἄνδρας ὁλοκλήρως πληρούσης. καί τι καὶ ἀναγνωρίζειν τὸν δύναμιν ἐχούσης. τὸ δὲ παρθενεῦον τοῦ ἄστεος, καὶ νυμφῶνας ἤδη φανταζόμενον, τὴν Χαρίκλειαν περιεῖπε. πρεσβυτικὸν δὲ καὶ



δὲ καὶ ἱερὸν ἅπαν γένος ἐδορυφόρει τὸν Καλάσιριν. καὶ πομπή τις ἱεροπρεπὴς αὐτοσχέδιος ἐστέλλετο. τοὺς μὲν Βησαεῖς τοῦ Θυάμιδος ἀποπέμψαντος. καὶ χάριν τε τὴν γενομένην ὑπὲρ τῆς προθυμίας ὁμολογήσαντος. καὶ βοῦς μὲν ἑκατὸν, χίλια δὲ πρόβατα. καὶ δραχμὰς ἑκάστῳ δέκα μικρὸν ὕστερον εἰς πληρουμένην τὴν σελήνην, ἀποστέλλειν ἐπαγγειλαμένου. τὸν αὐχένα δὲ ὑπάγοντος ταῖς χερσὶ τοῦ πατρὸς καὶ τὴν πορείαν ἐπικουφίζοντος. καὶ τὴν βάσιν τοῦ πρεσβύτου πρὸς τὸ παρ' ἐλπίδα χαῖρον ἠρέμα παραλυομένην ἐφεδράζοντος. ἐποίει δὲ ταυτὸν ἐκ θατέρων ὁ Πετόσιρις. καὶ ὑπὸ λαμπάσιν ἡμμέναις ἐπὶ τὸν νεὼν τῆς Ἴσιδος κατήγετο ὁ πρεσβύτης. ὑπὸ κρότῳ καὶ εὐφημίᾳ πολλῇ δορυφορούμενος. πολλῶν ἅμα συρίγγων καὶ αὐλῶν ἱερῶν ἐπηχούντων, καὶ πρὸς χοροὺς τὸ ἀγέρωχον τῆς ἡλικίας ἐκβακχευόντων. οὐ μὴν οὐδὲ ἡ Ἀρσάκη κατόπιν ἐλείπετο τῶν δρωμένων. ἀλλ' ἴδιον δορυφόρημα καὶ πομπείαν καθ' ἑαυτὴν ὑπέρογκόν τινα ἔθυσε, καὶ πολὺν χρυσὸν ἐνέβαλεν εἰς τὸ ἱερόν. οὑτωσὶ μὲν δοκεῖν, διάπερ καὶ ἡ λοιπὴ πόλις. ἐκ μόνου δὲ τοῦ Θεαγένους τὸν ὀφθαλμὸν ἀναρτήσασα. καὶ πλέον τῶν ἄλλων τῆς ἐκείνου θέας ἐμφορουμένη. οὐ μὴν ἔχουσά γε καθαρὸν τὸ ἐνθύμημα ἡδόμενον. ἀλλὰ τὴν Χαρίκλειαν ὁ Θεαγένης ἐξ ὠλένης χειραγωγῶν, καὶ τὴν ὀχλικὴν ἐπιφορὰν ἀναστέλλων, δριμύ τι τῇ Ἀρσάκῃ ζηλοτυπίας κέντρον ἐνέβαλεν. ὡς οὖν ἐντὸς ἐγεγόνει τῶν ἀνακτόρων ὁ Καλάσιρις, ῥίπτει μὲν ἑαυτὸν ἐπὶ πρόσωπον. τοῖς δὲ ἴχνεσι προσφὺς τοῦ ἀγάλματος, ὥραν τε ἐπὶ πλεῖστον οὕτως ἔχων, ὀλίγου μὲν καὶ ἐκθανεῖν ἐδέησεν. ἀναλαβόντων δὲ τῶν περιεστώτων μόλις διαναστὰς, καὶ σπείσας τε τῇ θεῷ καὶ κατευξάμενος, ἀφελὼν τῆς ἑαυτοῦ κεφαλῆς τὸν τῆς ἱερωσύνης στέφανον, τὸν παῖδα τὸν Θύαμιν κατέστεφεν. αὐτὸς μὲν ἤδη γηραιός τε εἶναι πρὸς τὸ πλῆθος εἰπὼν, καὶ ἄλλως προορᾶν τὴν τελευτὴν πλησιάζουσαν. τὸν δὲ παῖδα πρεσβύτερον ὄντα τοῦ γένους, χρεωστεῖσθαί τε τὰ σύμβολα τῆς προφητείας ἐκ τοῦ νόμου. καὶ ἱκανῶς ἔχειν ψυχῆς τε ἅμα καὶ σώματος, πρὸς τὰς ἱερωσύνης λειτουργίας. ἐκβοήσαντος δὲ πρὸς ταῦτα τοῦ δήμου, καὶ συγκατατίθεσθαι διὰ τῶν ἐπαίνων παραδηλοῦντος, αὐτὸς μὲν τοῦ νεὼ μέρος τι καταλαβὼν, ὃ δὴ τοῖς προφητεύουσιν ἀποκεκλήρωτο,

ρωντο, τοὺς τε πύλας ἔχων ἅμα καὶ τοῦ πόθου τὸν θεαγένην ἐγκατε-
μένον. οἱ λοιποὶ δὲ εἰς οἴκησιν ἕκαστος τὴν ἑαυτῶν ἀπεχώρουν. ἀπε-
χώρει δὲ καὶ ἡ ἀρσάκη. μόλις μὲν καὶ πολλάκις ἀναστρέφουσα. καὶ πλέο-
νι θεραπείᾳ δῆθεν τῷ ποδὶ τὴν θέαν ἐναλύουσα. πλὴν ἀλλ᾽ ἀπεχώ-
ρει ὀψέ ποτε, καὶ θαμὰ πρὸς τὸν θεαγένην ἕως ἐξῆν ἐπιστρεφομένη.
ἐπεὶ δ᾽ οὖν εἰς τὴν βασίλειον αὐλὴν παρῆλθε, διαμπὰξ ἐπὶ τὸν θά-
λαμον ἵετο. καὶ καταβαλοῦσα ἑαυτὴν ἐπὶ τῆς κλίνης ὡς εἶχε σχήματος,
ἔκειτο ἄναυδος. γύναιον καὶ ἄλλως πρὸς ἄσεμνον ἡδονὴν ἐπίφο-
ρον. τότε πλέον ὑπὸ θέας ἀμάχου τοῦ θεαγένους, καὶ τὰς οὔποτε εἰς
πεῖραν ἐλθούσας ὄψεις ὑπερπαισούσης ἀνακαιόμενον παννύχιος τὸν
ἔκειτο. πυκνὰ μὲν πρὸς ἑκατέραν πλευρὰν τὸ σῶμα διαστρέφουσα.
πυκνὰ δὲ καὶ βύθιον ἐπιστένουσα. νῦν μὲν ὀρθουμένη. νῦν δὲ ὀκλάζουσα
ἐπὶ τῆς στρωμνῆς. καὶ ἐσθῆτος ἑαυτὴν ἐπὶ μόριος ἀπογυμνοῦσα. καὶ αὖ-
θις ἀθρόον ἐπὶ τὴν εὐνὴν καταφέρουσα. καί ποτε καὶ παιδίσκην ἀ-
προφασίστως προσκαλέσασα, αὖθις ἀπέπεμπεν. οὐδὲν ἐπιστείλασα
καὶ ἁπλῶς εἰς μανίαν ἐλάνθανε λοιπὸν ὁ ἔρως ὑποφερόμενος. ἕως
δή τις πρεσβῦτις, ὄνομα κυβέλη. τῶν θαλαμηπόλων καὶ συνήθως

Cybele

τὰ ἐρωτικὰ τῇ ἀρσάκῃ διακονουμένων, εἰσδραμοῦσα εἰς τὸν θάλαμον,
ἔλαθε γὰρ αὐτὴν οὐδ᾽ ὁτιοῦν τῶν γιγνομένων, ἅτε λύχνου φαίνοντος
καὶ οἷον συνεξάπτοντος τῇ ἀρσάκῃ τὸν ἔρωτα, τί ταῦτα ἔλεγεν ὦ δέ-
σποινα. τί σε νέον ἢ καινὸν ἀλγύνει πάθος. τίς πάλιν ὀφθεὶς τὴν
ἐμὴν διαταράττει τροφίμην. τίς οὕτως ἀλαζὼν καὶ ἔκφρων, ὡς ὑπὸ
τὸ σὲ τοσούτου κάλλους μὴ ἡττῆσθαι, μὴ δὲ εὐδαιμονίαν ἡγεῖσθαι τὴν
σὴν ἐράσμιον ὁμιλίαν. ἀλλὰ νεύματι τὸ σὸν καὶ βούλημα ὑπερφρονεῖν.
ἔξειπε μόνον ὦ γλυκύτατον ἐμοὶ παιδίον. οὐδεὶς οὕτως ἀδαμάν-
τινος, ὡς μὴ τοῖς ἡμετέροις ἁλῶναι θελγήτροις. ἔξειπε καὶ οὐκ αὖ, ὑ-
στερήσεις ἀνύουσα τὴν κατὰ γνώμην. ἔργοις δὲ οἶμαι πολλάκις τὴν
πεῖραν εἴληφας. ἡ μὲν, ταῦτα καὶ ὅμοια ἕτερα κατεπῇδε. πολλὰ τοῖς
ποσὶ τῆς ἀρσάκης προσκυλινδουμένη, καὶ παντοίας κολακείας ἐξελεῖν
τὸ πάθος ἐπειγομένη. ἡ δέ, μικρὸν ἐφησυχάσασα, βέβλημαι εἶπεν ὦ
μᾶτερ ὡς οὔπω πρότερον. καὶ πολλὰ δὴ πρὸς σοῦ καὶ πολλάκις εὖ πα-
θοῦσα ἐν ὁμοίαις ταῖς χρείαις, οὐκ οἶδα εἰ καὶ νῦν ἕξω κατορθοῦσαν. ὁ
γάρ τοι πόλεμος ὁ πρὸς τῶν τειχῶν τήμερον, ὀλίγου μὲν συγκροτηθεὶς

συγκροτηθὰς πόλεμος

τοῖς



τοῖς μὲν ἄλλοις ἀναίμακτος ἀπεφάνθη. καὶ εἰς εἰρήνην κατέστρεψεν.
ἐμοὶ δὲ ἀρχή τις ἀληθεστέρου πολέμου, καὶ τραῦμα οὐ μέρους μόνου ἢ μέ-
λους, ἀλλὰ καὶ ψυχῆς αὐτῆς γέγονε. τὸν ξένον ἐκεῖνον νεανίαν, τὸν τῷ
θυάμιδι κατὰ τὴν μονομαχίαν παραθέοντα οὐκ εὐτυχῶς ἐπιδείξας, οἶ-
σθα που πάντως ὦ μᾶτερ ὃν λέγω, οὐ γὰρ μικρῷ τῷ μέσῳ τοὺς ἄλ-
λους τῷ κάλλει κατήστραπτεν, οὐδ᾽ ὥστε καὶ ἄγροικόν τινα λαθεῖν καὶ τὸν
καλῶν ἀνέραστον), μήτοιγε δὴ σε καὶ τὴν σὴν πολυπειρίαν. ὥστε ὦ φιλ-
τάτη, τὸ μὲν βέλος τοὐμὸν ἔγνωκας. ὥρα δὲ σοι κινεῖν πᾶσαν μηχα-
νήν. πᾶσαν πρεσβυτικὴν ἴυγγα καὶ αἱμυλίαν, εἴπερ δὴ βούλει σοι περι-
εῖναι τὴν τροφίμην. ὡς οὐκ ἔστιν ὅπως βιώσομαι, μὴ πάντως ἐκεί-
νου τυγχάνουσα. γινώσκω ἔφη τὸν νεανίαν ἡ γραῦς. εὐρύς τις ἦν τὰ
στέρνα καὶ τοὺς ὤμους. καὶ τὸν αὐχένα ὄρθιον καὶ ἐλεύθερον ὑπὲρ τοὺς ἄλ-
λους αἴρων. καὶ εἰς κορυφὴν τοὺς ἅπαντας ὑπερέχων. γλαυκιῶν τὸ
βλέμμα. καὶ ἔραστον ἅμα καὶ γοργὸν προσβλέπων. ὁ κατὰ βόστρυχος
που πάντως ἐκεῖνος, τὴν παρειὰν ἄρτι ξανθῷ τῷ ἰούλῳ περιστέφων. ὃν
γύναιόν τι ξενικόν, οὐκ ἄωρον μέν, ἄλλως δὲ ἰταμὸν ὡς ἐδόκει προσ-
δραμὸν ἀφνίδιον περιέφυ. καὶ περιπλακὲν ἐξήρτητο. ἡ οὐ τοῦτον
λέγεις ὦ δέσποινα; τοῦτον ἔφη μαμμίδιον. εὖ γάρ με καὶ παράση-
μον ὑπέμνησας. τὴν ἀλητήριον ἐκείνην, καὶ τῷ ἀπ᾽ οἰκήματος ἐπὶ
μακρῷ καὶ τῶν πολλῶν καὶ ἐπιτετηδευμένῳ κάλλει, μέγα μὲν
φανταζομένην, πλὴν ἀλλ᾽ ἐμοῦγε δὴ εὐτυχοῦσαν πλέον, ἢ τοιοῦ-
τον κεκληρῶσθαι τὸν ἐρώμενον. βραχὺ δὴ πρὸς ταῦτα καὶ σεση-
ρὸς ὑπομειδιάσασα ἡ πρεσβῦτις, θάρσει ἔφη ὦ δέσποινα. εἰς τὴν
τήμερον ἐκείνη καλὴ παρὰ τῷ ξένῳ νενόμισται. εἰ δέ σοι καὶ τῷ σῷ κάλλει
προστυχεῖν αὐτὸν ἀνύσαιμι, χρυσᾶ φασι χαλκείων ἀλλάξεται.
ὡς ἑταιρείδιον τὸ ἐθελάστειον ἐκεῖνο καὶ μάτην θρυπτόμενον πα-
ραγκωνισάμενος. εἰ γὰρ οὕτω ποιήσεις κυβέλιον φίλτατον, δυοῖν
δι᾽ ἑνός μοι γενήσῃ νόσων ἰατρός. ἔρωτός τε καὶ ζηλοτυπίας. τοῦ
μέν, ἐμπλήσασα, τοῦ δέ, ἀπαλλάξασα. καὶ ἡ γενήσεται τό γε ἐπ᾽ ἐμοί.
σὺ δέ μοι σαυτὴν ἀναλαμβάνειν. καὶ τὸ παρὸν ἡσυχάζειν. μὴ δὲ δυ-
σθυμοῦσαν προαποκάμνειν. ἀλλ᾽ εὔελπιν εἶναι. ταῦτ᾽ εἶπε καὶ ἀφελοῦ-
σα τὸν λύχνον, ἐπικλεισαμένη τε τοῦ θαλάμου τὰς θύρας ἐξώρμησεν.
οὔπω δὲ ἀκριβῶς ἡμέρας ἐπιλαβομένη, τόν τε βασιλείων εὐνούχων ἕνα

ἴυγγα ἡ αἱμυλίαν

χρυσᾶ φασι χαλκέων ἀλλάξει

ἐθελάστου

ἴσειον. templum isidis

παραλαβοῦσα, καὶ ἄλλην θεράπαιναν, ἅμα ποπάνοις, καὶ ἑτέροις δή τισι θύμασιν ἐπιθῦσαι προστάξασα, ὡς ἐπὶ τὸ ἴσειον ἐστέλλετο. ὡς δὲ τοῖς προθύροις ἐπέστη θυσίαν ἄγειν τῇ θεῷ λέγουσα ὑπὲρ τῆς δεσποίνης ἀρσάκης ἔκ τινων ὀνειράτων τεταραγμένης, καὶ ἐξιλεώσασθαι τὰ ὀφθέντα βουλομένης, τῶν νεωκόρων τις διεκώλυέ τε καὶ ἀπέπεμπε, κατηφείας τὰ περὶ τὸ ἱερὸν ἐμπεπλῆσθαι φάσκων. τὸν γὰρ δὴ προφήτην τὸν καλάσιριν μακροῖς χρόνοις εἰς τὴν οἰκείαν ἐπανήκοντα, ἑστιαθῆναι μὲν λαμπρῶς ἅμα τοῖς φιλτάτοις κατὰ τὴν ἑσπέραν. καὶ πρὸς πᾶσαν ἄνεσιν καὶ ψυχαγωγίαν ἑαυτὸν ἐνδοῦναι. μετὰ δὲ τὴν εὐωχίαν, σπεῖσαί τε καὶ πολλὰ ἐπεύξασθαι τῇ θεῷ. καὶ τοῖς παισὶν εἰπόντα, ὡς ἄχρι τοῦ παρόντος ὄψονται τὸν πατέρα. καὶ πολλὰ ἐπισκήψαντα τῶν σὺν αὐτῷ νέων ἑλλήνων ἀφιγμένων, ὡς ἐνῆν μάλιστα προνοεῖν. καὶ ἐν οἷς ἂν βουλομένοις αὐτοῖς γίνεται τὰ δυνατὰ συμπράττειν. κατακλίναντά τε αὐτὸν, καὶ εἴτε διὰ τὸ τῆς χαρᾶς μέγεθος, τῶν πνευματικῶν πόρων εἰς ὑπερβολὴν ἀνεθέντων καὶ χαλασθέντων, οἷα δὴ γηραιοῦ τοῦ σώματος ἀθρόον διαφορηθέντος. εἴτε καὶ θεῶν αἰτήσαντι τοῦτο παρασχομένων, εἰς ἀλεκτρυόνων ᾠδὰς, τετελευτηκότα γνωσθῆναι. τῶν παίδων ἐξ ὧν προέλεγεν ὁ πρεσβύτης, παννύχιον παρατηρούντων. καὶ νῦν ἔφη διεπεμψάμεθα τοὺς μετακαλέσαντας τὸ λοιπὸν τῶν κατὰ τὴν πόλιν προφητικόν τε καὶ ἱερατικὸν γένος. ὡς ἂν τὰ νομιζόμενα ἐπ' αὐτῷ τῆς κηδείας κατὰ τὸν πάτριον νόμον τελοῖεν. ἀναχωρητέον οὖν ὑμῖν· οὐ γὰρ θέμις μὴ ὅτι γε θύειν, ἀλλ' οὐδὲ ἐπιβαίνειν τοῦ νεὼ πλὴν τοῖς ἱερωμένοις, ἑπτὰ τούτων ὅλων τῶν ἐχομένων ἡμερῶν. πῶς οὖν οἱ ξένοι διάξουσιν ἔφασκεν ἡ κυβέλη. καὶ ἐς καταγώγιον αὐτοῖς εὐτρεπισθῆναι πλεῖστον καὶ ἔξω που περὶ τὸν νεὼν ὁ νέος προφήτης ὁ θύαμις ἐπέστειλε. καὶ ὡς ὁρᾷς αὐτοί γε οὗτοι προΐασι τῷ νόμῳ πειθόμενοι. καὶ ἐξοικίζονται ἑαυτοὺς τῶν ἱερῶν τὸ παρόν. ἡ δὴ κυβέλη τὴν εὐτυχίαν ἅρπαγμα, καὶ ὥσπερ ἄγρας ἀρχὴν ποιησαμένη, οὐκοῦν ἔφη ὦ νεωκόρων θεοφιλέστατε, καιρὸς τούς τε ξένους καὶ ἡμᾶς εὖ ποιεῖν. μᾶλλον δὲ ἀρσάκην μεγάλου βασιλέως ἀδελφὴν, οἶσθα γὰρ, ὡς φιλέλλην τέ ἐστι, καὶ δεξιόν τι χρῆμα περὶ ξένων ὑποδοχήν. λέγε οὖν πρὸς τοὺς νέους, ὡς κατὰ πρόσταγμα τοῦ

μὴ ὅτι γε

καταγώγιον

θυάμιδος



θυάμιδος ἐν ἡμετέρου τὸ καταγώγιον αὐτοῖς ηὐτρέπισαι. ἐποίησεν οὕτως ὁ νεωκόρος. οὐδὲν τῶν βυσσοδομευομένων ὑπὸ τῆς κυβέλης ὑποτοπήσας. ἀλλ' εὐεργετήσειν τε οἰόμενος τοὺς ξένους, εἰ πρόξενος αὐτοῖς αὐλῆς σατραπικῆς γένοιτο. καὶ ἅμα τοῖς αἰτοῦσι τὴν χάριν, ἀβλαβῆ καὶ ταῦτα οὖσαν καὶ ἀζήμιον καθικετεύσειν. κατηφεῖς δὲ καὶ δεδακρυμένους πλησιάσαντας τοὺς περὶ τὸν θεαγένην ὁ νεωκόρος, οὐκ ἔννομα μὲν ἔφη οὐδὲ συγκεχωρημένα ἐκ τῶν πατρίων διαπράττεσθε. καὶ ταῦτα προαπηγορευμένον ὑμῖν, ὀδυρόμενοι καὶ θρηνοῦντες ἄνδρα προφήτην, ὃν χαίροντας καὶ εὐφημοῦντας ἐκπέμπειν, ὡς τῆς βελτίονος μετειληχότα λήξεως. καὶ πρὸς τῶν κρειττόνων κεκληρωμένον, ὁ θεῖος καὶ ἱερὸς παρεγγυᾷ λόγος. πλὴν ἀλλὰ συγγνωστὰ μὲν ὑμῖν, ὡς φατε πατέρα καὶ κηδεμόνα καὶ ἐλπίδα τὴν μόνην ἀποβεβληκόσι. οὐ μὴν ἀθυμητέα παντάπασιν. ὁ γὰρ θύαμις, οὐ τῆς ἱερωσύνης μόνον τῆς ἐκείνου ἔοικεν εἶναι διάδοχος, ἀλλὰ καὶ τῆς περὶ ὑμᾶς διαθέσεως. τὰ γοῦν πρῶτα προνοηθῆναι ὑμῶν ἐπέστελεν. καὶ καταγώγιον ὑμῖν ηὐτρεπίσαι λαμπρόν. καὶ οἷον εὔξαιτ' ἄν τις καὶ τῶν εὐδαιμόνων καὶ ἐγχωρίων, μήτοι γε δὴ ξένων. καὶ εὐτελεστέρων τῶν νῦν πράττειν δοκούντων. ἕπεσθε δὴ κοινὴν ὑμῶν μητέρα ταύτην δὲ νομίσαντες, δείξας τὴν κυβέλην, καὶ ξεναγούσῃ πείθεσθε. ταῦτα ἐκεῖνος μὲν ἔλεγεν. ἐποίουν δ' οἱ περὶ τὸν θεαγένην. τὸ μέν τι πρὸς τῶν παρ' ἐλπίδα προσπεπτωκότων βεβυθισμένοι τὴν διάνοιαν. τὸ δ', ἀγαπῶντες ὅποι τὸ παρὸν καταγωγῆς τε καὶ καταφυγῆς τυχεῖν φυλαξόμενοι ἄν, ὡς τὸ εἰκὸς, εἰ τὸ τραγικὸν τῆς οἰκήσεως καὶ ὑπέρογκον καὶ πρὸς κακοῦ γενησόμενον αὐτοῖς ὑπείδοντο. νυνὶ δὲ ἡ τὰ κατ' αὐτοὺς ἀθλοθετοῦσα τύχη, πρὸς ὀλίγον ὡρῶν μόριον ἀναπαύσασα, καὶ εἰς χαρὰν ἐφήμερον ἀνεῖσα παραχρῆμα τὰ λυποῦντα ἐπισωρεύσασα. καὶ δεσμώτας ὥσπερ αὐθαιρέτους τῇ πολεμίᾳ προσῆγε. διὰ ὀνόματος φιλανθρώπου ξενίας, νέους καὶ ξένους καὶ ἀπείρους τοῦ μέλλοντος αἰχμαλωτίζουσα. οὕτως ἄρα ὁ πλανήτης βίος, οἷον τυφλότητα τὴν ἄγνοιαν περιβάλλει τοῖς ξενιτεύουσι. οὔκουν γοῦν ἐπειδὴ τάχιστα παρῆλθον εἰς τὰ σατραπεῖα, προπυλαίοις τε ἐντυχόντες ὑπερόγκοις, καὶ πλέον ἢ κατὰ ἰδιωτικὴν οἴκησιν ἐξῃρημένοις, φαντασίας τε δορυφόρων καὶ κόμπου τῆς ἄλλης θεραπείας ἐμπεπλησμένοις,

ἐθαύμαζον μὲν καὶ διεταράττοντο τῆς παρούσης κατ' αὐτοὺς τύχης τὴν οἴκησιν ὑπερέχουσαν ὁρῶντες. εἵποντο δ' οὖν τῇ Κυβέλῃ πολλὰ προτρεπομένῃ, καὶ θαρσεῖν παρακελευομένῃ, καὶ ὡς εὔθυμα χρὴ προσδοκᾶν τὰ διαδεξόμενα παρεγγυώσῃ. καὶ τέλος, ἐπειδήπερ αὐτοὺς εἰς τὸ δωμάτιον οὗ κατήγετο ἡ πρεσβῦτις ἀνακεχωρηκός πως καὶ ἰδιάζον ἐγκατέστησε, μεταστησαμένη τοὺς παρόντας, καὶ μόνη παρακαθισαμένη, ὦ τέκνα ἔλεγε. τὸ μὲν κατειληφυίας ὑμᾶς κατηφείας τὸ πρίν, τὴν αἰτίαν ἔγνων. καὶ ὡς ὁ προφήτης ὑμᾶς ὁ Καλάσιρις τελευτήσας λελύπηκεν, ἐν πατρὸς ὑμῖν χώρᾳ γεγονώς. δίκαια δ' ἂν ποιοῖτε, καὶ οἵτινες ἢ πόθεν ἐστὲ λέγοντες. ὅτι μὲν γὰρ Ἕλληνες καὶ τῶν εὐγενῶν. καὶ ὅτι τῶν εὖ γεγονότων, πάρεστι τοῖς ὁρωμένοις τεκμαίρεσθαι, βλέμμα γοῦν οὕτω λαμπρόν, καὶ εὐσχήμων ὄψις ἅμα καὶ ἐπέραστος, εὐγενείας ἔμφασιν παρίστησιν. ἀλλὰ τῆς ποίας Ἑλλάδος, ἢ πόλεως τίνος ὄντες, καὶ ὅπως δεῦρο πλανηθέντες ἀφίκεσθε. βουλομένῃ μοι μαθεῖν, ὑπὲρ συνοίσοντος τοῦ ὑμετέρου, κατείπατε. ὡς ἂν, καὶ πρὸς δέσποιναν τὴν ἐμὴν Ἀρσάκην, τὴν μεγάλου μὲν βασιλέως ἀδελφήν, Ὀροονδάτου δὲ τοῦ μεγίστου τῶν σατραπῶν συνοικοῦσαν, φιλέλληνά τε καὶ φιλάβρον καὶ ξένων εὐεργέτιν, ἔχοιμι τὰ καθ' ὑμᾶς ἐξαγγέλλειν. ὑπὲρ τοῦ καὶ μετὰ πλείονος ὑμᾶς καὶ τῆς χρεωστουμένης τιμῆς ὀφθῆναι. ἐρεῖτε δὲ καὶ πρὸς γυναῖκα οὐ παντάπασιν ἀλλοτρίαν ὑμῖν. εἰμὶ γὰρ καὶ αὐτὴ τὸ γένος Ἑλληνίς. καὶ Λεσβία τὴν πόλιν. ὑπὸ αἰχμαλωσίας μὲν ἀχθεῖσα δεῦρο. πράττουσα δὲ τῶν οἴκοι βέλτιον. εἰ μὴ γάρ τοι τῇ δεσποίνῃ τὰ πάντα. καὶ μόνον οὐκ ἀναπνεῖ με καὶ ὁρᾷ, ἀλλὰ καὶ νοῦς ἐκείνῃ καὶ ὦτα καὶ πάντα τυγχάνω, τοὺς καλοὺς αὐτῇ κἀγαθοὺς γνωρίζουσα ἀεί. τοῦ δὴ Θεαγένους τὰ εἰρημένα παρὰ τῆς Κυβέλης, τοῖς πεπραγμένοις τῇ προτεραίᾳ παρὰ τῆς Ἀρσάκης, παράλληλα καθ' ἑαυτὸν ἀντεξετάζοντος, καὶ ὡς ἀτενὲς αὐτῷ καὶ ἰταμόν, συνεχές τε καὶ τῶν ἀπρεπεστέρων δηλωτικὸν προσέβλεπεν ἐννοοῦντος, καὶ ἀγαθὸν οὐδὲν ἤδη τοῖς μέλλουσι καταμαντευομένου, μέλλοντός τε ἤδη τι λέγειν πρὸς τὴν πρεσβῦτιν, ἠρέμα προσκύψασα πρὸς τὸ οὖς ἡ Χαρίκλεια, τῆς ἀδελφῆς ἔφη μέμνησο ἐφ' οἷς ἂν λέγοις. συνεὶς οὖν τὸ δηλούμενον, ὦ μῆτερ ἔφη. τὸ μὲν Ἕλληνας εἶναι, καὶ αὐτή που μαθοῦσα τυγχάνεις. ἀδελφοὶ δὲ ὄντες πατέρων ὑπὸ λῃσταῖς ἁλόντων, ἐπὶ ζήτησιν ἐξορμήσαντες, χαλεπωτέραις ἐκείνων τύχαις κεχρήμεθα. ὠμοτέροις ἀνδράσι

περιπεσόν-



περιπεσόντες. καὶ πάντων μὲν τῶν ὄντων, πολλὰ δὲ ἦν ἀποσυληθέντες. μόλις δὲ αὐτοὶ περισωθέντες. καὶ κατά τι δεξιὸν βούλημα δαίμονος τῷ πρὸς τὸν ἥρωα Καλάσιριν συντυχίᾳ χρησάμενοι, ἀφιγμένοι τε ἐνταῦθα, ὡς τὸ λοιπὸν τοῦ χρόνου μετ' αὐτοῦ βιωσόμενοι, νῦν ὡς ὁρᾷς πάντων ἔρημοι καὶ μόνοι περιλελείμμεθα. τὸν δοκοῦντα καὶ ὄντα πατέρα μετὰ τῶν ἄλλων προσαπολωλεκότες. τὰ μὲν δὴ καθ' ἡμᾶς, ταῦτα. σοὶ δὲ, πλείστη μὲν χάρις καὶ τῆς νῦν δεξιώσεως καὶ ξεναγίας, χαρίσαιο δ' ἂν πλέον, εἰ καθ' ἑαυτοὺς ἡμῖν διάγειν τε καὶ λανθάνειν παράσχοις. τὴν δὲ εὐεργεσίαν ἣν ἀρτίως ἔφασκες, καὶ τὸ γνωρίζειν ἡμᾶς πρὸς Ἀρσάκην ὑπερθεμένη. μὴ δὲ ἐπεισάγῃς οὕτω λαμπρᾷ καὶ εὐδαίμονι τύχῃ, ξένον καὶ ἀλήτην καὶ ἐρανίζοντα βίον. τὰς γὰρ δὴ γνώσεις « καὶ τὰς ἐντεύξεις, ἐκ τῶν ὁμοίων ὡς οἶσθα γίγνεσθαι καλόν. « οὐκ ἐκαρτέρησεν ἡ Κυβέλη τούτων εἰρημένων. ἀλλὰ καὶ τῇ διαχύσει τοῦ προσώπου κατάδηλος ἐγεγόνει σφόδρα ὑπερησθεῖσα εἰς τὴν ἀκοὴν τῶν ἀδελφῶν. ἐνθυμουμένη μηδὲν κώλυμα μηδὲ ἐμπόδιον ἕξειν πρὸς τὰ ἐρωτικὰ τῆς Ἀρσάκης τὴν Χαρίκλειαν. καὶ ὦ καλλίστη νεανιῶν ἔφη. οὐκ ἂν εἴποις ταῦτα περὶ Ἀρσάκης. ἐπειδὰν εἰς πεῖραν ἔλθοις τῆς γυναικός. κοινόν τι χρῆμά ἐστι πρὸς πᾶσαν τύχην. καὶ πλέον ἐπίκουρος γίνεται τοῖς παρ' ἀξίαν ἔλαττον ἢ πράττουσι. καὶ Περσὶς οὖσα τὸ γένος, σφόδρα ἑλληνίζει τὴν γνώμην. χαίρουσα καὶ προστρέχουσα τοῖς ἐντεῦθεν. ἦθος τε καὶ ὁμιλίαν τὴν Ἑλληνικὴν εἰς ὑπερβολὴν ἠγάπηκε. θαρσεῖτε οὖν. ὡς σὺ μὲν ὅσα εἰς ἄνδρας ἥκει, πράξων καὶ τιμηθησόμενος. ἀδελφὴ τε ἡ σή, συμπαίστριά τε καὶ συνόμιλος ἐσομένη. ἀλλὰ τίνα ὑμῶν ὀνόματα χρὴ προσαγγέλλειν. ὡς δὲ ὅτι Θεαγένην καὶ Χαρίκλειαν ἤκουσεν, αὐτοῦ με περιμένειν εἰποῦσα, ὡς τὴν Ἀρσάκην ἀπέτρεχεν. ἐπιστείλασα πρότερον τὴν θυρωρόν. ἦν δὲ καὶ αὐτὴ γραῦς. εἴ τις βούλοιτο παρεισιέναι, μηδαμῶς ἐπιτρέπειν. ἀλλὰ μηδ' ἐξιέναι ποι συγχωρεῖν τοῖς νέοις. τὸ δὲ, μηδ' ἂν ὁ παῖς ὁ σὸς Ἀχαιμένης παραγένηται ἐρωτησάσης, ἄρτι γὰρ καὶ μετὰ τὴν σὴν εἰς τὸν νεὼν πρόοδον ἐξελήλυθεν ἐναλειψόμενος τὼ ὀφθαλμώ, οἶσθα γὰρ ὡς φέρει τι μικρὸν ἔτι κακώσεως, μηδὲ ἐκεῖνος ἀπεκρίνατο. ἀλλ' ἐπικλεισαμένη τὰς θύρας, καὶ τὴν κλεῖν αὐτὴ κατέχουσα, φάσκε ἐμοὶ κομίζειν. οὕτως ἐγένετο. καὶ οὕτω τοι σχεδὸν τῆς Κυβέλης χωρισθείσης, καιρὸν ἡ μόνωσις τῷ Θεαγένει καὶ τῇ Χαρικλείᾳ θρήνων τε καὶ ὑπομνήσεως.

τῶν

τῶν καθ' ἑαυτοὺς ὑπηγόρευον. ἀεὶ τῶν αὐτῶν τε σχεδόν τι ῥημάτων καὶ νοημάτων ἀπωλοφύροντο. ἡ μὲν ὦ Θεάγενες. ὁ δὲ, ὦ Χαρίκλεια συνεχῶς ἐπιλεγόντων. καὶ ὁ μὲν, τίς ἄρα τύχη κατείληφεν ἡμᾶς. ἡ δὲ, ὁποίοις τε ἄρα συνεχόμεθα πράγμασι. καὶ ἐφ' ἑκάστῳ συνησπάζοντο ἀλλήλους. καὶ δακρύσαντες ἀνάπαλιν ἐφίλουν. καὶ τέλος τοῦ Καλασίριδος ὑπομνησθέντος, εἰς πένθος τὸ ἐκείνου τοὺς θρήνους κατέστρεφον. καὶ πλέον ἡ Χαρίκλεια. ἅτε καὶ πλείονι τῷ χρόνῳ, μείζονος δὲ ἀπ' αὐτοῦ αἰδοῦς τε καὶ εὐνοίας πεπειραμένη. καὶ ὦ τὸν Καλάσιριν ἀνεκάλει κωκύουσα. τὸ γὰρ χρηστὸν ὄνομα καλεῖν ἀπεστέρημαι πατέρα. τοῦ δαίμονος πανταχόθεν μοι τὴν τοῦ πατρὸς προσηγορίαν περικόψαι φιλονεικήσαντος. τὸν μὲν φύσει γεννήσαντα οὐκ ἔγνωκα. τὸν δὲ ποιησάμενόν με θετὴν θυγατέρα, οἴμοι προδέδωκα. τὸν δὲ διαδεξάμενον καὶ τρέφοντα καὶ περισώζοντα ἀπολώλεκα. καὶ οὐδὲ θρηνῆσαι τὰ νενομισμένα ἔτι κειμένῳ τῷ πτώματι πρὸς τοῦ προφητικοῦ συγκεχώρημαι. ἀλλ' ἰδού σοι τροφεῦ καὶ σῶτερ. προσθήσω δὲ καὶ πάτερ, κἂν ὁ δαίμων μὴ βούληται, ἔνθα γοῦν ἔξεστι καὶ ὡς ἔξεστιν, ἀπαρχὰς ἀποσπένδω τῶν ἐμαυτῆς δακρύων. καὶ ἐπιφέρω χοὰς ἐκ τῶν ἐμαυτῆς πλοκάμων. καὶ ἅμα ἀπεσπάραττεν ὡς ὅτι πλείστας τῶν ἑαυτῆς τριχῶν. καὶ ὁ μὲν Θεαγένης ἐπεῖχεν. ἐπιλαμβανόμενος σὺν ἱκεσίαις τῶν χειρῶν. ἡ δὲ, ἐπετραγῴδει. τί γὰρ δεῖ καὶ ζῆν ἔτι λέγουσα. εἰς ποίαν ἀφορῶντας ἐλπίδα. ὁ χειραγωγὸς τῆς ξένης. ἡ βακτηρία τῆς πλάνης. ὁ ξεναγὸς τῆς ἐπὶ τὴν ἐνεγκοῦσαν. ὁ τῶν φύντων ἀναγνωρισμός. ἡ παραψυχὴ τῶν δυστυχημάτων. ἡ εὐπορία καὶ λύσις τῶν ἀτυχημάτων, ἡ πάντων καθ' ἡμᾶς ἄγκυρα Καλάσιρις, ἀπόλωλε. τὴν ἀθλίαν ἡμᾶς ξυνωρίδα, πηρὸς ὥσπερ τῶν πρακτέων ὁδὸν τῆς ἀλλοδαπῆς καταλιπών. πᾶσα μὲν ἡμῖν ὁδοιπορία. πᾶσα δὲ ναυτιλία ὑπὸ ἀγνωσίας ὑποτέτμηται. οἴχεται ἡ σεμνὴ καὶ μειλίχιος, ἡ σοφὴ καὶ πολιὰ τῷ ὄντι φρὴν, τῶν εἰς ἡμᾶς εὐεργεσιῶν. οὔτε αὐτὴ τέλος. ἀραμένη. καὶ τοιαῦτα ἔτι καὶ ἕτερα πρὸς τούτοις ἐλεεινῶς ὀδυρομένης, καὶ τοῦ Θεαγένους τὰ μὲν, συνεξαίροντος τοῖς περὶ ἑαυτοῦ τὸν θρῆνον, τὰ δὲ, φειδοῖ τῆς Χαρικλείας καταστέλλοντος, ἐφίσταται ὁ Ἀχαιμένης. καὶ τὰς θύρας τοῖς κλείθροις ἐναπειλημμένας καταλαβὼν, τί ταῦτα





τὴν θυρωρὸν ἠρώτα. ὡς δὲ καὶ τῆς αὐτοῦ μητρὸς εἴσω τὸ ἔργον ἔμαθε, προσεστὼς ταῖς θύραις καὶ τὴν αἰτίαν διαπορῶν, ἤκουσε τῆς Χαρικλείας ὀδυρομένης. καὶ διακύψας διὰ τῶν ὀπῶν, καθ' ἃς διήκοιτο τῶν κλείθρων ἡ ἄλυσις, εἶδέ τε τὰ γινόμενα. καὶ αὖθις τὴν θυρωρὸν, οἵ τινες εἶσιν οἱ ἔνδον ἠρώτα. ἡ δὲ, τὰ μὲν ἄλλα οὐκ ἔχειν εἰδέναι ἔλεγεν. ὅτι δὲ κόρη καὶ νεανίας ξένοι τινὲς ὡς ἔχει εἰκάζειν, ἀρτίως παρὰ τῆς αὐτοῦ μητρὸς ἐσῳκισμένοι. ὁ δὲ, αὖθις διακύψας ἐπειρᾶτο διακρίνειν τοὺς ὁρωμένους. τὴν μὲν δὴ Χαρίκλειαν παντάπασιν ἀγνοῶν, ὅμως τοῦ κάλλους ὑπερεθαύμαζε. καὶ τίς ἂν ὀφθείη, καὶ ποία μὴ θρηνοῦσα ἐνενόει. καὶ τὸ θαῦμα λανθάνον, εἰς ἐρωτικὸν πάθος αὐτὸν κατέφερε. τὸν δὲ Θεαγένην ἀμυδρῶς τε καὶ ἀμφιβόλως γνωρίζειν ἐφαντάζετο. καὶ προσκειμένου τῇ σκέψει τοῦ Ἀχαιμένους, ἐφίσταται ἀναστρέψασα ἡ Κυβέλη. πάντα μὲν τὰ περὶ τοὺς νέους ὡς ἐγεγόνει διαγγείλασα. πολλὰ δὲ τῆς εὐτυχίας τὴν Ἀρσάκην μακαρίσασα. ὑφ' ἧς αὐτῇ τοσοῦτον ἐκ ταὐτομάτου κατώρθωται, ὃ βουλαῖς μυρίαις καὶ μηχαναῖς οὐκ ἄν τις ἤλπισεν, ὡς καὶ σύνοικον ἔχειν τὸν ἐρώμενον. καὶ πολλοῖς τοιούτοις τὴν Ἀρσάκην φυσήσασα, μόλις τε ἐπειγομένην πρὸς τὴν θέαν τοῦ Θεαγένους ἐπισχοῦσα, καὶ ὡς οὐ βούλοιτο αὐτὴν ὠχριῶσαν καὶ κυλοιδιῶσαν πρὸς τῆς ἀγρυπνίας ὀφθῆναι τῷ νεανίᾳ. ἀναπαυσαμένην δὲ τὴν παροῦσαν ἡμέραν, καὶ ἀναλαβοῦσαν τὸ συνηθὲς κάλλος, καὶ πολλοῖς τοιούτοις εὔθυμον αὐτὴν καὶ τὴν περὶ γνώμην εὔελπιν παρασκευάσασα, ἅτε προσήκει πράττειν, καὶ ὅπως προσφέρεσθαι τοῖς ξένοις παρεγγυήσασα, ἐπεὶ δ' οὖν ἐπέστη, τί πολυπραγμονεῖς ὦ τέκνον ἔλεγεν. ὁ δὲ, τοὺς ἔνδον ἔφη ξένους οἵ τινές εἰσιν, ἢ πόθεν. οὐ θέμις ὦ παῖ πρὸς αὐτὸν ἡ Κυβέλη. ἀλλ' ἐχεμύθει. καὶ περὶ σαυτὸν ἔχε. καὶ μηδενὶ φράζε. μὴ δὲ ἐπιμίγνυσο τὰ πολλὰ τοῖς ξένοις. οὕτω γὰρ δέδοκται τῇ δεσποίνῃ. ἐκεῖνος μὲν οὖν ἀπῄει ῥᾷστα τῇ μητρὶ πεπεισμένος. συνηθές τι καὶ ἀφροδίσιον διακόνημα τῇ Ἀρσάκῃ τὸν Θεαγένην ὑποτοπήσας. καὶ ἀπιὼν, οὐχ οὗτος δῆλον ἔλεγε πρὸς ἑαυτὸν, ὃν ἐγὼ πρώην παρὰ Μιτράνου τοῦ φρουράρχου παραλαβὼν ὥστε ἄγειν πρὸς Ὀροονδάτην ἀναπεμφθησόμενον βασιλεῖ τῷ μεγάλῳ, παρὰ Βησσαέων τε καὶ Θυάμιδος ἀφῃρέθην, μικροῦ καὶ τὸν περὶ τοῦ ζῆν ὑπο-



κυλοιδιῶσαν

ἐχεμύθει

στὰς κίνδυνον, καὶ μόνος ἐκ τῶν ἀγόντων διαδρᾶναι δυνηθείς; μὴ
ἄρα σφάλλουσί με οἱ ὀφθαλμοί; ἀλλὰ ῥᾷον ἔχω μὲν καὶ διαβλέπω
σχεδὸν τοῖς λοιποῖς συνήθως. καὶ μὴν καὶ τὴν θυσίαν ἀκήκοα προεῖναι τῇ
προτεραίᾳ. καὶ διαμονομαχήσαντα πρὸς τὸν ἀδελφόν, ἀνακεκομί-
σθαι τὴν ἱερωσύνην. οὗτος ἄρα ἐκεῖνος ἐστίν. ἀλλὰ τὸ παρὸν σιγητέον τὸν
ἀναγνωρισμόν. ἅμα δὲ παρατηρητέον, τίς ποτε ἡ περὶ τοὺς ξένους διά-
νοια τῆς δεσποίνης. ὁ μὲν, ταῦτα πρὸς ἑαυτόν. ἡ δὲ κυβέλη πρὸς τοὺς
νέους εἰσδραμοῦσα, ἴχνη τε τῶν νέων κατελάμβανε. πρὸς γὰρ τὸν ψόφον
τῶν θυρῶν ἀνοιγομένων, κατέστελλον μὲν ἑαυτούς. καὶ πρὸς τὸ σύνηθες
βλέμμα καὶ σχῆμα διαπλάττειν διεσπούδαζον. οὐ μὴν ἔλαθόν γε τὴν
πρεσβῦτιν. τῶν δακρύων ἔτι τοῖς ὄμμασιν ἐπιπλανωμένων. ἀναβοή-
σασα γοῦν ὦ γλυκύτατα τέκνα ἔλεγε. τί ταῦτα ἀωρὶ θρηνεῖτε. ἡνίκα
προσῆκε χαίρειν, ἡνίκα εὐδαιμονίζειν ἑαυτοὺς τῆς δεξιᾶς τύχης, ἀρ-
σάκης τὰ κάλλιστα καὶ τὰ κατ' εὐχὰς ὑμῖν διανοουμένης. καὶ ὀφθῆναί
τε ὑμᾶς εἰς τὴν ἑξῆς ἐπινευσάσης. καὶ τὸ παρὸν πᾶσαν δεξίωσιν καὶ
θεραπείαν ὑμῖν ἀποκληρωσάσης. ἀλλ' ἀπερριπτέον ὑμῖν τοὺς ληρώ-
δεις τούτους καὶ μειρακιώδεις τῷ ὄντι θρήνους. ὀρθοῦν δὲ καὶ ῥυθμίζειν ἑαυ-
τοὺς. εἴκειν τε καὶ ὑπηρετεῖσθαι τοῖς ἀρσάκης βουλήμασι. καὶ ὁ θεαγένης.
μνήμη ἔφη ὦ μῆτερ τῆς καλασίριδος τελευτῆς, εἰς λύπην ἡμᾶς ἀνε-
κίνησε. καὶ τὸ πατρικὸν ἐκείνου περὶ ἡμᾶς βούλημα ἀπεβεβληκό-
τας, εἰς δάκρυα κατήγαγεν. ὕθλος ἔφη ταῦτα καλάσιρις καὶ
πατήρ τις προσποιητὸς, πρεσβύτης, τῇ κοινῇ φύσει καὶ τῷ χρό-
νῳ τῆς ἡλικίας εἴξας. πάντα σοι πάρεστι δι' ἑνός. προστασία. πλοῦ-
τος. τρυφή. καὶ ἀπόλαυσις τῆς ἐφ' ἡλικίας ἀκμῆς. καὶ ἁπλῶς τύ-
χην σαυτοῦ νόμιζε καὶ προσκύνει τὴν ἀρσάκην. μόνον ἐμοὶ πεί-
θεσθε. πῶς μὲν αὐτῇ προσιτέον καὶ ὀπτέον ὅταν τοῦτο ἐπιτρέ-
ψῃ, πῶς δὲ χρηστέον καὶ ὑπουργητέον ὅταν τι προστάττῃ. τὸ γὰρ
φρόνημα ὡς οἶσθα μέγα καὶ ὑπέρογκον καὶ βασίλειον. νεότητι καὶ
κάλλει προσεξαιρόμενον. καὶ ὑπεροφθῆναι εἴ τι κελεύοι μὴ ἀνε-
χόμενον. πρὸς ταῦτα σιγήσαντος τοῦ θεαγένους, καὶ καθ' ἑαυ-
τὸν ὡς ἀηδῶν τινων καὶ μοχθηρῶν ὄντων δηλωτικὰ ἐννοοῦντος,
ὀλίγον ὕστερον εὐνοῦχοι παρῆσαν. λείψανα μὲν δῆθεν τῆς σατρα-
πικῆς τραπέζης ἐπὶ χρυσοῖς τῶν σκευῶν κομίζοντες. πᾶσαν δὲ





πολυτέλειαν καὶ χλιδὴν ὑπεραίροντα. καὶ τοῦτο εἰπόντες ἡ
δέσποινα δεξιοῦται καὶ τιμᾷ τὸ πρῶτον τοὺς ξένους. καὶ παραθέ-
μενοι τοῖς νέοις, παραχρῆμα ἀπεχώρουν. οἱ δὲ, ἅμα μὲν τῆς κυβέ-
λης προτρεπούσης, ἅμα δὲ προορῶντες μὴ δοκεῖν ἐνυβρίζειν τὴν
δεξίωσιν, ἀπεγεύοντο πρὸς βραχὺ τῶν παρακειμένων. καὶ τοῦτο
καὶ εἰς ἑσπέραν ἐγίνετο. καὶ ἐπὶ τὰς ἄλλας λοιπὸν ἡμέρας. τῇ δὲ
ἀπὸ ἀρχῆς ἐπὶ πρώτην που τῆς ἡμέρας ὥραν, οἱ συνήθεις εὐνοῦχοι πα-
ρόντες ὡς τὸν θεαγένην, μετακέκλησαι ὦ μακάριε πρὸς τῆς δε-
σποίνης ἔλεγον. καὶ ὀφθῆναί σε προστετάγμεθα. καὶ ἧκε τῆς εὐ-
τυχίας ἀπολαύσων, ἧς ὀλίγοις δὴ καὶ ὀλιγάκις μεταδίδωσιν. ὁ
δὲ, μικρὸν ἐφησυχάσας, καὶ οἷον πρὸς βίαν ἑλκόμενος, διανίστα-
ται, καὶ μόνον δέ με ἥκειν ἐπέσταλται πρὸς αὐτοὺς ἔλεγεν, ἢ καὶ
ἀδελφὴν ταυτηνὶ τὴν ἐμήν. τῶν δὲ, ὅτι μόνον. ἀποκρειναμένων,
ἐκείνην δὲ καθ' ἑαυτὴν ὀφθήσεσθαι, νυνὶ δὲ συμπαρεῖναι τῇ ἀρσά-
κῃ τῶν ἐν τέλει τινὰς περσῶν. καὶ ἄλλως ἔθος εἶναι, ἀνδράσι μὲν
ἰδίᾳ. γυναιξὶ δὲ καθ' ἕτερον καιρὸν χρηματίζειν, προσκύψας ὁ θεα-
γένης, οὔτε καλὰ ταῦτα οὔτε ἀνύποπτα πρὸς τὴν χαρίκλειαν
ἠρέμα εἰπών. ἀντακούσας δὲ ὡς δέησοι μὴ ἀντιβαίνειν, ἀλλὰ συν-
τρέχειν τὴν πρώτην καὶ ἐνδείκνυσθαι, ὡς πάντα πρὸς νοῦν τὸν ἐκείνης
ποιήσοντα, εἵπετο τοῖς ἄγουσι. καὶ ὅπως δεήσει τὴν ἔντευξιν ποιεῖ-
σθαι, καὶ ὡς ἔθος προσκυνεῖν τοὺς εἰσιόντας, οὐδὲν μὲν ἀπεκρίναντο. εἰσελ-
θὼν δὲ, καὶ προκαθημένην ἐφ' ὑψηλοῦ καταλαβὼν, ἁλουργῷ μὲν καὶ χρυσο-
πάστῳ ἐσθῆτι φαιδρυνομένην, ὅρμων δὲ πολυτελείᾳ καὶ τιάρας ἀξιώ-
ματι μεγαλαυχουμένην, καὶ παντοίᾳ κομμωτικῇ πρὸς τὸ ἁβρότερον
ἐξηνθισμένην, δορυφόρων τε ἐμπρεπεστάτων, καὶ τῶν ἐν δόξῃ ἑκατέρω-
θεν προέδρων προκαθημένων, οὐκ ἔπληξε τὸ φρόνημα. ἀλλ' ὥσπερ
τῶν συγκειμένων αὐτῷ πρὸς τὴν χαρίκλειαν ὑπὲρ τῆς θεραπευτικῆς
ὑποκρίσεως ἐπιλελησμένος, ἀντεξανέστη πλέον εἰς μεγαλοφροσύ-
νην, πρὸς τὸ ἀλαζονικὸν τῆς περσικῆς θέας. καὶ οὔτε ὀκλάσας οὔτε προ-
σκυνήσας, ἀλλ' ἀπ' ὀρθῆς τῆς κεφαλῆς, χαῖρε ἔφη βασίλειον αἷμα ἀρσά-
κη. τῶν δὲ παρόντων ἀγανακτούντων, καὶ θροῦν τινα ὅτι μὴ προσεκύνησε
κατασπαστικὸν τοῦ θεαγένους, ὡς τολμηροῦ καὶ θρασέος ἀφιέντων, ἡ ἀρσά-
κη μειδιάσασα, σύγγνωτε εἶπεν, ὡς ἀπείρῳ καὶ ξένῳ, καὶ τὸ ὅλον ἕλληνι.

καὶ τὴν ἐκεῖθεν ὑπεροψίαν καθ' ἡμῶν νοσοῦντι. καὶ ἅμα καὶ τῆς κεφαλῆς τὴν τιάραν ἀφεῖλε. πολλὰ τῶν παρόντων κωλυόντων. τοῦτο γὰρ πεποίηνται Πέρσαι τοῖς τὸν ἀσπασάμενον ἀμείβεσθαι. καὶ θάρσει ὦ ξένε εἶπε διὰ τοῦ ἑρμηνέως, συνεῖσα γὰρ τὴν ἑλλάδα γλῶτταν οὐκ ἐφθέγγετο. καὶ λέγε τίνος χρήζεις ὡς οὐκ ἀποτευξόμενος, ἀπέπεμπε. νεύματι τοῦτο πρὸς τοὺς εὐνούχους ἀποσημήνασα. προεπέμπετο δὲ μετὰ δορυφορίας. καὶ ὁ ἀχαιμενίδης αὖθις θεασάμενος, ἐγνώριζε μὲν ἀκριβέστερον, καὶ τῆς ἄγαν εἰς αὐτὸν τιμῆς τὴν αἰτίαν ὑποπτεύων ἐθαύμαζεν. ἐσίγα δ' οὖν ὅμως τὰ δεδογμένα πράττων. ἡ δὲ ἀρσάκη τοὺς ἐν τέλει περσῶν εἱστίασε. λόγῳ μὲν ὡς συνήθως ἐκείνους τιμῶσα, ἀληθέστερον δὲ τὴν πρὸς θεαγένην ἐντεῦξιν εὐωχίαν ἄγουσα, οὐ μοίρας μόνον κατὰ τὸ εἰωθὸς τῶν ἐδεσμάτων τοῖς περὶ τὸν θεαγένην ἀπέστελλεν, ἀλλὰ καὶ δάπιδας τινὰς, καὶ στρωμνὰς πεποικιλμένας, σιδωνίας τε καὶ λυδίας ἔργα χειρός. συναπέστελλε δὲ καὶ ἀνδράποδα ὑπηρετησόμενα. κόριον μὲν τῇ χαρικλείᾳ. παιδάριον δὲ τῷ θεαγένει. τὸ μὲν γένος ἰωνικά. τὴν δὲ ἡλικίαν, ἥβης ἐντός. πολλὰ τὴν κυβέλην παρακαλέσασα ἐπισπεύδειν, καὶ ὡς ὅτι τάχιστα διανύειν τὸν σκοπόν. οὐ γὰρ ἔτι φέρειν τὸ πάθος, οὐδὲν οὐδὲ αὐτὴν ἀνιεῖσαν, ἀλλὰ παντοίως ἐκπειρῶσαν τὸν θεαγένην. προδήλως μὲν γὰρ οὐκ ἐξέφαινε τὸ βούλευμα τῆς ἀρσάκης. κύκλῳ δὲ καὶ δι' αἰνιγμάτων εἰς τὸ συνιέναι προσβιβάζουσα. καὶ τήν τε περὶ αὐτὸν φιλοφροσύνην τῆς δεσποίνης μεγαλύνουσα, καὶ τὸ κάλλος. οὐ τὸ φαινόμενον μόνον, ἀλλὰ καὶ τὸ ἔνδον ἐσθῆτος μετά τινων εὐλόγων προφάσεων ὑπ' ὄψιν ἄγουσα. καὶ τὸ ἦθος, ὡς ἐράσμιον καὶ εὐόμιλον. καὶ χαίρουσα τοῖς ἀβροτέροις καὶ ἀγερωχοτέροις τῶν νέων. καὶ ὅλως ἀπόπειραν ἐν οἷς διεξήει λαμβάνουσα, εἰ προστρέχει τοῖς ἐπαφροδίτοις. καὶ ὁ θεαγένης, τὸ μὲν τῆς φιλοφροσύνης, καὶ ὡς φιλέλλην τὸ ἦθος καὶ ὅσα τοιαῦτα, συνεπῄνει. καὶ χάριν ὡμολόγει. τὰ δὲ ἐπαγωγὰ τῶν ἀτοπωτέρων, ὡς ἂν μηδὲ συνιεὶς τὴν ἀρχὴν ἑκὼν ὑπερέβαινε. πνιγμὸς τοίνυν εἶχε τὴν γραῦν, καὶ οἷον ἔλυζε τὴν καρδίαν, στοχαζομένη μὲν ὡς συνίησι τῆς προαγωγείας, ἀπαυθαδιαζόμενον δὲ καὶ διωθούμενον ὁρῶσα τὴν πεῖραν. καὶ τὴν ἀρσάκην οὐκ ἔτι φέρειν οἵα τε δι' ὄχλου

γινομένην.

δάπιδας

sidonia & lydia stragula

ἀπαυθαδιαζόμενον

μηδὲ τὴν ἀρχήν



γινομένην. καὶ καρτερεῖν οὐκ ἔτι δύνασθαι λέγουσαν, καὶ τὴν ἐπαγγελίαν ἀπαιτοῦσαν. ἣν ἄλλοτε ἄλλαις προφάσεσιν ὑπερετίθετο ἡ κυβέλη. νῦν μὲν βουλόμενον ἀποδειλιᾶν τὸν νεανίαν φάσκουσα, νῦν δὲ ἀνωμαλίαν τινὰ προσπεπτωκέναι πλαττομένη. ἐπεὶ δὲ πέμπτης που λοιπὸν καὶ ἕκτης ἡμέρας παρῳχηκυίας ἤδη, καὶ τὴν χαρίκλειαν τῆς ἀρσάκης ἅπαξ που καὶ δεύτερον προσκεκλημένης, καὶ εἰς τὸ τῷ θεαγένει κεχαρισμένον μετὰ τιμῆς καὶ φιλοφροσύνης ἑωρακυίας, ἀναγκάζεται καὶ λευκότερον διαλεχθῆναι τῷ θεαγένει. καὶ τὸν ἔρωτα ἀπαρακαλύπτως ἐξηγόρευε. πολλὰ καὶ μυρία ἀγαθὰ συγκαταθεμένῳ διεγγυωμένη, καὶ τίς ἡ ἀποδειλίασις προστιθεῖσα. τί δὲ τὸ ἀναφρόδιτον νέος οὕτω καὶ καλὸς καὶ ἀκμαῖος, γυναῖκα ὁμοίαν καὶ προστετηκυῖαν ἀπωθεῖται. καὶ οὐχ ἅρπαγμα οὐδὲ ἕρμαιον ἡγεῖται τὸ πρᾶγμα, δέους μὲν οὐδενὸς ἐπόντος τῇ πράξει. μήτε ἀνδρὸς παρόντος, κἀμοῦ τῆς θρεψαμένης, καὶ πάντα ἀπόρρητα διὰ χειρὸς ἐχούσης, τὴν ὁμιλίαν διακονούσης, μήτε σοί τινος ἐπόντος κωλύματος, οὐ νύμφης, οὐ γαμετῆς παρούσης, καίτοι καὶ τούτων ὑπερεῖδον πολλοὶ πολλάκις, ὅσοι δὴ νοῦν ἔχοντες, τοὺς μὲν οἰκείους ἔγνωσαν οὐδὲν ἐκ τούτου καταβλάψειν, αὑτοὺς δὲ ὠφελήσειν, κτήσεως χρημάτων προσγινομένης καὶ τῶν καθ' ἡδονὴν ἀπολαύσεων. τελευτῶσα δὲ, καὶ ἀπειλήν τινα κατεμίγνυ τοῖς λεγομένοις. αἱ χρησταὶ λέγουσα καὶ φιλόνεοι γυναῖκες, ἀμείλικτοι «
γίνονται καὶ βαρυμήνιδες ἀποτυγχάνουσαι. καὶ τοὺς ὑπερόπτας ὡς «
ὑβριστὰς εἰκότως ἀμύνονται. ταύτην δὲ, ὅτι καὶ περσὶς τὸ γένος «
ἐννόει, καὶ ὡς βασίλειον αἷμα, τοῦτο δὴ τὸ τῆς σῆς προρρήσεως. καὶ ὡς πολλὴν ἐξουσίαν καὶ δύναμιν περιβέβληται, ὑφ' ἧς αὐτῇ καὶ τιμῆσαι τὸν εὔνουν, καὶ κολάσαι τὸν ἐναντιούμενον ἐπ' ἀδείας. σὺ δὲ καὶ ξένος καὶ ἔρημος, καὶ ὁ προστησόμενος οὐδείς. φεῖσαι τὸ μορός, καὶ σαυτοῦ. φεῖσαι κἀκείνης. ἀξία δ' ἐστὶ παρὰ σοῦ φειδοῦς, εἰς τὰ δίκαια τῶν σῶν πόθων οὕτως ἐκμεμηνυῖα. εὐλαβήθητι καὶ μῆνιν ἐρωτικήν. φύλαξαι καὶ τὸ ἐκ τῆς ὑπεροψίας νεμεσητόν. πολλοὺς οἶδα μεταμεληθέντας. πεῖραν ἔχω σοῦ μᾶλλον τῶν ἀφροδίτης. ἡ πολιὰ θρὶξ ἣν ὁρᾷς αὕτη, πολλοῖς τοιούτοις ἐνήθλησεν. ἀλλ' οὕτως ἄτεγκτον καὶ ἀνήμερον οὐκ ἔγνωκα. καὶ ἀποστρέψασα τὸν λόγον πρὸς τὴν χαρίκλειαν

ὑπὸ τὸν Ἀρσάκης γὰρ κἀκείνης εἰς ἐπήκοον ἀπεθάῤῥησε τὰ τοιαῦτα διαλέγεσθαι. συμπαρακάλεσον ἔφη ὦ θύγατερ καὶ σύ, τὸν οὐκ οἶδ' ὅν τινα προσείπω προσηκόντως ἀδελφόν σου τοῦτον. συνοίσει καί σοι τὸ πρᾶγμα. οὐκ ἔλαττον ἀγαπηθήσῃ. πλέον τιμηθήσῃ. πλουτήσεις εἰς κόρον. γάμου σοι προνοήσει λαμπροῦ. ζηλωτὰ δὲ ταῦτα καὶ εὖ πράττουσι, μήτοιγε δὴ ξένοις, καὶ ἐν ἐνδείᾳ τὸ παρὸν ἐξεταζομένοις. ἡ δὲ Χαρίκλεια σεσηρός τι καὶ κατεσμυγμένον ὑποβλέψασα, δίκαιον μὲν ἦν ἔφη καὶ κάλλιστον, μηδὲν τοιοῦτον ὑποστῆναι τὴν πάντα ἀρίστην Ἀρσάκην. εἰ δὲ μή, δεύτερα γοῦν ἐγκρατείᾳ φέρειν τὸ πάθος. ἀλλ' ἐπειδή τι πέπονθεν ἀνθρώπινον, καὶ νενίκηται ὡς φής, καὶ ἥττων ἐστὶ τῆς ἐπιθυμίας, συμβουλεύσαιμ' ἄν, καὶ αὐτὴ Θεαγένει τούτῳ τὴν πρᾶξιν εἰ τὸ ἀσφαλὲς αὐτῷ προσείη, μὴ ἀρνεῖσθαι. μηδὲ ἡ λάθοι κακὸν αὐτός τε ἑαυτὸν κἀκείνην ἐργασόμενος, εἰ ταῦτα εἰς φῶς ἔλθοι καὶ γνοίη ποθὲν τὸ παράνομον τῶν δεδρασμένων ὁ σατράπης. ἀνήλατο πρὸς τοὺς λόγους ἡ Κυβέλη. καὶ περιπτύξασα, καὶ φιλήσασα πολλὰ τὴν Χαρίκλειαν, εὖ γε ἔφη ὦ τέκνον, ὅτι καὶ γυναῖκα ὁμοίαν σοι τὴν φύσιν ἠλέησας, καὶ τῆς ἀσφαλείας τἀδελφοῦ πεφρόντικας. ἀλλὰ τούτου γε ἕνεκα θάρσει. ὡς οὐδ' ὁ ἥλιος αὐτὸς δὴ τὸ τοῦ λόγου γνώσεται. ἐπίπαυε τὸ παρὸν ἔφη ὁ Θεαγένης. καὶ ἐνδὸς ἡμῖν εἰς ἐπίσκεψιν. ἐξελθούσης δὲ παραχρῆμα τῆς Κυβέλης, ὦ Θεάγενες ἔλεγεν ἡ Χαρίκλεια. ὁ μὲν δαίμων τοιαῦτα ἡμῖν προξενεῖ τὰ δυστυχήματα. ἐν

» οἷς πλέον ἐστὶ καὶ τὸ κακῶς πράττειν, τῆς δοκούσης εὐπραγίας. πλὴν

» ἀλλὰ συνετῶν γε ἐστὶ καὶ τὰ δυστυχήματα, ἐκ τῶν ἐνόντων πρὸς τὸ

» βέλτιον διατίθεσθαι. εἰ μὲν οὖν ἔχεις γνώμης καὶ τελέως δρᾶσαι τὸ ἔργον, οὐκ ἔχω λέγειν. καί τοι γε οὐκ, ἂν σφόδρα διενεχθεῖσα, εἰ πάντως ἡμῖν ἐν τούτῳ τὸ σώζεσθαι καὶ μὴ περιλείπεται. εἰ δὲ εὖ ποιῶν ἄτοπον δοκιμάζεις τὸ αἰτούμενον, ἀλλὰ σύ τε πλάττε τὸ συγκατατίθεσθαι, καὶ τρέφων ἐπαγγελίαις τῆς βαρβάρου τὴν ὄρεξιν, ὑπερθέσει ὑπότεμνε τὸ πρὸς ὀξύ τι καθ' ἡμῶν βουλεύσασθαι. ἐφηδύνων ἐλπίδι καὶ καταμαλάττων ὑποσχέσει τοῦ θυμοῦ τὸ φλεγμαῖνον. εἰκός τινα καὶ λύσιν θεῶν βουλήσει τὸν μεταξὺ χρόνον ἀποτεκεῖν. ἀλλ' ὦ Θεάγενες. ὅπως μὴ ἐκ τῆς μελέτης εἰς τὸ αἰσχρὸν τοῦ ἔργου κατολισθήσῃς. μειδιάσας οὖν ὁ Θεαγένης, ἀλλὰ σύ γε

οὐδὲ

*οὐδὲ ὁ ἥλιος γνώσεται*



οὐδὲ ἐν τοῖς δεινοῖς ἔφη, τὴν γυναικείαν ἔμφυτον νόσον ζηλοτυπίαν ἐκπέφευγας. ἐμὲ δὲ ἴσθι μὴ δὲ πλάττεσθαι τὰ τοιαῦτα δύνασθαι. ποιεῖν γὰρ τὰ αἰσχρὰ καὶ λέγειν, ὁμοίως ἀπρεπές. καὶ ἄλλως «

τὸ ἀπογνῶναι τὴν Ἀρσάκην, αὐτόθεν φέρει τι χάριεν, τὸ μηκέτι διοχλεῖν ἡμῖν. εἰ δὲ πάσχειν τι δέοι, φέρειν τὰ προσπίπτοντα ἤδη με πολλάκις, ἥ τε τύχη καὶ ἡ γνώμη παρεσκεύασε. μὴ λάθῃς εἰς μέγα κακὸν ἡμᾶς ἐμβάλλων εἰποῦσα ἡ Χαρίκλεια, ἐσιώπησε. καὶ τούτων ἐν ταύτῃ τῇ σκέψει διαγόντων, ἡ Κυβέλη πάλιν ἀναπτερώσασα τὴν Ἀρσάκην, καὶ ὡς τὰ δεξιώτερα χρὴ προσδοκᾶν εἰποῦσα, ἐνδεδέχθαι γάρ τι τὸν Θεαγένην τοιοῦτον, ἐπανῆλθεν εἰς αὐτοὺς δωμάτιον. κἀκείνην διαλυποῦσα τὴν ἑσπέραν, καὶ πολλὰ διὰ τῆς νυκτὸς ὁμόκοιτον οὖσαν ἐξ ἀρχῆς τὴν Χαρίκλειαν παρακαλέσασα συμπράττειν, εἰς ἕω πάλιν, ἠρώτα τὸν Θεαγένην, τίνα εἴη τὰ δεδογμένα. ἀπειπόντος δὴ λαμπρῶς, καὶ παντοίως τὸ προσδοκᾶν ἀποφήναντος, συντόνως ὡς τὴν Ἀρσάκην ἀπέδραμεν ἡ Κυβέλη. καὶ ὡς τὸ ἀπηνὲς τὸ παρὰ Θεαγένους ἐξήγγειλε, τὴν γραῦν ἐπὶ κεφαλὴν ἐξωσθῆναι προστάξασα, εἰσδραμοῦσα τε εἰς τὸν θάλαμον, ἔκειτο ἐπὶ τῆς εὐνῆς ἑαυτὴν σπαράττουσα. καὶ ἄρτι τῆς γυναικωνίτιδος ἐκτὸς γεγονυῖαν τὴν Κυβέλην, ἰδὼν ὁ υἱὸς Ἀχαιμένης κατηφῆ τε καὶ δεδακρυμένην, μή τι ἄτοπον, μή τι πονηρὸν ὦ μῆτερ προσπέπτωκεν ἠρώτα, μή τις ἀγγελία τὴν δέσποιναν ἠνίακεν, μή τι δυστύχημα ἀπὸ στρατοπέδου προσήγγελται; μή τι κατὰ πονοῦσι περὶ τὸν ἐνεστῶτα πόλεμον Αἰθιόπων δεσπότην Ὀροονδάτην; καὶ πολλὰ τοιαῦτα εἰπὼν ἠρώτα. ἡ δέ, ἀδολεσχεῖς εἰποῦσα ἀπέτρεχεν. ὁ δέ, οὐδ' ἔν τι μᾶλλον ἀνίει. ἀλλὰ παρακολουθῶν, καὶ τῶν χειρῶν λαβόμενος καὶ κατασπαζόμενος, ἐξαγορεύειν πρὸς παῖδα τὸν ἴδιον τὰ λυποῦντα ἱκέτευε. λαβοῦσα δὴ αὐτόν, καὶ εἴς τι μέρος τοῦ παραδείσου χωρισθεῖσα, ἄλλῳ μὲν οὐκ ἄν, ἔφη ἐξεῖπον τὰ ἐμαυτῆς τε καὶ δεσποίνης κακά. ἐπεὶ δὲ ἐκείνη ἐν τῷ παντὶ σάλῳ, κἀγὼ τὸν περὶ τοῦ ζῆν προσδοκῶ κίνδυνον, οἶδα γὰρ ὡς ἡ Ἀρσάκης ἀνία καὶ μανία εἰς ἐμὲ ἀποσκήψει, λέγειν ἀναγκάζομαι. μὴ δὴ ζῶνα καὶ ἐπικουρίαν τῇ γεννησάσῃ, καὶ εἰς φῶς παραγούσῃ, καὶ τοσοῦτον ἐκθρεψαμένῃ τοῖς μαζοῖς ἐπινοήσειας. ἐρᾷ τοῦ νέου τοῦ παρ'

ἡμῖν

*ποιεῖν τὰ αἰσχρὰ ἢ λέγειν ὁμοίως ἀπρεπές*

ἡμῖν ἡ δέσποινα. καὶ ἐρᾷ, οὐ φορητόν τινα οὐδὲ νενομισμένον, ἀλλ' ἀνίατον ἔρωτα. καὶ ὃν εἰς δεῦρο κατορθώσειν ἐγώ τε κἀκείνη μάτην ἠπατώμεθα. καὶ αὗται ἦσαν αἱ πολλαὶ φιλοφροσύναι καὶ ποικίλαι δεξιώσεις αἱ περὶ σοῦ ξένους. ἐπεὶ δὲ εὐήθης τίς καὶ θρασύς ἐστιν ἀπηνὴς ὢν ὁ νεανίας ἀπεῖπε τὰ πρὸς ἡμᾶς, οὐδὲ ἐκείνην οἶδα βιωσομένην καὶ ἐμαυτὴν ἀναιρησομένην. ταῦτα δὴ ὦ παῖ. καὶ εἰ μὲν ἔχεις τι βοηθεῖν, σύμπραττε. εἰ δὲ μή, τελευτήσασαν τὴν μητέρα κήδευε. καὶ ὅς, μισθὸς δέ μοι τίς ἔσται ἔφη ὦ μῆτερ. οὐ γάρ μοι καιρὸς θρύπτεσθαι πρὸς σέ. οὐδὲ ἐκ περιόδων, οὐδὲ κυκλούμενον τοῖς λόγοις τὴν βοήθειαν ἐπαγγέλλεσθαι, πρὸς οὕτως ἀγωνιῶσαν ἐστὶν ἐγγὺς λειποψυχοῦσαν. πᾶν ὅτι βούλει ἔφη προσδόκα ἡ κυβέλη. ἀρχιοινοχόον μὲν γάρ σε καὶ νῦν εἰς ἐμὴν τιμὴν πεποίηται. εἰ δέ τι μεῖζον ἀξίωμα περινοεῖς, ἀπάγγελλε. πλούτου γὰρ οὐδὲ ἀριθμὸς ἔσται ὅσον ἂν κομίσαιο, σωτὴρ τῆς ἀθλίας γενόμενος. πάλαι ταῦτα ἔφη δι' ὑποψίας ἔχων ὦ μῆτερ ἐγὼ καὶ συνεὶς, ἐσιώπων τὸ μέλλον ἀπεκδεχόμενος. ἀλλ' οὐδὲ ἀξιώματος οὐδὲ πλούτου μεταποιοῦμαι. τὴν δὲ κόρην τὴν ἀδελφὴν λεγομένην τοῦ θεαγένους, εἴ μοι πρὸς γάμον ἐκδοίη, πάντα αὐτῇ τὰ κατὰ γνώμην πεπράξεται. ἐρῶ δὲ ὦ μῆτερ τῆς κόρης οὐχὶ μετρίως. ὥστε ἐκ τῶν ἰδίων γινώσκουσα τὸ πάθος ἡ δέσποινα, καὶ ὅσον τι καὶ οἷον ἐστί, δικαίως ἂν, καὶ αὐτὴ συμπράττοι τῷ ταῦτα νοσοῦντι. καὶ ἄλλως τοσοῦτο κατόρθωμα ἐπαγγελλομένῳ. μηδὲν ἀμφίβαλλε εἶπεν ἡ κυβέλη. ἥτε γὰρ δέσποινα δώσει τὴν χάριν ἀνενδοιάστως, εὐεργέτῃ σοι ἐστὶ σωτῆρι γεγενημένῳ, καὶ ἄλλως τάχα ἂν, ἐστὶ καθ' ἑαυτοὺς πείσαιμεν τὴν κόρην. ἀλλὰ τίς ὁ τρόπος εἶπε τῆς βοηθείας. οὐκ ἄν. εἴποιμι ἔφη, πρὶν ὅρκοις ἐμπεδωθῆναί μοι τὴν ἐπαγγελίαν παρὰ τῆς δεσποίνης. σὺ δὲ μὴ δὲ ἀποπειραθῇς τὴν ἀρχὴν τῆς κόρης. ὁρῶ γὰρ πῶς κἀκείνην ἄνω τι φρονοῦσαν καὶ μέγα. μὴ ἐστὶ λάθῃς τὸ πρᾶγμα διαστρέψασα. πάντα γενήσεται εἰποῦσα, εἰσέδραμεν εἰς τὸν θάλαμον ὡς τὴν ἀρσάκην, καὶ προσπεσοῦσα τοῖς γόνασιν, εὔθυμος ἔσο ἔφη. πάντα σοι θεῶν βουλήσει κατορθοῦται. τὸν παῖδα μόνον τὸν ἐμὸν ἀχαιμένην εἰς κληθῆναι πρόσταξον. εἰς κεκλήσθω εἶπεν ἡ ἀρσάκη, εἰ μή τι με πάλιν ἀπατᾶν μέλλοις. εἰσῆλθεν ἀχαιμένης καὶ πάντα διελθούσης





θούσης τῆς πρεσβύτιδος, ἐπώμοσεν ἡ ἀρσάκη πράξειν τὸν γάμον τῆς ἀδελφῆς θεαγένους. ὁ δὴ ἀχαιμένης, δέσποινα ἔφη, πεπαύσθω λοιπὸν θεαγένης, δοῦλος ὢν καὶ θρυπτόμενος κατὰ δεσποίνης ἰδίας. καὶ πῶς οὕτω λέγεις ἐρωτησάσης, ἅπαντα διηγόρευεν. ὡς πολέμου νόμῳ ληφθεὶς ἐστὶ γένοιτο αἰχμάλωτος ὁ θεαγένης. ὡς μιτράνης ἐκπέμψειεν αὐτὸν πρὸς ὀροονδάτην, ἀναπεμφθησόμενον βασιλεῖ τῷ μεγάλῳ. ὡς αὐτὸς ἵνα ἄγοι παραλαβὼν ἀπολέσειεν. ἔφοδον βησσαέων καὶ θυάμιδος κατατολμησάντων. ὡς μόλις αὐτὸς διαδράσειε. καὶ ἅμα πᾶσι τὸ γράμμα τοῦ μιτράνου πρὸς ὀροονδάτην προευτρεπισμένος ἐπεδείκνυε τῇ ἀρσάκῃ. καὶ εἰ προσδέοιτο καὶ ἑτέρων ἀποδείξεων, ἕξειν μαρτυροῦντα καὶ τὸν θύαμιν. ἀνέπνει πρὸς ταῦτα ἡ ἀρσάκη. καὶ οὐδὲν ὅσον μελλήσασα, πρόεισί τε τοῦ θαλάμου, καὶ εἰς τὸν οἶκον οὗ προκαθημένη χρηματίζειν εἰώθει παρελθοῦσα, ἄγεσθαι τὸν θεαγένην ἐκέλευσεν. ἐπειδὴ ἤχθη ἠρώτα εἰ γνωρίζει τὸν ἀχαιμένην ἐξ ὄψεως πλησίον ὑποδεικνῦσα. τοῦ δὲ φήσαντος, οὐκοῦν ὅτι ἐστὶ αἰχμάλωτον ἦγέ σε παραλαβὼν αὖθις ἠρώτα. συμφήσαντος καὶ τοῦτο τοῦ θεαγένους. δοῦλος τοίνυν ἡμέτερος ἴσθι. καὶ σὺ μὲν πράξεις τὰ οἰκετῶν. τοῖς μὲν ἡμετέροις νεύμασι καὶ ἄκων ἑπόμενος, ἀδελφὴν δὲ τὴν σὴν, ἀχαιμένῃ τῷδε πρὸς γάμον ἐγγυῶ, τὰ πρῶτα φερομένῳ παρ' ἡμῖν. τῆς τε μητρὸς ἕνεκεν, καὶ τῆς ἄλλης αὐτοῦ περὶ ἡμᾶς εὐνοίας. ὑπερθεμένη τοσοῦτον, ὅσον ἡμέραν προορίσαι. καὶ τὰ πρὸς τὴν εὐωχίαν λαμπρότερον εὐτρεπισθῆναι. ὁ δὲ θεαγένης ἐβέβλητο μὲν ὡς ὑπὸ τρώσεως τῶν λόγων. ἔγνω δ' οὖν μὴ ὁμόσε χωρεῖν. ἀλλὰ καθάπερ θηρὸς τὴν ὁρμὴν ἐκκλῖναι. καὶ ὦ δέσποινα ἔλεγε. θεοῖς χάρις ὅτι εὐγενείας τὰ πρῶτα ὄντες, ταῦτα γοῦν ὡς ἐν δυστυχήμασιν εὐπραγοῦμεν. τὸ μὴ ἄλλοις, σοὶ δὲ δουλεύειν. ἢ καὶ ἀλλοτρίους ἡμᾶς δοκοῦντας καὶ ξένους, οὕτως ἡμέρως τε καὶ φιλοφρόνως ἑώρας. ἀδελφῆς δὲ τῆς ἐμῆς ἕνεκεν, αἰχμαλώτου μὲν οὐκ οὔσης οὐδὲ διὰ τοῦτο δούλης, αἱρουμένης δὲ θεραπεύειν καὶ κεκλῆσθαι τὸ σοὶ καθ' ἡδονὴν βουλευσαμένης, πράττε τοῦθ' ὅπερ ἂν ἔχειν ὀρθῶς δοκιμάζῃς. ἡ δὲ ἀρσάκη, κατατετάχθω ἔφη ἐν τοῖς τραπεζοκόμοις, ἐστὶ οἰνοχοεῖν πρὸς ἀχαιμένους ἐκδιδασκέσθω, πρὸς τὴν βασιλικὴν διακονίαν πόῤῥωθεν προεθιζόμενος.

τραπεζοκόμοις paies uulgo

μενος. ἐξῄεσαν οὖν, σιωπῶντος μὲν ὁ Θεαγένης καὶ τῶν πρακτέων εἰς ἐπίσκεψιν τὸ βλέμμα περιστρέφων. γελῶν δὲ Ἀχαιμένης καὶ τοῦ Θεαγένους καταμωκώμενος, ὁ σοβαρὸς ἡμῖν ἀρτίως λέγων καὶ ὑπερήφανος, ὁ τὸν αὐχένα ἄκαμπτος καὶ μόνος ἐλεύθερος, ὁ τὴν κεφαλὴν νεῦσιν εἰς τὸ προσκυνεῖν οὐκ ἀνεχόμενος, νῦν που τάχα κλινεῖς, ἢ καὶ κονδύλοις ὑφέξῃ ταύτην παιδαγωγούμενος. ἡ δὲ Ἀρσάκη τοὺς ἄλλους ἀποπέμψασα, πρὸς μόνην τὴν Κυβέλην, νῦν δὴ ἔφη ὦ Κυβέλη πᾶσα περιῄρηται πρόφασις. καὶ λέγε ἐλθοῦσα πρὸς τὸν ὑπερήφανον, ὡς πειθόμενος μὲν ἡμῖν καὶ τὴν νόσον τὴν ἡμετέραν πραΰνων, ἐλευθερίας τε μεθέξει, καὶ ἀφθόνως ἐν εὐπορίᾳ βιώσεται. τοῖς δὲ ἐναντίοις περιμένων, ἐρωμένης τε ὑπερφρονουμένης, καὶ δεσποίνης ἅμα ἀγανακτούσης αἰσθήσεται. δουλείαν μὲν τὴν ἐσχάτην καὶ ἀτιμοτάτην ὑπηρετησόμενος. κολάσεως δὲ πᾶν εἶδος ὑποστησόμενος. ἦλθεν ἡ Κυβέλη καὶ ἀπήγγειλε τὰ παρὰ τῆς Ἀρσάκης. πολλὰ καὶ παρ' ἑαυτῆς εἰς προτροπὴν τῶν φαινομένων λυσιτελῆ προσθεῖσα. ὁ δὴ Θεαγένης, ὀλίγον περιμεῖναι παρακαλέσας, μόνος τε πρὸς τὴν Χαρίκλειαν ἰδιάσας, οἴχεται τὰ καθ' ἡμᾶς ἔφη Χαρίκλεια. πᾶν δὴ ἤδη τὸ τοῦ λόγου πεῖσμα διέῤῥηκται. πᾶσα ἐλπίδος ἄγκυρα παντοίως ἀνέσπασται. καὶ οὐδὲ μετ' ὀνόματος γοῦν ἐλευθέρου δυστυχοῦμεν. ἀλλὰ δοῦλοι γεγόναμεν αὖθις. καὶ ὅπως προστίθει. καὶ βαρβαρικαῖς λοιπὸν ἐγκείμεθα αἰκίαις. ἢ πράττοντες τὰ δοκοῦντα τοῖς δεσπόταις, ἢ τοῖς κατακρίτοις ἐναριθμούμενοι. καὶ ταῦτα μὲν ἔφη φορητά. τὸ δὲ πάντων βαρύτατον, Ἀχαιμένει τῷ Κυβέλης υἱεῖ πρὸς γάμον ἐκδώσειν ἡ Ἀρσάκη σε κατεπηγγείλατο. καὶ τοῦτο μὲν ὅτι μὴ ἔσται, ἢ γινόμενον οὐκ ὄψομαι, δῆλον. ἕως ἄν, ὁ βίος ξιφῶν τε καὶ ἀμυντηρίων εὐπορῇ. τί δὲ χρὴ πράττειν, ἤ τινα μηχανὴν ἐπινοεῖν, ὥστε διακρούσασθαι τήν τε ἐμὴν πρὸς Ἀρσάκην, καὶ τὴν σὴν πρὸς Ἀχαιμένην ἀπευκτὴν συνόδον. μίαν ἔφη πρὸς αὐτὸν ἡ Χαρίκλεια κατανεύσας, τὴν ἑτέραν τὴν κατ' ἐμὲ διακωλύσεις. εὐφήμησον ἔφη. μὴ γὰρ οὕτως ὁ δαίμων τοῦ ἡμετέρου βαρύτης ἰσχύσειεν, ὥστε με τὸν Χαρικλείας ἀπείρατον, ἄλλης ὁμιλίας παρανόμως μιανθῆναι. ἀλλὰ

τὶ δρα-

πάρος / ἄρτι
πᾶν δὴ τὸ πεῖσμα
διέῤῥηκται



τὶ δρασείοντα ἐπεγνωκέναι μοι δοκῶ. εὑρετὶς ἄρα ἐστὶ λογισμῶν ἡ ἀνάγκη. καὶ ἅμα πρὸς τὴν Κυβέλην μεταστὰς ἀπάγγελλε εἰπὲ τῇ δεσποίνῃ βούλεσθαί με μόνῃ καὶ ἰδίᾳ τῶν ἄλλων ἐντυχεῖν. τοῦτ' ἐκεῖνο νομίσασα εἶναι ἡ πρεσβῦτις καὶ ὑποπεπτωκέναι τὸν Θεαγένην, ἀπήγγελλέ τε πρὸς τὴν Ἀρσάκην. καὶ μετὰ δεῖπνον ἄγειν τὸν νεανίαν ἀκούσασα, οὕτως ἔπραττε. καὶ ἡσυχίαν παρασχεῖν τῇ δεσποίνῃ τοὺς παρεδρεύοντας κελεύσασα καὶ μὴ παρενοχλεῖν τοῖς περὶ τὸν θάλαμον, παρεισῆγε τὸν Θεαγένην. τῶν μὲν ἄλλων οἷα δὴ νυκτὸς ὑπὸ σκότους κατεχομένων, καὶ λαθεῖν παρεχόντων. μόνον δὲ τὸν θάλαμον λύχνου καταυγάζοντος. καὶ εἰσαγαγοῦσα, ὑπεξέστελλεν ἑαυτήν. ἀλλ' ὁ Θεαγένης ἐπεῖχε. παρέστω καὶ ἡ Κυβέλη τὸ παρὸν ὦ δέσποινα εἰπών. οἶδα ὡς τὸ πιστὸν ἔχει φυλακῆς τῶν ἀποῤῥήτων. καὶ ἅμα τῶν χειρῶν τῆς Ἀρσάκης λαβόμενος, ὦ δέσποινα ἔλεγεν. οὔτε πρότερον ἀπαυθαδιζόμενος πρὸς τὸ βούλημα τὸ σὸν ὑπερεθέμην τὸ κελευόμενον, ἀλλ' ὅπως ἄν, ἀσφαλῶς γένοιτο πρυτανευόμενος, νῦν τέ με ἐπειδή με καὶ δοῦλον τάχα καλῶς ποιοῦσα ἡ τύχη σὸν ἀπέφηνε, πολὺ πλέον εἰς πάντα ἕτοιμος εἴκειν. ἕν μοι μόνον παρασχέσθαι νεῦσον. καίτοι πολλὰ καὶ μεγάλα ὑποσχομένη, ἄπειπε τὸν γάμον Ἀχαιμένει τὸν Χαρικλείας. τῶν γὰρ ἄλλων σιωπωμένων, τὴν εὐγενείᾳ τῇ μεγίστῃ κομῶσαν, οἰκότριβι συνοικεῖν, ἀθέμιστον. ἢ ἐπόμνυμι σοὶ θεῶν τὸν κάλλιστον ἥλιον καὶ θεοὺς τοὺς ἄλλους, ὡς οὔτε ὑπείξω τῷ σῷ βουλήματι, καὶ εἰ γένοιτό τι πρὸς βίαν εἰς τὴν Χαρίκλειαν, ἐπόψει με πρότερον ἐμαυτὸν διαχρησάμενον. καὶ ἡ Ἀρσάκη, μὴ ἀπίστει ἔφη βούλεσθαί με πάντα σοι χαρίζεσθαι. ἥτις καὶ ἐμαυτὴν ἕτοιμος ἐκδιδόναι. ἀλλὰ προληφθεῖσα ἐπώμοσα ἐκδώσειν Ἀχαιμένει τὴν σὴν ἀδελφήν. εὖ ἔφη ὦ δέσποινα. τὴν ἀδελφὴν τοίνυν ἥτις ἐστίν, ἐκδίδου. μνηστὴν δὲ τὴν ἐμὴν καὶ νύμφην, καὶ τί γὰρ ἄλλο ἢ γαμετήν, οὔτε θελήσεις ἐκδοῦναι εὖ οἶδα, οὔτε θελήσασα ἐκδώσεις. πῶς ἔφη λέγεις. ὁ δὲ τὰ ὄντα ἀπεκρίνατο.

 οὐ γὰρ

εὑρετὶς λογισμῶν ἡ ἀνάγκη

οἰκότριβι

οὐ γὰρ ἀδελφὴν ἔχω τὴν Χαρίκλειαν. ἀλλὰ νύμφην ὥσπερ ἔλεγον. ὡς λελύσθαι μέν σοι τὸν ὅρκον. ἐξεῖναι δὲ εἰ βούλοιο καὶ ἄλλην ἔχειν ἀπόδειξιν. τοὺς γάμους ὅταν κελεύῃς ἐμοῦ τε κἀκείνης συνάψουσα. ἀπεκνίσθη μὲν νύμφην οὐκ ἀδελφὴν εἶναι τὴν Χαρίκλειαν, οὐκ ἄνευ ζηλοτυπίας ἀκούσασα. πλὴν ἀλλ' ἔσται οὕτως εἶπεν ἡ Ἀρσάκη. καὶ Ἀχαιμένην ἡμεῖς ἑτέρῳ γάμῳ παραμυθησόμεθα. ἔσται καὶ τὸ ἐμοῦ φησὶ πρὸς σὲ Θεαγένης. τούτων διακριθέντων, καὶ ἅμα προσῄει ὡς τὰς χεῖρας φιλήσων. ἡ δέ, προκύψασα, καὶ στόμα ἀντὶ τῶν χειρῶν προβαλοῦσα ἐφίλησε. καὶ ἐξῆλθεν ὁ Θεαγένης φιληθείς. οὐ μὴν αὐτός γε φιλήσας. καὶ τῇ Χαρικλείᾳ καιροῦ λαβόμενος, ἅπαντα ἐξεῖπεν. οὐκ ἄνευ ζηλοτυπίας οὐδὲ ἐκείνης ἔνια μανθανούσης. καὶ τὸν ἄτοπον τῆς ἐπαγγελίας σκοπὸν προσετίθηκεν. καὶ ὡς πολλὰ δι' ἑνὸς ἀνύοιτο. Ἀχαιμένει γὰρ διασεσόβηται ὁ γάμος, καὶ τῇ κατ' Ἀρσάκην ἐπιθυμίᾳ, πρόφασις τὸ τέως ὑπερθέσεως ἐπινενόηται. καὶ τὸ δὴ κεφάλαιον, ὡς εἰκὸς τὸν Ἀχαιμένην ἅπαντα ταραχῆς ἐμπλήσειν. ἀνιώμενον μὲν ἐφ' οἷς ἀποτυγχάνει προσδοκήσας. ἀγανακτοῦντα ἐφ' οἷς ἠλάττωται παρὰ τῇ Ἀρσάκῃ διὰ τὴν εἰς ἐμὲ χάριν. οὐ γὰρ δὴ λήσεται αὐτὸν οὐδὲν τῆς μητρὸς ἐξαγορευούσης. ἣν ἐπίτηδες παρεῖναι τοῖς λεγομένοις προὐνοησάμην. μηνυθῆναί τε ταῦτα τῷ Ἀχαιμένει βουλόμενος. καὶ μάρτυρα τῆς ἄχρι λόγων πρὸς τὴν Ἀρσάκην ὁμιλίας ποιούμενος. ἀρκεῖ μὲν γὰρ ἴσως καὶ τὸ μηδὲν αὑτῷ συνειδέναι φαῦλον. συμμαχείᾳ τῇ παρὰ τῶν κρειττόνων ἐπελπίζειν. καλὸν δὲ καὶ ἀνθρώπων τοὺς συνόντας πείθοντα, σὺν παρρησίᾳ τὸν ἐπίκαιρον τοῦτον βίον διάγειν. προσετίθει δὲ κἀκεῖνα. ὡς σφόδρα χρὴ προσδοκᾶν καὶ ἐπιβουλεύειν τῇ Ἀρσάκῃ τὸν Ἀχαιμένην. ἄνδρα δοῦλον μὲν τὴν τύχην. ἀντίθετον δὲ ὡς ἐπίπαν τῷ κρατοῦντι τὸ κρατούμενον. ἀδικούμενον δὲ καὶ εἰς ὅρκους ἀθετούμενον. ἐρῶντα δὲ καὶ ἄλλους ἑαυτοῦ προτετιμῆσθαι πειθόμενον. συνειδότα δὲ τὰ πάντων αἴσχιστα καὶ παρανομώτατα, καὶ οὐδὲν εἰς τὴν ἐπιβουλὴν πλάσασθαι δεόμενον. οἷα δὴ πολλοὶ πολλάκις ἀνιαθέντες ἐτόλμησαν. ἀλλὰ καὶ ἐκ τῶν ἀληθῶν ἔχοντα πρόχειρον τὴν ἄμυναν. τοιαῦτα πολλὰ διελθὼν πρὸς Χαρίκλειαν, καὶ τὰ μέτρια θαρσεῖν παρακελεύσας, εἰς τὴν ἐξῆς ὑπηρετησόμενος ταῖς τραπέζαις·





πέζαις ὑπὸ τοῦ Ἀχαιμένους ἤγετο. προστεταγμένον γὰρ παρὰ τῆς Ἀρσάκης. καὶ ἐσθῆτα τῶν πολυτελῶν περσικὴν ἀποστειλάσης. ταύτην τε μετημφιέννυτο. καὶ στρεπτοῖς καὶ χρυσοῖς, καὶ περιαυχενίοις λιθοκόλλοις, ἑκών τε τὸ μέρος καὶ ἄκων ἐκοσμεῖτο. καὶ τοῦ Ἀχαιμένους ὑποδεικνῦναι καὶ ἀφηγεῖσθαι τῶν οἰνοχοϊκῶν πειρωμένου, προσδραμὼν ὁ Θεαγένης ἑνὶ τῶν κυλικοφόρων τριπόδων, καὶ φιάλην τῶν πολυτίμων ἀνελόμενος, οὐδὲν ἔφη δέομαι διδασκάλων. ἀλλ' αὐτοδίδακτος ὑπουργήσω τῇ δεσποίνῃ. τὰ οὕτω ῥᾷστα μὴ θρυπτόμενος. σὲ μὲν γὰρ ὦ βέλτιστε ἡ τύχη εἰδέναι τὰ τοιαῦτα καταναγκάζει, ἐμὲ δὲ καὶ ἡ φύσις τὰ πρακτέα καὶ ὁ καιρὸς ὑπαγορεύει. καὶ ἅμα προσέφερε τῇ Ἀρσάκῃ προσηνῶς κερασάμενος. εὔρυθμόν τέ τι. καὶ ἄκροις τοῖς δακτύλοις ἐποχῶν τὴν φιάλην, ἐκείνην μὲν πλέον ἢ πρότερον τὸ ποτὸν ἐξεβάκχευσεν, ἐπιρροφοῦσάν τε ἅμα καὶ ἀκλινῶς εἰς τὸν Θεαγένην ἀτενίζουσαν. καὶ τοῦ ἔρωτος πλέον ἢ τοῦ κράματος ἕλκουσαν. καὶ τὴν φιάλην ἐπίτηδες οὐκ ἐκπίνουσαν. ἀλλὰ σὺν τέχνῃ καὶ διὰ μικροῦ τοῦ λειψάνου τῷ Θεαγένει προπίνουσαν. ἀντιτέτρωτο δὲ ἐκ θατέρου ὁ Ἀχαιμένης. ὀργῆς ἅμα καὶ ζηλοτυπίας ἐμπλησθείς, ὡς μηδὲ λανθάνειν τὴν Ἀρσάκην. ὑποβλέψαντά τε, καί τι πρὸς τοὺς παρόντας ἠρέμα διαγογγύσαντα. ἤδη δὲ διαλυομένου τοῦ συμποσίου, πρώτην αἰτῶ χάριν ὦ δέσποινα ἔφη ὁ Θεαγένης, ὑπηρετοῦντά με μόνον ἀμφιέννυσθαι ταύτῃ τῇ στολῇ κέλευσον. ὡς δὲ ἐπένευσεν ἡ Ἀρσάκη τὰ συνήθη μεταμφιασάμενος ἐξῄει. συνεξῄει δὲ καὶ ὁ Ἀχαιμένης. πολλὰ τῆς προπετείας τὸν Θεαγένην ὀνειδίζων. καὶ ὡς μειρακιῶδες εἴη τὸ πρόχειρον. καὶ ὡς τὴν μὲν πρώτην ἡ δέσποινα τὸν ξένον καὶ ἄπειρον ὑπερεῖδεν. εἰ δὲ ἐπιμείνας βλακευόμενος, οὐ χαιρήσει. καὶ ὅτι φίλος ὢν ταῦτα συμβουλεύοι. μᾶλλον δὲ ὀλίγον ὕστερον καὶ εἰς γένος συναφθησόμενος. καὶ ἀδελφῆς τῆς ἐκείνου καθ' ὑπόσχεσιν τῆς δεσποίνης ἀνὴρ ἐσόμενος. καὶ πολλὰ μὲν τοιαῦτα ἐκεῖνος ἔλεγεν. ὁ δέ, οὐδὲ ἀκούοντι προσεοικώς, κάτω νεύσας, ἀντιπαρῄει. μέχρις οὗ συνέβαλεν αὐτοὺς ἡ Κυβέλη, κατευνάσαι τὴν δέσποιναν τὸ μεσημβρινὸν ἐπειγομένη. καὶ ἰδοῦσα σκυθρωπὸν τὸν νέον,



θρυπτόμενος

διαγογγύζοντα

*ἀρχιτρικλίνοις*

ἠρώτα τὴν αἰτίαν. ὁ δὲ, τὸ ξένον μειράκιον ἔφη προτετιμημένον ἡμῶν καὶ χθὲς καὶ τήμερον παρεισδεδυκὸς, οἰνοχοεῖν ἐπιτέτακται. ἐπὶ τοῖς ἀρχιτρικλίνοις ἡμῖν καὶ οἰνοχόοις, πολλὰ χαίρειν φράσαν, ὀρέγει φιάλην. καὶ ἐφίσταται πλησίον βασιλικοῦ σώματος, τὸ μέγιστον ὀνόματος ἀξίωμα ἡμῶν περιαγκωνισάμενος. καὶ τὸ μὲν τοῦτον τιμᾶσθαι μετέχοντα καὶ τῶν μειζόνων, καὶ κοινωνοῦντα καὶ τῶν ἀπορρητοτέρων διότι καὶ κακῶς ποιοῦντες ἡμεῖς σιωπῶμεν καὶ συμπράττομεν, ἧττον ὂν δεινόν, καίπερ ὂν δεινόν. ἀλλ' ἐκεῖνο γ' ὀξὺ ἦν, ἀνθ' ὕβρεως τῆς εἰς ἡμᾶς τοὺς ὑπουργοὺς καὶ συνεργοὺς τῶν καλῶν πράξεων τὰ τοιαῦτα γίνεσθαι. καὶ περὶ μὲν τούτων δεύτερος λόγος. τὸ δὲ πρότερον ὦ μῆτερ, τὴν μνηστὴν ἐβουλόμην τὴν τὰ πάντα ἐμοὶ γλυκυτάτην Χαρίκλειαν ἰδεῖν. ὅπως τὸ δεδηγμένον τῆς ψυχῆς, τῇ θέᾳ ἐκείνης διαιτῆσαι δυνηθείην. καὶ ἡ Κυβέλη. ποίαν μνηστὴν ὦ τέκνον. ἔοικάς μοι τὰ σμικρότατα τῶν κατὰ σαυτὸν ἀγανακτεῖν. τὰ μείζονα δ' ἀγνοῶν λανθάνειν. οὐκ ἔτι λαμβάνεις πρὸς γάμον τὴν Χαρίκλειαν. τί ἔφη λέγεις ἀναβοήσας. οὐκ εἰμὶ ἄξιος γαμεῖν ὁμόδουλον ἑαυτοῦ. διατί ὦ μῆτερ; δι' ἡμᾶς ἔφη καὶ τὴν ἡμετέραν παράνομον περὶ Ἀρσάκην εὔνοιάν τε καὶ πίστιν. ἐπειδὴ γὰρ ἐκείνην καὶ τῆς ἑαυτῶν ἀσφαλείας προτιμήσαντες, καὶ τὴν ἐκείνης ἐπιθυμίαν καὶ τῆς ἡμετέρας σωτηρίας ἐπίπροσθεν ἄγοντες, ἅπαντα καθ' ἡδονὴν συνεπράξαμεν, ἅπαξ που παρεισελθὼν εἰς τὸν θάλαμον ὁ γεννάδας οὗτος καὶ λαμπρὸς ἐρώμενος. καὶ μόνον ὀφθεὶς ἀναπέπεικε παραβῆναι μὲν τοὺς πρός σε γεγενημένους ὅρκους. αὐτῷ δὲ κατεγγυᾶν τὴν Χαρίκλειαν. οὐκ ἀδελφὴν ἀλλὰ μνηστὴν εἶναι διατεινόμενος. καὶ ἐπήγγελται ταῦτα ἐκείνη ὦ μῆτερ; ἐπήγγελται παιδίον ἀπεκρίνατο ἡ Κυβέλη. παρούσης ἐμοῦ καὶ ἀκουούσης. καὶ τοὺς γάμους αὐτῶν ἑστιάσει λαμπρῶς, ὀλίγαις ὕστερον ἡμέραις. σοὶ δὲ, ἄλλην συνοικεῖν εἶναι ἀντὶ ταύτης ἐπηγγέλλετο. βαρὺ δή τι πρὸς ταῦτα ἀνοιμώξας ὁ Ἀχαιμένης, καὶ τὼ χεῖρε διατρίψας, ἐγὼ ἔφη πικρογάμους θήσω σύμπαντας. μόνον μοι σύμπραττε τὴν εἰς χρόνον σύμμετρον τῶν γάμων ὑπέρθεσιν. καὶ εἴ τις ἐπιζητοίη,





κακοῦσθαί με καὶ ταχρὸν συμπεσόντα ἀπάγγελλε. μνηστὴν ὁ γεννάδας ὀνομάζει τὴν ἀδελφήν. ὥστε πρὶν οὖν συνιέντων ἐπιδιακρούσει τῇ ἐμῇ ταῦτα μόνον πράττεσθαι. εἰ γὰρ περιβάλλοι, εἰ γὰρ φιλοίη καθάπερ νῦν εἰ καὶ συγκαθεύδοι, καθαρός τις ἔλεγχος, ὅτι μὴ ἀδελφή, μνηστὴ δὲ οὖσα, ἐμοὶ μελήσει ταῦτα καὶ ὅρκοις καὶ θεοῖς τοῖς παραβαθεῖσι. ταῦτα εἶπε. καὶ ὑπὸ ὀργῆς ἅμα καὶ ζηλοτυπίας καὶ ἔρωτος καὶ ἀποτυχίας οἰστρηθεὶς, ἱκανῶν καὶ ἄλλον τινὰ διαταράξαι πραγμάτων, μή τοι γε δὴ βάρβαρον τὴν προσπεσοῦσαν ἔννοιαν οὐκ ἐπὶ λογισμῷ διακρίνας, ἐκ δὲ τῆς πρώτης ὁρμῆς κρατυνάσης ἑσπέρας ἐπελθούσης, ἵππον τε ἀρμένιον, τῶν εἰς πομπὰς καὶ πανηγύρεις τῷ σατράπῃ φατνιζομένων, ὑφελέσθαι δυνηθεὶς, ἀφιππάσατο ὡς τὸν Ὀροονδάτην, κατὰ Θήβας τότε τὰς μεγάλας τὴν ἐπ' Αἰθίοπας συγκροτοῦντα στρατείαν καὶ πᾶν εἶδος πολέμου, καὶ χεῖρα παντοίαν ἀθροίζοντα. καὶ τὴν ἐπ' αὐτοὺς ἔξοδον ἤδη συσκευαζόμενον.

*συγκροτοῦντα στρατείαν*

# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙ-
## ΚΩΝ ΛΟΓΟΣ η.

ἐπίμαχον πόλιν

Philæ .V.

Cataractæ minores

Syene .V

Elephantine .V.

Smaragdina metalla

Ο ΓΑΡ δὴ βασιλεὺς αἰθιόπων, ἀπάτῃ προεληλυθὼς τὸν ὀροονδάτην, καὶ θατέρου τῶν ἐπάθλων τοῦ πολέμου γεγονὼς ἐγκρατὴς, καὶ τὴν πόλιν ἐπίμαχον ἀεὶ τὰς φίλας τυγχάνουσαν ἐκ προλήψεως ὑφ' αὑτῷ πεποιημένος, εἰς πᾶσαν ἀμηχανίαν, ὥστε καὶ κατηπειγμένως ποιεῖσθαι τὴν ἐκστρατείαν, καὶ αὐτοσχέδιον τὰ πολλὰ κατηνάγκαζεν. ἡ γὰρ πόλις αἱ φίλαι, κεῖται μὲν ἐπὶ τῷ νείλῳ. τῶν ἐλαττόνων καταρράκτων, ἀνωτέρω μικρόν. συήνης δὲ καὶ ἐλεφαντίνης, ἑκατόν που τοῖς μεταξὺ σταδίοις διείργεται. ταύτην ποτὲ φυγάδες αἰγύπτιοι καταλαβόντες καὶ ἐνοικήσαντες, ἀμφίβολον αἰθίοψί τε καὶ αἰγυπτίοις κατέστησαν. τῶν μὲν, τοῖς καταρράκταις τὴν αἰθιοπίαν ὁριζομένων. αἰγυπτίων δὲ καὶ τὰς φίλας, κατὰ τὴν προενοίκησιν τῶν παρ' ἑαυτοῖς φυγάδων, ὡς ἂν, δορυαλώτους ἑαυτοῖς προσνέμειν ἀξιούντων. συνεχῶς δὴ μεταπιπτούσης τῆς πόλεως. καὶ τῶν ἀεὶ προλαβόντων καὶ ἐπικρατούντων γινομένης. τότε δὲ ὑπὸ φρουρᾶς αἰγυπτίων τε καὶ περσῶν κατεχομένης, ὁ τῶν αἰθιόπων βασιλεὺς πρεσβείαν ὡς τὸν ὀροονδάτην στείλας. ἐζήτει μὲν καὶ τὰς φίλας. ἐζήτει δὲ καὶ τὰ σμαράγδεια μέταλλα. καὶ πάλαι περὶ τούτων ὡς εἴρηται διακηρυκευσάμενος, καὶ οὐ τυχὼν, ὀλίγαις τε προφθῆναι τοὺς πρεσβεύοντας ἡμέραις ἐπιτρέψας, ἐφεπόμενος. πάλαι προπαρασκευασάμενος δῆθεν, ὡς ἐπ' ἄλλον τινὰ πόλεμον, καὶ οὐδενὶ τὴν ὁρμὴν τῆς στρατείας φράσας. κἀπειδὴ τὰς φίλας ὑπερβεβηκέναι τοὺς πρεσβεύοντας εἴκαζεν, ὀλιγωρίαν τοῖς τε ἐνοικοῦσι καὶ φρουροῖς ἐμποιήσαντας, καὶ ὡς ὑπὲρ εἰρήνης ἢ καὶ φιλίας πρεσβεύοιεν ἀπαγγείλαντας, αὐτὸς αἰφνίδιον ἐπιστὰς τήν τε φρουρὰν ἐξήλασε. δύο μὲν που καὶ τριῶν ἡμερῶν, πλήθει δὲ τῶν ἐναντίων καὶ μηχαναῖς τειχομάχοις ἐνδοῦσαν. καὶ τὴν πόλιν κατέσχεν. οὐδένα τῶν ἐνοικούντων λυμηνάμενος. διὰ ταῦτα δὴ τεταραγμένον καταλαβὼν τὸν ὀροονδάτην ὁ ἀχαιμένης, καὶ ἅπαντα πεπεισμένον παρὰ τῶν διαδράντων, ἔτι πλέον ἐξετάραξεν,

τάραξεν,



τάραξεν, ἀπροσδόκητος τε καὶ ἀπρόσκλητος ὀφθείς. καὶ μή τι δεινὸν περὶ τὴν ἀρσάκην ἢ τὸν ἄλλον οἶκον γένοι πυνθανομένῳ, γεγονέναι μὲν ὁ ἀχαιμένης. ἰδίᾳ δὲ φράζειν βούλεσθαι ἀπεκρίνατο. κἀπειδὴ τῶν ἄλλων ἐχωρίσθησαν, ἅπαντα κατεμήνυεν. ὡς ὑπὸ μιτράνου ληφθεὶς αἰχμάλωτος ὁ θεαγένης, ἀπέσταλτο πρὸς ὀροονδάτην. δῶρον εἰ δόξειεν ὡς βασιλέα τὸν μέγαν ἀναπεμφθησόμενος. καὶ γὰρ εἶναι τὸ χρῆμα τοῦ νεανίου, τῆς βασιλείας αὐλῆς καὶ τραπέζης ἐπάξιον. ὡς ὑπὸ βησσαέων ἀφαιρεθείη, προσανελόντων καὶ τὸν μιτράνην. ὡς ἀφίκοιτο μετὰ ταῦτα εἰς τὴν μέμφιν, προσεγείρων ἅμα καὶ τὰ κατὰ τὸν θύαμιν. καὶ τέλος τὸν ἐπὶ τῷ θεαγένει τῆς ἀρσάκης ἔρωτα. καὶ τὸν εἰς τὰ βασίλεια τοῦ θεαγένους εἰσοικισμόν. καὶ τὰς περὶ αὐτὸν φιλοφρονήσεις. καὶ τὰς ἐκείνου διακονίας τε καὶ οἰνοχοίας. καὶ ὡς πέπρακται μὲν ἤδη τῶν παρανόμων ἴσως οὐδέν. ἀνθεσταμένου τέως τοῦ νέου καὶ ἀντέχοντος. δέος δὲ πραχθῆναι βιασθέντος, ἢ καὶ τῷ χρόνῳ τοῦ ξένου πως ἐνδόντος, εἰ μὴ φθαίη τις αὐτὸν προαναρπάζων ἐκ τῆς μέμφεως. καὶ τὴν ὅλην τοῦ ἔρωτος ὑπόθεσιν τῆς ἀρσάκης ὑποτεμνόμενος. διὰ γὰρ δὴ ταῦτα καὶ αὐτὸς ἐπειχθῆναι. καὶ λάθρα διαδρὰς ἥκειν μηνυτὴς εὐνοίᾳ τῇ περὶ τὸν δεσπότην, ἀποκρύπτειν τὰ κατὰ τοῦ δεσπότου μὴ ἐξανεγκών. κἀπειδὴ τούτοις θυμοῦ τὸν ὀροονδάτην ἐνεπεπλήκει, καὶ ὅλος πρὸς ἀγανάκτησιν καὶ τιμωρίαν ἐξήει, δι' ἐπιθυμίας αὖθις ἐξέκαε τὰ κατὰ τὴν χαρίκλειαν προστιθείς. καὶ ἐπὶ μέγα ὥσπερ ἦν ἐξαίρων. καὶ τὸ κάλλος παντοίως ἐκθειάζων. καὶ τὴν ὥραν τῆς κόρης ὡς οὔτε ὀφθεῖσαν πρότερον, οὔτε αὖθις δυνήσεται. μικρὰς νόμιζε λέγων πάσας σοι τὰς παλλακίδας εἶναι παρὰ ταύτην. οὐ μόνον τὰς κατὰ μέμφιν, ἀλλὰ καὶ τὰς ἑπομένας. καὶ ἄλλα πολλὰ πρὸς τούτοις ἀχαιμένης. ἐλπίζων εἰ καὶ προσομιλήσειεν ὀροονδάτης τῇ χαρικλείᾳ, μικρὸν γοῦν ὕστερον ἐπὶ μισθῷ τῶν μηνυμάτων ἐξαιτήσας, πρὸς γάμον ἕξειν. καὶ ὅλως ἐξηρέθιστο ἤδη καὶ διακαὴς ἦν ὁ σατράπης, θυμοῦ καὶ ἐπιθυμίας. ἅμα ὥσπερ εἰς ἄρκυς ἐμβεβλημένος. καὶ οὐδὲ μικρὸν ὑπερθέμενος, βαγώαν τινὰ τῶν πεπιστευμένων εὐνούχων προσκαλεσάμενος, ἱππέας τε πεντήκοντα ἐγχειρίσας, εἰς τὴν μέμφιν ἐξέπεμπεν. ἄγειν ὡς αὐτὸν θεαγένην τε καὶ χαρίκλειαν, ὡς ὅτι τάχι-

Bagóas

σα. καὶ οὐ πρὶν ἂν, αὐτὸς καταλαμβάνοιτο ὑποστείλας. ἐνεχείριζε δὲ καὶ γράμμα. τὸ μὲν πρὸς ἀρσάκην ὧδε ἔχον. ὀροονδάτης ἀρσάκῃ. θεαγένην καὶ χαρίκλειαν, τοὺς αἰχμαλώτους μὲν ἀδελφοὺς βασιλέως δὲ δούλους, βασιλεῖ διαπεμφθησομένους ἀπόστειλον. ἀλλ᾽ ἑκοῦσα ἀπόστειλον ἐπεὶ καὶ ἀκούσης ἀχθήσονται. καὶ ἀχαιμένης πιστευθήσεται. πρὸς δὲ εὐφράτην τὸν κατὰ τὴν μέμφιν ἀρχιευνοῦχον τοιόνδε. ὑπὲρ μὲν ὧν οἰκίας τῆς ἐμῆς ὀλιγωρεῖς, δίκας ὑφέξεις. τὸ παρὸν δὲ τοὺς ξένους ἕλληνας τοὺς αἰχμαλώτους βαγώᾳ παράδος ὡς ἐμὲ ἀχθησομένους. ἑκούσης ἀρσάκης εἴτε καὶ ἀκούσης. πάντως δὲ παράδος. ἢ αὐτὸς ἴσθι δέσμιος ἀχθῆναι προστεταγμένος, τῆς δωρεᾶς ἀφαιρησόμενος. οἱ μὲν δὴ περὶ τὸν βαγώαν ἐπὶ τὸ προστεταγμένον ἐξώρμησαν. τῶν ἐπεσταλμένων παρὰ τοῦ σατράπου κατασεσημασμένων. ὡς ἂν μᾶλλον πιστεύσειαν οἱ κατὰ τὴν μέμφιν, καὶ θᾶττον τοὺς νέους ἐκδοῖεν. ἐξώρμησε δὲ καὶ ὀροονδάτης αὐτὸς ἐπὶ τὸν πρὸς αἰθίοπας πόλεμον. ἕπεσθαι καὶ τὸν ἀχαιμένην προστάξας. ἠρέμα καὶ οὐκ εἰδότα παραφρουρούμενον. ἕως ἂν τὰ πρὸς αὐτοῦ μηνυθέντα, διελέγξειεν ἐπαληθεύων. κατὰ δὲ τὰς αὐτὰς ἡμέρας καὶ κατὰ τὴν μέμφιν τοιάδε ἐγίνετο. ἄρτι τοῦ ἀχαιμένους ἀποδράντος, ὁ θύαμις ἤδη τὴν προφητείαν ὁλόκληρον ἀναδεδεγμένος, καὶ τὰ πρῶτα τῆς πόλεως διὰ τοῦτο φερόμενος, τὰ περὶ τὴν κηδείαν τοῦ καλασίριδος ἐκτελέσας, καὶ τὰ νενομισμένα τῷ πατρὶ πάντα ἐν ἡμέραις ταῖς τεταγμέναις ἐπενέγκας, ἀναζητήσεως ἔννοιαν τῶν περὶ θεαγένην ἐλάμβανεν. ὅτε δὴ παραιτεῖσθαι καὶ τοῖς θύραθεν ἐκ τοῦ προφητικοῦ νόμου διατεταγμένον ἐγίνετο. κἀπειδὴ πολυπραγμονῶν καὶ ἐκπυνθανόμενος, ἔγνω τοῖς σατραπείοις ἐνῳκισμένους, ὡς εἶχε σπουδῆς ἐλθὼν ὡς τὴν ἀρσάκην, ἐζήτει τοὺς νέους ξένους. ὡς αὐτῷ κατὰ πολλὰ μὲν καὶ ἄλλα προσήκοντας, πλέον δὲ ὅτι ὁ πατὴρ καλάσιρις τελευτῶν ἐπέσκηψε παντοίως προνοεῖν καὶ ὑπερμαχεῖν τῶν ξένων ὑποστείλας. χάριν μὲν ἔχειν ὁμολογῶν, ὅτι τὰς διαμέσου ταύτας ἡμέρας ὑπεδέξατο νέους ξένους καὶ ἕλληνας φιλανθρωπευομένη. καθ᾽ ἃς ἐνδιαιτᾶσθαι τῷ νεῷ τοῖς μὴ ἱερωμένοις ἀπηγόρευτο. δικαιῶν δὲ ἀνακομίζεσθαι, τὴν αὐτὸς αὐτοῦ παρακαταθήκην. καὶ ἡ ἀρσάκη, θαυμάζω σου ἔφη, χρηστὰ μὲν ἡμῖν καὶ φιλάνθρωπα προσμαρ-

τυροῦντος,

ὑπέσκηψε



τυροῦντος, ἀπανθρωπίαν δὲ αὖθις καταγινώσκοντος, εἰ μὴ δυνησόμεθα ἢ βουλησόμεθα προνοεῖν τῶν ξένων. καὶ τὰ πρέποντα αὐτοῖς ἀπονέμειν. οὐ τοῦτο εἶπον ὁ θύαμις. καὶ γὰρ καὶ ἐν ἀφθονωτέροις ᾔδειν πλέον ἢ παρ᾽ ἡμῖν οἶδα ἐσομένους, εἰ καὶ μένειν βουλομένοις ἦν. νῦν δὲ γένους ὄντας τῶν ἐπὶ δόξης, ἄλλως δὲ τύχης ἐπηρείαις ποικίλαις κεχρημένους καὶ τὸ παρὸν ἀλητεύοντας, πάντων ἐπίπροσθεν ποιοῦνται γένος τὸ ἴδιον ἀνακομίζεσθαι. καὶ εἰς τὴν ἐνεγκοῦσαν ἐπανήκειν. ὧν εἰς τὴν σύλληψιν ἐμὲ κληρονόμον ὁ πατὴρ καταλέλοιπεν. ὄντων μοι καὶ ἄλλων πρὸς τοὺς ξένους φιλίας δικαιωμάτων. εὖγε ἐποίησας ἡ ἀρσάκη πρὸς αὐτόν. τοῦ μὲν ἐκδυσωπεῖν ἀφέμενος, τὸ δὲ δίκαιον προβαλλόμενος. πλέον γὰρ τοῦτο μεθ᾽ ἡμῶν ἄν, φαίνηται. ὅσῳ καὶ τὸ δεσπόζειν τοῦ προνοεῖν τινα ἄλλως, εἰς τὸ ἔχειν ἐπικρατέστερον. ὁ δὲ θύαμις θαυμάσας, δεσπότις δὲ ἔφη σὺ τούτων, ὅπως; πολέμου νόμῳ πρὸς αὐτὸν ἀπεκρίνατο. δούλους τοὺς αἰχμαλώτους ἀναδεικνύντος. συνεὶς δὴ οὖν ὁ θύαμις, ὅτι τὰ περὶ τὸν μιτράνην ἐθέλει λέγειν, ἀλλ᾽ ὦ ἀρσάκη ἔφη. οὐ πόλεμος τάδε. ἀλλ᾽ εἰρήνη τὸ παρόν. κἀκεῖνος μὲν δουλοῦν. ἐλευθεροῦν δὲ αὕτη πέφυκε. κἀκεῖνο μὲν ἐστὶ βούλημα τυραννικόν. τουτὶ δὲ δόγμα βασιλικόν. εἰρήνην δὲ καὶ πόλεμον, οὐχ ἡ τῶν ὀνομάτων ἀξίωσις, ἀλλ᾽ ἡ τῶν χρωμένων διάταξις, ἀληθέστερον γνωρίζειν πέφυκε. τὸ μὲν δίκαιον τούτοις τιθεμένη, βέλτιον ἂν φανείης ὁριζομένη. τό γε μὴν πρέπον ἢ συμφόρον, οὐδὲ εἰς ἀμφισβήτησιν καθίσταται. πῶς γάρ σοι καλλὸν ἢ λυσιτελοῦν νέων καὶ ξένων οὕτως ἐκθύμως φαίνεσθαί τε καὶ ὁμολογεῖν ἀντεχομένην. ὑπὸ τούτοις οὐκ ἔτι κατέσχεν ἡ ἀρσάκη ἀλλ᾽ ἔπασχεν, ὃ δὴ καὶ πάντες ὡς ἔπιπαν οἱ ἐρῶντες. λανθάνειν μὲν οἰόμενοι ἐρυθριῶσιν. ἁλισκόμενοι δὲ ἀπαναισχυντοῦσιν. ὁ μὲν ἀγνοούμενος, ὀκνηρότερος. ὁ δὲ πεφωραμένος, θρασύτερος καθιστάμενος. ὡς δὴ κἀκείνῃ τὸ συνειδὸς τῆς ψυχῆς ἔλεγχος ἐγίνετο, καὶ τὸν θύαμιν ὑποπτευκέναι τι τῶν κατ᾽ αὐτὴν ὑποτοπήσασα, παρ᾽ οὐδὲν μὲν τὴν προφήτην καὶ τὸ προφητικὸν ἀξίωμα ποιησαμένη, πά-



ὑπηρεσίαις

De amantibus uerissime

ὑποτοπήσασα

παῖδα δὲ γυναικείαν αἰδῶ προαγωνιζομένη, ἀλλ' οὐδὲ τῶν εἰς μείζονα ἔφη δεδραμένων ὑμῖν χαρίσεται. ἀλλ' ἔσται καιρός, ἐν ᾧ τοὺς σφαγέας ἐκείνου τε καὶ τῶν σὺν αὐτῷ τὴν δίκην ὀροονδάτης εἰσπράξεται. τούτους δέ, οὐ μεθήσομαι. τὸ μὲν πρὸς ἐμοὶ δουλεύοντας. ὀλίγον δὲ ὕστερον ἀδελφῷ τῷ ἐμῷ βασιλεῖ τῷ μεγάλῳ, κατὰ νόμον τὸν περσικὸν ἀναπεμφθησομένους. πρὸς ταῦτα ῥητόρευε. καὶ δίκαια καὶ πρέποντα καὶ συμφέροντα μάτην ὁριζόμενος. ὡς οὐδὲ γνώμης προσδεῖται ὁ κρατῶν. τὸ βούλημα τὸ ἴδιον τούτων ἕκαστος ποιούμενος. καὶ αὐλῆς τῆς ἡμετέρας ὡς ὅτι τάχιστα καὶ ἑκὼν μεθίστασο, μὴ δὴ λάθῃς καὶ ἄκων μεθιστάμενος. ὁ μὲν οὖν θύαμις ἐξῄει θεούς τε ἐπιμαρτυράμενος, καὶ κατὰ τούτων ἐπισκήψας, ὡς οὐκ εἰς καλὸν ταῦτα τελευτήσει. κατάδηλα ποιῆσαι πρὸς τὴν πόλιν, καὶ ἐπικαλέσασθαι πρὸς βοήθειαν ἐνθυμούμενος. ἡ δὲ ἀρσάκη, λόγος οὐδεὶς εἰποῦσα τῆς σῆς προφητείας, μίαν, ὁρᾷ προφητείαν ἔρως τὴν ἐπιτυχίαν, εἰς τὸν θάλαμον τε χωρισθεῖσα, καὶ τὴν κυβέλην προσκαλεσαμένη περὶ τῶν παρόντων διεσκοπεῖτο. καὶ γάρ πως ἤδη καὶ τὸν δρασμὸν τοῦ ἀχαιμένους οὐ φαινομένου δι' ὑποψίας ἐλάμβανε. τῆς κυβέλης εἴποτε πυνθάνοιτο καὶ ἐπιζητοίη τὸν ἀχαιμένην, ποικίλας καὶ ἄλλοτε ἄλλας προφάσεις ἀναπλαττούσης. καὶ πάντα μᾶλλον ἢ τὴν ὀροονδάτου ἄφιξιν πιστεύειν παρασκευαζούσης. πλὴν οὐ παντάπασι τὰ τελευταῖα πειθούσης. ἀλλ' ἤδη διὰ τὸν χρόνον καὶ ἀπιστουμένης. τότε δ' οὖν τί ποιήσομεν ἔλεγεν ὦ κυβέλη. τίς λύσις ἔσται μοι τῶν περιεστηκότων. ὁ μὲν ἔρως οὐκ ἀνίησιν, ἀλλ' ἐπιτείνει πλέον ὥσπερ ὕλη τῷ νέῳ λάβρως ὑποπιμπράμενος. ὁ δὲ οὐδὲν ἀπηνής τε καὶ ἀμείλιχος. φιλανθρωπότερος τὰ πρῶτα ἢ νῦν φαινόμενος. τότε μὲν ἀπατηλαῖς γοῦν ἐπαγγελίαις παρηγορῶν, νῦν δὲ παντάπασι καὶ ἀπαρακαλύπτως τὰ πρός με ἀπαγορεύων. ὃ δή με καὶ καταράττει μᾶλλον, μὴ δή τι περὶ ἀχαιμένους ὧν ὑπονοῶ καὶ αὐτὸς πέπυσται, καὶ πλέον ἀποδειλιᾷ τὴν πρᾶξιν. λυπεῖ δὲ ἐπὶ πᾶσιν ἀχαιμένης, ὃς νῦν ὡς ὀροονδάτην πεπόρευται. ἢ πείσων ἴσως, ἢ οὐ πάντως εὔπιστα λέξων. ὀφθείη μοι μόνον ὀροονδάτης. μία θεραπεία καὶ δάκρυον ἀρσάκης ἣν οὐχ ὑποστήσεται. μεγάλην εἰς πειθὼ κέκτηται πρὸς ἄνδρας ἴυγγα τὰ γυναικεῖα καὶ συνήθη βλέμματα. ἀλλ' ἐκεῖνο ὑπερδέδοικα, εἰ μὴ τυ-





χοῦσα θεαγένους προληφθεῖσαν ὑπὸ τῆς κατηγορίας, ἢ καὶ οὕτω τύχῃ τῆς τιμωρίας, ἔτι πρὶν ἐντυχεῖν μοι πιστεύσειεν ὀροονδάτης. ὥστε ὦ κυβέλη πάντα κίνει. πᾶσαν εὕρισκε μηχανήν, πρὸς ὀξὺ καὶ τὴν ἄκραν ἀκμὴν περιεστηκότα ἡμῖν ὁρῶσα τὰ πράγματα. καὶ ἅμα ἐννοοῦσα ὡς οὐκ ἔστιν ὅπως ἐμαυτῆς ἀπογνοῦσα, φείσομαι ἄλλων. ἀλλὰ πρώτη περιαπολαύσεις τῶν σοῦ παιδὸς ἐπιχειρημάτων. ἃ πῶς ἠγνόησας, οὐκ ἔχω συμβαλεῖν. καὶ ἡ κυβέλη. παιδὸς μὲν ἔφη τοῦ ἐμοῦ πέρι καὶ πίστεως εἰς σὲ τῆς ἐμῆς ὦ δέσποινα, οὐκ ἀληθῆ δοξάζουσα γνώσῃ τοῖς ἔργοις. αὐτὴ δὲ οὕτως ὑπτίως προσιοῦσα τῷ σαυτῆς ἔρωτι, καὶ τῷ ὄντι μαλακιζομένη, μὴ ἄγε τὴν αἰτίαν ἐπ' ἄλλους τοὺς οὐκ αἰτίους. οὐ γὰρ ὡς δέσποινα κρατεῖς. ἀλλ' ὡς δουλεύουσα θεραπεύεις τὸ μειράκιον. ἃ παρὰ μὲν τὴν πρώτην, ὀρθῶς ἴσως ἐγίνετο. ἁπαλοῦ τινος ἐκείνου καὶ νέου τὴν ψυχὴν νομισθέντος. ἐπειδὴ δὲ κατεξανίσταται ὡς ἐρωμένης, λαμβανέτω πεῖραν ὡς δεσποίνης. καὶ μαστιγούμενος καὶ στρεβλούμενος, ὑποπιπτέτω τοῖς σοῖς βουλήμασι. πεφύκασι γὰρ οἱ νέοι θεραπευόμενοι μὲν ὑπερφρονεῖν. βιαζόμενοι δὲ ὑπείκειν. ὥστε καὶ οὗτος πράξει κολαζόμενος, ἅπερ ἠθέτει κολακευόμενος. ἀλλὰ δοκεῖς μὲν ἔφη εὖ λέγειν ἡ ἀρσάκη. πῶς δ' ἄν, ἐνέγκαιμι ὦ θεοὶ τοῖς ἐμοῖς ὀφθαλμοῖς, ἢ ξαινόμενον ὁρῶσα τὸ σῶμα ἐκεῖνο, ἢ καὶ ἄλλως κολαζόμενον. αὖθις αὖ σὺ μαλακίζῃ ἔφη. ὥσπερ οὐ πρὸς ἐκείνου τε γνωσόμενον ὀλίγαις στρεβλώσεσι τὸ ἑλέσθαι τὰ βελτίονα, καὶ σοὶ πρὸς μικρὸν ἀνιαθείσῃ, τυχεῖν τῶν κατὰ γνώμην. ἔξεστι δέ σοι, μὴ δὲ λυπεῖν τὸν ὀφθαλμὸν τοῖς γινομένοις. ἀλλ' εὐφράτῃ παραδοῦσαν, καὶ κολάζειν εἰποῦσαν, ὥς τι πεπλημμεληκότα, μήτε ἀνιᾶσθαι ὁρῶσαν. ἀκοὴ γὰρ ὄψεως εἰς τὸ λυπῆσαι κουφότερον. καὶ εἰ μεταβεβλημένον αἰσθοίμεθα, πάλιν ἐξελέσθαι ὡς αὐτάρκως ἐπεστραμμένον. ἐπείθετο ἡ ἀρσάκη. καὶ τὸν ἀρχιευνοῦχον μετακαλεσαμένη τὰ δεδογμένα προσέταξεν. ὁ δέ, καὶ φύσει μὲν τὴν εὐνούχων ζηλοτυπίαν νοσῶν, σμυχόμενος δὲ καὶ πάλαι κατὰ τοῦ θεαγένους ἐξ ὧν ἑώρα τε καὶ ὑπώπτευεν, εὐθὺς ἐν δεσμοῖς εἶχε σιδηροῖς. καὶ ἐπίεζε λιμῷ καὶ αἰκίαις, εἰς οἴκημα ζοφῶδες κατακλεισάμενος. καὶ εἰδότι μέν, προσποιουμένῳ δὲ καὶ πως θαυμαζομένῳ δῆθεν τὴν αἰτίαν, οὐδὲν ἀποκρινόμενος. ἐπιτείνων δὲ

ὅσῃ μὲν ῥᾷον τὰ τῆς κολάσεως, καὶ πλέον ἢ ἐβούλετο ἀρσάκη καὶ ἐντέταλτο τιμωρούμενος. εἰσφοιτᾶν δὲ οὐδενὶ παρείς, ἢ μόνῃ τῇ κυβέλῃ τοῦτο προστεταγμένον. ἡ δὲ, ἐφοίτα συνεχῶς, καὶ τροφὰς κρύφα παρεισφέρειν ἐνεδείκνυτο. οἰκτείρουσα μὲν δῆθεν, καὶ ὑπὸ τῆς συνηθείας ἐπικλωμένη, τὸ δ' ἀληθὲς ἀποπειρωμένη, ποίαν τινὰ γνώμην ἔχει πρὸς τὰ παρόντα, καὶ εἴπερ ἐνδιδοίη καὶ μαλάσσοιτο, πρὸς τῶν στρεβλώσεων. ὁ δὲ, ἦν πλέον ἀνήρ. τότε καὶ πλέον ἀπεμάχετο πρὸς τὰς πείρας. τὸ μὲν σῶμα καταπονούμενος, τὴν δὲ ψυχὴν, ὑπὸ σωφροσύνης ῥωννύμενος. καὶ μεγαλαυχούμενος ἅμα πρὸς τὴν τύχην καὶ γαυριῶν, εἰ λείπουσα τῶν πλείστων μέρει τῷ καιριωτάτῳ χαρίζοιτο, ἐπιδείξεως ἀφορμὴν, τὴν εἰς χαρίκλειαν εὐνοίας τε καὶ πίστεως παρεσχημένη. μόνον εἰ γιγνώσκει ταῦτα κἀκείνη, μέγιστον ἀγαθὸν τιθέμενος. καὶ συνεχῶς χαρίκλειαν, καὶ φῶς, καὶ ψυχὴν καὶ ζωὴν ἀνακαλῶν. ὥστε καὶ ἡ κυβέλη ταῦτα ὁρῶσα, καὶ παρὰ μὲν τῆς ἀρσάκης ὡς ἠρέμα βούλεται πιέζεσθαι τὸν θεαγένην ἀκούσασα. οὐ γὰρ εἰς τελευτὴν ἀλλ' εἰς ἀνάγκην παραδεδωκέναι, αὐτὴ δὲ ἐκ τῶν ἐναντίων ἐπιτείνειν τὰ τῶν κολάσεων πρὸς τὸν εὐφραίτην ἀπαγγέλλουσα, ὡς ἀνύουσα ἤνυτο οὐδὲν, ἀλλ' ἀπηγόρευτο, καὶ αὐτὴ παρ' ἐλπίδα τῇ πείρᾳ συνειδυῖα οἱ κακῶν ἦν. καὶ νῦν μὲν τὴν ἐξ ὀροονδάτου τιμωρίαν εἰ πύθοιτο ταῦτα παρὰ ἀχαιμένους ὅσον οὐδέπω προσδοκῶσα, νῦν δὲ ὡς φθήσεται αὐτὴν διαχρωμένη τάχα καὶ ἡ ἀρσάκη, ὡς παιχθεῖσα εἰς τὴν τοῦ ἔρωτος σύλληψιν, ὁμόσε χωρεῖν ἔγνω τοῖς κατειληφόσι. καὶ μέγα τι κακὸν ἐπιτελέσασα, ἢ κατορθῶσαι τῇ ἀρσάκῃ τὰ κατὰ γνώμην, καὶ τὸ παρὸν τὸν ἀπ' ἐκείνης προσδοκώμενον διαδῦναι κίνδυνον, ἢ τοὺς ἐλέγχους τῶν πάντων πραγμάτων ἀφανίσαι. θανάτῳ ἅμα πᾶσιν ἐπινοήσασα. καὶ πρὸς τὴν ἀρσάκην ἐλθοῦσα, μάτην ἔφη κάμνομεν ὦ δέσποινα. οὐ γὰρ ἐνδίδωσιν ὁ ἀπηνὴς ἐκεῖνος. ἀλλ' ἀεὶ γίνεται καὶ πλέον θρασύτερος, χαρίκλειαν ἐπὶ στόματος ἔχων. καὶ ταῖς ἐκείνης ἀνακλήσεσιν ὥσπερ θεραπείαις παρηγορούμενος. τελευταίαν οὖν εἰ δοκεῖ τὸ τοῦ λόγου ῥίψωμεν ἄγκυραν. καὶ τὴν ἐμποδὼν γινομένην, ἐκ ποδῶν ποιησώμεθα. εἰ γὰρ μάθοι οὐκ οὖσαν, εἰκός που καὶ μεταβληθῆναι αὐτὸν πρὸς τὸ βούλημα τὸ ἡμέτερον.

τερον.

/ [illegible]

τελευταίαν οὖν
εἴψωμεν ἄγκυραν



τερον. ἀμβλυνόντα τὸν ἐπ' ἐκείνῃ πόθον. ἅρπαγμα τὸ ῥηθὲν ἐποιήσατο ἡ ἀρσάκη. καὶ τῆς ἐκ πολλοῦ ζηλοτυπίας, ὀργῇ τῶν εἰρημένων ἐπιτείνασα, εὖ λέγεις ἔφη. καὶ μελήσει μοι προστάξαι τὴν ἀλιτήριον ἀναιρεθῆναι. καὶ τίς ὁ πεισθησόμενος ἀπεκρίνατο ἡ κυβέλη. πάντων γὰρ ἐν ἐξουσίᾳ σοι τυγχανούσης, τὸ ἀναιρεῖν δίχα κρίσεως τῶν ἐν τέλει περσῶν, πρὸς τῶν νόμων ἀπαγορεύεται. δεήσει τοίνυν πραγμάτων σοι καὶ δυσχερείας, αἰτίας τινὰς καὶ ἐγκλήματα κατὰ τῆς κόρης ἀναπλαττούσῃ. καὶ προσέτι τὸ ἄδηλον εἰ πιστευθησόμεθα. ἀλλ' εἰ δοκεῖ, πάντα γὰρ ὑπὲρ σοῦ, καὶ πράττειν καὶ πάσχειν ἕτοιμος, φαρμάκῳ τῇ ἐπιβουλῇ διακονήσομαι. καὶ ποτῷ γεγοητευμένῳ τὴν ἀντίδικον ἐκποδὼν ποιήσομαι. ἐπῄνεσε ταῦτα ἡ ἀρσάκη. καὶ ποιεῖν ἐκέλευεν. ἡ δὲ, αὐτίκα ὥρμησε. καὶ καταλαβοῦσα τὴν χαρίκλειαν ἐν ὀδυρμοῖς καὶ δάκρυσι, καὶ τί γὰρ ἄλλ' ἢ πενθοῦσαν, καὶ ὅπως ποικίλως αὐτὴν ἐξάξοι τοῦ βίου διασκεπτομένην, ἤδη γὰρ ὑπώπτευε τὰς ἀμφὶ θεαγένην τύχας, καὶ ταῦτα τῆς κυβέλης τὰ πρῶτα βουκολούσης. καὶ τὸ μὴ ὁρᾶσθαι αὐτὸν μηδὲ φοιτᾶν συνήθως εἰς τὸ δωμάτιον, ἄλλοτε ἄλλας προφάσεις ἀναπλαττούσης, καὶ ὦ δαιμονία φησὶν, οὐ παύσῃ σεαυτὴν τρύχουσα καὶ καταναλίσκουσα μάτην; ἰδού σοι καὶ θεαγένης ἀφεῖται. καὶ ἥξει τήμερον εἰς ἑσπέραν. ἡ γὰρ δέσποινα πλημμελήσαντά τι περὶ τὴν διακονίαν, εἰς βραχὺ προσκρούσασα, καὶ καθειρχθῆναι προστάξασα, τήμερον ἀφήσειν ἐπηγγείλατο. ἑορτήν τινα πάτριον ἄγειν μέλλουσα. καὶ ἅμα καὶ πρὸς ἐμοῦ λιπαρηθεῖσα. ὥστε ἀνίστασο. καὶ σεαυτὴν ἀναλάμβανε, καὶ τροφῆς σὺν ἡμῖν γοῦν ποτε μετάλαβε. καὶ πῶς ἂν, ἔφη πεισθείην ἡ χαρίκλεια. τὸ γὰρ συνεχῶς σε πρός με διαψεύδεσθαι, τὸ πιστὸν τῶν παρὰ σοῦ λεγομένων ὑποτέμνεται. καὶ ἡ κυβέλη. θεοὺς ἔφη ἐπόμνυμι πάντας, ἦ μὴν λυθήσεσθαί σοι τὰ τήμερον. καὶ πάσης σε φροντίδος ἀπαλλαγήσεσθαι. μόνον μὴ προαναίρει σαυτὴν, ἡμερῶν ἤδη τοσούτων ἀπόσιτος οὖσα. ἀλλ' ἀπόγευσαι. εἴκουσα τῶν εἰς καιρὸν ηὐτρεπισμένων. μόλις μέν. ἐπείθετο δ' οὖν ὅμως ἡ χαρίκλεια. τὸ μὲν ἀπατηλὸν συνήθως ὑφορωμένη. τοῖς δὲ ὅρκοις ἐν μέρει πειθομένη. καὶ τὸ ἡδὺ τῶν ἐπηγγελμένων ἑκοῦσα καταδεχομένη. ἃ γὰρ ἐπιθυμεῖ ψυχὴ, καὶ πιστεύειν φιλεῖ. κατακλινεῖσαι τοίνυν εἱστιῶντο, καὶ τῆς διακονουμένης ἅβρας, οἴνου κεκραμένου κύλι-

κύλι-

βουκολούσης

Demosthenes
οἷα τις βούλεται
ταῦτα καὶ οἴεται

Aura

κύλικας ὑποδούσης, πρότερα τῇ Χαρικλείᾳ προσφέρειν ἡ Κυβέλη νομίσασα, μετ' ἐκείνην αὐτὴ ἀντιλαβοῦσα ἔπινε. καὶ οὔπω τὸ πᾶν ἐκπέπωτο, καὶ ἰλιγγιῶσα ἐφαίνετο ἡ πρεσβῦτις. τότε περιττεῦσαν ὀλίγον ἐκχέασα, δριμύ τε εἰς τὴν θεράπαιναν ἐνεώρα. καὶ σπασμοῖς τε καὶ σφακελισμοῖς ὀξυτάτοις ἐπιέζετο. θόρυβός τε κατειλήφει μὲν καὶ τὴν Χαρίκλειαν καὶ ἀναλαμβάνειν ἐπειρᾶτο. κατειλήφει δὲ καὶ τοὺς παρόντας. τὸ γὰρ κακὸν ὡς ἐῴκει, τοξεύματος παντὸς ὀξύτερον τῷ φθοροποιῷ δεδυναμένον. καὶ ἱκανὸν καὶ νέον τινὰ καὶ ἀκμάζοντα διαχρήσασθαι, τότε καὶ πλέον εἰς γηραιὸν σῶμα καὶ ἀπεσβηκὸς ἤδη προσομιλῆσαν, ὀξύτερον ἢ ὥστε εἰπεῖν τῶν καιριωτέρων καθίκετο. καὶ τό, τε ὄνομα ἡ πρεσβῦτις ἐμπίπρατο. καὶ τὰ μέλη τῶν σπασμῶν ἐνδόντων πρὸς τὸ ἀκίνητον, παρεῖτο. καὶ χροιὰ μελαίνουσα τὴν ἐπιφάνειαν ἐπεπόλαζεν. ἀλλ' ἦν οἶμαι καὶ δηλητηρίου ψυχὴ δολερὰ πικροτέρα. ἡ γοῦν Κυβέλη καὶ ἐκθνήσκουσα, οὐ μεθίετο τῶν πανουργημάτων. ἀλλὰ τὰ μὲν, νεύμασι, τὰ δέ, παραφθεγγομένη, Χαρίκλειαν εἶναι τὴν ἐπιβουλεύσασαν ἐπεδείκνυτο. καὶ ὁμοῦ τε ἡ γραῦς ἀπέπνει, καὶ ἡ Χαρίκλεια δέ, δεσμῶτις εἴχετο. καὶ παρὰ τὴν Ἀρσάκην αὐτίκα ἤγετο. τῆς δὲ πυνθανομένης, εἰ τὸ φάρμακον αὐτὴ σκευάσειε, καὶ εἰ μὴ βούλοιτο λέγειν τἀληθές, κολαστήρια καὶ βασάνους ἀπειλούσης, καινὸν ἦν ἡ Χαρίκλεια τοῖς ὁρῶσι θέαμα. οὔτε γὰρ κατηφήσασα, οὔτε ἀγεννές τι παθοῦσα, γελῶσα ἐφαίνετο. καὶ χλεύην τὰ παρόντα ποιουμένη, τὸ μὲν, ὑπὸ ἀγαθοῦ τοῦ συνειδότος, τῆς συκοφαντίας ἀφροντιστοῦσα, τὸ δέ, χαίρουσα εἰ Θεαγένους οὐκέτι ὄντος, τεθνήξεται, καὶ κερδήσει τὸ ἐναγὲς τῆς πράξεως, ὃ καθ' ἑαυτῆς ἐγνώκει ποιεῖν ἑτέρων τοῦτο δρασάντων. καὶ ὦ θαυμασία ἔφη. εἰ μὲν ζῇ Θεαγένης, καθαρεύω κἀγὼ τοῦ φόνου. εἰ δ' ἐκεῖνος πέπονθεν ὑπὸ τῶν σῶν ἀνοσίων βουλευμάτων, οὐδὲν δεῖ σοι τῶν κατ' ἐμοῦ βασάνων. ἔχεις με τὴν φαρμακίδα τῆς καὶ θρεψαμένης σε. καὶ πρὸς τὰ κάλλιστα τῶν ἔργων παιδευσαμένης. καὶ ἀπόσφαττε μὴ μέλλουσα. οὐδὲν γὰρ οὕτως ἐφίλει Θεαγένης, ὁ τῶν σῶν ἀνόμων βουλευμάτων ἔννομος ὑπερόπτης. ἐξέμηνε τὰ εἰρημένα τὴν Ἀρσάκην. καὶ διαρραπισθῆναι κελεύσασα, ὡς ἔχει δεσμῶν ἄγετε τὴν ἀλιτήριον, καὶ ἐν τοῖς ὁμοίοις ὄντα καταξίαν ἐπιδεί-

ξαντες

σφακελισμοῖς

ἐπεπόλαζε

ἐξέμηνε

γρ. ἐπιβουλευσα μένην



ξαντες τὸν θαυμαστὸν αὐτῆς ἐρώμενον. παντί τε μέλει τὰ δεσμὰ περιβαλόντες, Εὐφράτῃ καὶ ταύτην παράδοτε. φυλαχθησομένην εἰς αὔριον. τήν τε διὰ θανάτου τιμωρίαν ὑπὸ κρίσει τῶν ἐν τέλει Περσῶν ὑφέξουσαν. ἤδη δὲ ἀγομένης, τὸ οἰνοχοῆσαν τῇ Κυβέλῃ παιδισκάριον, ἦν δὲ τῶν Ἰωνικῶν ἅτερον τῶν εἰς διακονίαν παρὰ τὴν πρώτην ὑπὸ τῆς Ἀρσάκης τοῖς νέοις δωρηθέντων, εἴτε τι παθὸν εὔνοιᾳ τῇ περὶ τὴν Χαρίκλειαν ὑπὸ συνηθείας τε καὶ συνδιαιτήσεως, εἴτε καὶ δαιμονίᾳ βουλήσει χρησάμενον, ὑπεδάκρυσέ τε καὶ ἐστέναξε. καὶ ὦ τῆς ἀθλίας ἔφη τῆς οὐδὲν αἰτίας. τῶν δὲ περιεστώτων θαυμασάντων, καὶ σαφῶς ὅτι λέγειν βούλοιτο ἐκφαίνειν ἀναγκαζόντων, αὐτὴ δεδωκέναι διωμολόγει τῇ Κυβέλῃ τὸ φάρμακον. εἰληφέναι τε παρ' αὐτῆς ἐκείνης ἐφ' ᾧ δοῦναι τῇ Χαρικλείᾳ. περιληφθεῖσαν τε, εἴτε ὑπὸ θορύβου τῆς περὶ τὴν πρᾶξιν ἀτοπίας, εἴτε καὶ συγχυθεῖσαν ὑπὸ τῆς Κυβέλης, πρότερα δοῦναι τῇ Χαρικλείᾳ νευούσης, ἐναλλάξαι τὰς κύλικας. καὶ τῇ πρεσβύτιδι προσενεγκεῖν, ἐν ᾧ ἦν τὸ φάρμακον. ἤγετο οὖν αὐτίκα τῇ Ἀρσάκῃ εὐθέως. ἕρμαιον ἁπάντων ποιουμένων, ἐλευθερίαν εὑρεθῆναι τῶν ἐγκλημάτων τὴν Χαρίκλειαν. συγγενὲς γὰρ ἦθος καὶ ὄψεως, καὶ βάρβαρον γένος οἶκτος εἰσέρχεται. καὶ εἰπούσης ταῦτα τῆς θεραπαινίδος, πλέον ἐγίνετο οὐδέν. ἀλλ' ἡ καὶ αὐτὴ συνεργὸς εἶναι εἰποῦσα ἡ Ἀρσάκη, δεσμεῖσθαι καὶ φρουρεῖσθαι εἰς τὴν κρίσιν ἐκέλευσε. τούς τε δυνάστας Περσῶν, οἳ τὸ βουλεύεσθαι ὑπὲρ τῶν κοινῶν, καὶ δικάζειν τε καὶ τιμωρίας ὁρίζειν τὴν ἐξουσίαν εἶχον, ἐπὶ τὴν κρίσιν εἰς τὴν ἐξῆς προσεκάλει διαπέμπουσα. καὶ ἡκόντων εἰς ἕω καὶ προκαθημένων, κατηγόρει μὲν ἡ Ἀρσάκη καὶ τὴν φαρμακείαν κατήγγελλεν. ἅπαντα ὡς εἶχεν ἀπαγγέλλουσα. καὶ συνεχὲς ἐπιδακρύουσα. τὴν θρεψαμένην. καὶ ὡς τῆς πάντων τιμιωτέραν καὶ εὐνουστέραν ἀπολέσειε. μάρτυρας τοὺς δικαστὰς ἐπικαλουμένη, ὡς ξένην ὑποδεξαμένη, καὶ πάσης μεταδοῦσα φιλοφροσύνης, τοιαῦτα ἀντιπάθοι. καὶ ὅλως ἡ μέν, ἦν πικροτάτη κατήγορος. ἀπελογεῖτο δὲ οὐδὲν ἡ Χαρίκλεια. ἀλλ' ὡμολόγει καὶ αὖθις τὸ ἔγκλημα. καὶ τὸ φάρμακον ὡς δοίη συγκατετίθετο. προσετίθει ὡς καὶ τὴν Ἀρσάκην διεχρήσατο ἡδέως εἰ μὴ προείληπτο. καὶ ἕτερα πρὸς τούτοις. τῇ μὲν Ἀρσάκῃ ἐκ τοῦ εὐθέως λοιδορουμένη,

ἐν τέλει

ρευμένη, καὶ παντοίως τοὺς δικαστὰς εἰς τὴν τιμωρίαν ἐκκαλουμένη. τά γε καθ' ἑαυτὴν ἅπαντα τῷ θεαγένει τῆς νυκτὸς καὶ περὶ τὸ δεσμωτήριον ἀναθεμένη, τὰ περὶ ἐκείνου τὲ ἐν μέρει πυθομένη, συνθεμένη τὲ ὡς εἰ λείψει πάντα θάνατον ἐπαγόμενον αὐθαιρέτως δέχεσθαι, καὶ ἀπηλλάχθαι λοιπὸν ζωῆς ἀνιάτου, καὶ ἄλης ἀνηνύτου, καὶ τύχης ἀσπόνδου, τὰ τελευταῖα δὲ ὡς ἐδόκει κατασπασαμένη, τούς τε συνεκτεθέντας ὅρμους, ἀεὶ μὲν καὶ ἀρρήτως ὑποφέρεσθαι πονουμένη, τότε δὲ τῆς ἐσθῆτος ἐντὸς καὶ ὑπὸ γαστέρα ζωσαμένη, καὶ οἷον ἐντάφιά τινα ὑποφερομένη, πᾶν ἔγκλημά τε καὶ θάνατον ἐπαγόμενον ὁμολόγει. καὶ μὴ ἐπαγόμενον ἀνέπλαττεν. ἐφ' οἷς οἱ δικάζοντες οὐδὲ μελλήσαντες, μικροῦ μὲν ἐδέησαν ὠμοτέρᾳ τε καὶ περσικῇ τιμωρίᾳ ὑποβαλεῖν. ἴσως δ' ἔτι πρὸς τὴν ὄψιν καὶ τὸ νέον τε καὶ ἄμαχον τῆς ὥρας παθόντες, πυρὶ καταναλωθῆναι κατέκριναν. ἥρπαστο οὖν αὐτίκα πρὸς τῶν δημίων. καὶ μικρὸν τοῦ τείχους ἐκτὸς ἤγετο. κήρυκος ὅτι ἐπὶ φαρμάκοις πυρὰν ἄγοιτο συνεχῶς ἐκβοῶντος. πολλοῦ καὶ ἄλλου πλήθους ἐκ τῆς πόλεως ἐπακολουθήσαντος. οἱ μέν, γὰρ αὐτόπται γεγόνεισαν ἀγομένης. οἱ δέ, πρὸς τῆς ἀκοῆς τάχιστα κατὰ τὸ ἄστυ δραμούσης ἐπὶ τὴν θέαν ἠπείχθησαν. ἀφίκετο δὲ καὶ ἡ ἀρσάκη. καὶ θεωρὸς ἀπὸ τῶν τειχῶν ἐγίνετο. δεινὸν γὰρ εἰ μὴ τὴν ὄψιν ἐμφορηθείη τῆς εἰς χαρίκλειαν κολάσεως ἐποιεῖτο. κἀπειδὴ τὴν πυρκαϊὰν ὡς ὅτι μεγίστην ἐνῆψαν οἱ δήμιοι, καὶ τὴν φλόγα ὑποβαλλόντων λαμπρῶς ἐξῆπτον, μικρὸν ἐνδοθῆναι αὐτῇ πρὸς τῶν ἑλκόντων ἡ χαρίκλεια παρακαλέσασα, καὶ ὡς ἑκοῦσα ἐπιβήσεται τῆς πυρᾶς ἐπαγγειλαμένη, τὰς χεῖρας εἰς οὐρανὸν καὶ καθὸ μέρος ἐπέβαλλεν ὁ ἥλιος τὴν ἀκτῖνα ἀνατείνασα, ἥλιε ἀνεβόησε καὶ γῆ καὶ δαίμονες ἐπὶ γῆς τε καὶ ὑπὸ γῆν ἀνθρώπων ἀθεμίτων ἔφοροί τε καὶ τιμωροί, καθαρὰν μὲν εἶναι με τῶν ἐπιφερομένων, ὑμεῖς ἐστὲ μάρτυρες. ἑκοῦσαν δὲ ὑπομένουσαν τὸν θάνατον διὰ τὰς ἀφορήτους τῆς ψυχῆς ἐπηρείας. ἐμὲ μὲν σὺν εὐμενείᾳ προσδέξασθε. τὴν δὲ ἀλάστορα καὶ ἀθεμιτουργὸν καὶ μοιχαλίδα, καὶ ἐπ' ἀποστερήσει νυμφίου τοῦ ἐμοῦ ταῦτα δρῶσαν ἀρσάκην, ὡς ὅτι τάχιστα τιμωρήσασθε. καὶ εἰποῦσα πάντων ἐκβοώντων τί πρὸς τὰ εἰρημένα, καὶ ἐπέχειν τὴν τιμωρίαν

ὅλης

ἀλάστορα ἀθεμιτουργόν



ρίαν εἰς δευτέραν κρίσιν, τῶν μέν, διατρεπιζομένων, τῶν δέ, καὶ ὁρμησάντων, ἐπέβη προλαβοῦσα τῆς πυρᾶς. καὶ εἰς τὸ μεσαίτατον ἐνιδρυθεῖσα, αὐτὴ μὲν ἐπὶ πλεῖστον ἀπαθὴς εἱστήκει, περιρρέοντος μᾶλλον τοῦ πυρός, ἢ προσπελάζοντος. καὶ λυμαινομένου μὲν οὐδέν. ὑποχωροῦντος δέ, καθ' ὃ μέρος ὁρμήσειεν ἡ χαρίκλεια. καὶ περιαυγάζεσθαι μόνον καὶ διοπτεύεσθαι παρέχοντος ἐπιφαιδρυνομένην ἐκ τοῦ περιαυγάσματος τὸ κάλλος, καὶ οἷον ἐν πυρίνῳ θαλάμῳ νυμφευομένην. ἡ δέ, ἄλλοτε ἄλλῳ μέρει τῆς πυρᾶς ἐνήλλατο. θαυμάζουσα μὲν τὸ γινόμενον. ἐπισπεύδουσα δὲ πρὸς τὸν θάνατον. ἤνυε δὲ οὐδέν, ὑποχωροῦντος ἀεὶ τοῦ πυρός, καὶ ὥσπερ ὑποφεύγοντος πρὸς τὴν ἐκείνης κίνησιν. οἱ δήμιοι δὲ οὐκ ἀνίεσαν. ἀλλ' ἐνέκειντο πλέον. καὶ τῆς ἀρσάκης νεύμασιν ἀπειλητικοῖς ἐγκελευομένης, ξύλα τε ἐπιφορτίζοντες, καὶ τὴν ποταμίαν καλάμην ἐπισωρεύοντες. καὶ παντοίως μὲν φλόγα ἐρεθίζοντες. ὡς δὲ ἤνυετο οὐδὲν ἔτι, καὶ πλέον ἡ πόλις ἐκτετάρακτο, καὶ δαιμονίαν εἶναι τὴν ἐπικουρίαν εἰκάζουσα, καθαρὸν τὸ γύναιον ἀνεβόα. ἀναίτιον τὸ γύναιον. καὶ προσιόντες ἀπὸ τῆς πυρᾶς ἀπεσόβουν, τοῦ θυάμιδος ἐξάρχοντος. καὶ τὸν δῆμον εἰς τὴν βοήθειαν ἐπιρρωννύντος. ἤδη γὰρ κἀκεῖνος παρεγεγόνει τῆς ἀπείρου βοῆς τὸ γινόμενον μηνυούσης. καὶ τὴν χαρίκλειαν ἐξελέσθαι προθυμούμενοι, πλησιάζειν μὲν οὐκ ἐθάρρουν. ἐξελέσθαι δὲ τὴν κόρην τῆς πυρκαϊᾶς ἐνεκελεύοντο. οὐ γὰρ δὴ δέος τὴν ἐνδιαιτωμένην τῇ φλογί, καὶ ἀπολιπεῖν βουλομένην. ἅπερ ὁρῶσα καὶ ἀκούουσα ἡ χαρίκλεια, νομίσασά τε καὶ αὐτὴ πρὸς θεῶν εἶναι τὴν ὑπὲρ αὐτῆς ἄμυναν, ἔγνω μὴ ἀχαριστεῖν πρὸς τὸ κρεῖττον ἀρνουμένη τὴν εὐεργεσίαν, ἐξήλατό τε τῆς πυρᾶς. ὡς τὴν μὲν πόλιν ὑπὸ χαρᾶς ἅμα καὶ ἐκπλήξεως μέγα τε καὶ σύμφωνον ἐκβοῆσαι, καὶ μεγάλους τοὺς θεοὺς ἐπικαλεῖσθαι. τὴν δὲ ἀρσάκην μὴ κατασχοῦσαν, καθάλλεσθαί τε ἀπὸ τῶν τειχῶν καὶ διὰ πυλίδος ἐκδραμοῦσαν σὺν πολλῇ δορυφορίᾳ καὶ τοῖς δυναστεύουσι περσῶν, ἐπιβάλλειν τε αὐτὴν τῇ χαρικλείᾳ τὰς χεῖρας, καὶ εἰς τὸν δῆμον ἰταμὸν ἐνορῶσαν, οὐκ αἰσχύνεσθε εἰπεῖν ἀλιτήριον γυναῖκα καὶ φαρμακίδα, καὶ φόνον ἐργάτιν ἐπαυτοφώρῳ ληφθεῖσαν καὶ ὁμολογήσασαν, ἐξελέσθαι τῆς τιμωρίας πειρώμενοι;

καὶ ἅμα μὲν ἀθεμίτῳ γυναικὶ βοηθοῦντες, ἅμα δὲ νόμοις τοῖς Περσῶν, καὶ βασιλεῖ τε αὐτῷ καὶ σατράπαις, καὶ δυνάσταις καὶ δικασταῖς ἀνθιστάμενοι, ὑπὸ τοῦ μὴ ἐμπεπρῆσθαι αὐτὴν ἴσως εἰς ἔλεον ἀπατώμενοι, καὶ θεοῖς τὸ ἔργον ἐπιγράφοντες; οὐδὲ συννοήσετε σωφρονήσαντες. ὡς ἔτι καὶ μᾶλλον αὐτῆς βεβαιοῖ τὴν φαρμακείαν, ἡ τοσοῦτον περιεῖναι τῆς γοητείας, ὡς καὶ πρὸς τὴν πυρὸς δύναμιν ἀπομάχεσθαι. συνέλθετε εἰ δοκεῖ πρὸς τὸ συνέδριον εἰς αὔριον δημοσίᾳ δι' ὑμᾶς ἐσόμενον. καὶ γνώσεσθε αὐτήν τε ὁμολογοῦσαν, καὶ ὑπὸ τῶν συνειδότων οὓς ἔχω φρουροῦσα διελεγχομένην. καὶ ἅμα ἀπῆγεν αὐτὴν τοῦ τραχήλου προσφῦσα. καὶ τοὺς δορυφόρους ἀναστέλλειν τὸν ὄχλον ἐπέταξεν. οἱ δέ, τὰ μέν, ἠγανάκτουν καὶ ἀνθίστασθαι διεσκόπουν. τὰ δέ, ὑπείκοντες ἅμα καὶ τῇ ὑπονοίᾳ τῆς φαρμακείας ὑπαγόμενοι, τινὲς δὲ καὶ δέει τῆς Ἀρσάκης καὶ τῆς περὶ αὐτὴν δυνάμεως ἀποτρεπόμενοι. καὶ ἡ μὲν Χαρίκλεια, αὖθις τῷ Εὐφράτῃ παρεδίδοτο. καὶ αὖθις πλείοσι τοῖς δεσμοῖς ἐνεβέβλητο. δευτέρᾳ κρίσει καὶ τιμωρίᾳ φυλαττομένη. κέρδος ἓν μέγιστον ὡς ἐν δεινοῖς εὑρισκομένη, τὸ συνεῖναι Θεαγένει, καὶ τὰ καθ' αὐτὴν ἐκδιηγεῖσθαι. τῇ μὲν γὰρ Ἀρσάκῃ καὶ τοῦτο εἰς τιμωρίαν ἐπινενόητο. ὥσπερ ἐπικερτομούσῃ τοὺς νέους ἀνιάσειν, εἰ καθ' ἓν δεσμωτήριον καθειργμένοι, θεαταὶ γίγνοιντο ἀλλήλων, ἐν δεσμοῖς καὶ κολάσεσιν ἐξεταζομένων. ᾔδει γὰρ ὡς πάθος τοῦ ἐρωμένου, τὸν ἐρῶντα πλέον ἢ τὸ ἴδιον ἀλγυνεῖ. τοῖς δέ, ἦν παραψυχὴ μᾶλλον τὸ γινόμενον. καὶ τὸ ἐν ὁμοίοις τοῖς πάθεσιν ἐξετάζεσθαι, κέρδος ἐνόμιζον. εἰ ἔλαττόν τις αὐτῶν κολασθήσεσθαι, νενικῆσθαι ὑπὸ θατέρου. καὶ μειονεκτεῖν τῶν ἐρωτικῶν οἰόμενος. προσῆν δὲ καὶ τὸ προσομιλεῖν ἀλλήλοις, καὶ τὸ παρηγορεῖν τε καὶ ἐπιθαρσύνειν. εὐγενῶς τε καὶ γενναίως τὰς προσπιπτούσας τύχας, καὶ τοὺς ὑπὲρ σωφροσύνης τε καὶ πίστεως τῆς εἰς ἀλλήλους φέρειν ἀγῶνας. πολλὰ γοῦν μέχρι τῶν νυκτῶν ἀλλήλοις διειλεγμένοι, καὶ ὅσα εἰκὸς τοὺς μετὰ τὴν νύκτα τὴν παροῦσαν ἐντεύξεσθαι ἀλλήλοις ἀπεγνωκότας, καὶ οἷον ἀλλήλων ἐφ' ὅσον ἔξεστι κορεννυμένους, τέλος καὶ περὶ τῆς ἐπὶ τῆς πυρᾶς θαυματουργίας ἐνεσκόπουν. καὶ ὁ μὲν Θεαγένης εἰς θεῶν δυσμένειαν τὸ αἴτιον ἀνέφερε. συγνησάντων μὲν τὴν ἄδικον Ἀρσάκης συκοφαντίαν. κατε-

κατελεησάντων

ἐπιγράφοντες ascribentes

ἐξετάζεσθαι



λεησάντων δὲ τὴν ἀθῷον καὶ οὐδὲν αἰτίαν. ἡ Χαρίκλεια δὲ ἀμφιβάλλειν ἐῴκει. τὸ μὲν γὰρ καινουργὸν ἔφη τῆς σωτηρίας, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. τὸ δὲ ἐν τοσούτοις ἐξετάζεσθαι δυστυχήμασιν ἀδιαστάτως, καὶ κολάσεσιν αἰκίζεσθαι ποικίλαις τε καὶ ὑπερβαλλόντως, θεηλατουμένων ἐστί, καὶ δυσμενείας κρείττονος πειρωμένων. πλὴν εἰ μὴ θαυματοποιΐα τίς ἐστι δαίμονος, εἰς τὰ ἔσχατα μὲν βάλλοντος, ἐκ δὲ τῶν ἀπόρων διασώζοντος. καὶ ἔτι ταῦτα λεγούσης, τοῦ Θεαγένους εὐφημεῖν παρακαλοῦντος, καὶ τοῦ εὐσεβεῖν πλέον ἢ σωφρονεῖν ἀντέχεσθαι παραινοῦντος, ἵλεῳ τε θεοὶ ἀνεβόησεν. οἷον γάρ μοι νῦν ὄναρ, εἴτε καὶ ὕπαρ ἦν, ἐνθύμιον γέγονεν. ὃ τῆς προτεραίας ἰδοῦσα νυκτός, τό τε μὲν οὐκ οἶδ' ὅπως τῆς διανοίας ἀπέβαλον, νυνὶ δέ μοι εἰς μνήμην παραγέγονε. τὸ δὲ ὄναρ, ἔπος ἦν εἰς μέτρον ἡρμοσμένον. ἔλεγε δὲ τὸ ἔπος ὁ θειότατος Καλάσιρις. εἶχε δὲ οἶμαι ὧδέ πως.

« Παντάρβην φορέουσα, πυρὸς μὴ τάρβει ἐρωήν.

« Ῥηιδίως μοίραις καὶ τὰ ἀδόκητα πέλει.

καὶ ὁ Θεαγένης διεσείσθη ὥσπερ οἱ κάτοχοι. καὶ ἐφ' ὅσον ἐνεδίδου τὰ δεσμὰ ἀφήλατο. καὶ εὐμενεῖς εἶεν τε θεοί ἀνέκραγε. κἀγὼ γάρ σοι ποιητὴς ἐξ ὑπομνήσεως ἀναδείκνυμαι. καὶ χρησμὸς δή μοι παρ' ὁμοίου τοῦ μάντεως, εἴτε Καλάσιρις ἦν, εἴτε θεὸς εἰς Καλάσιριν φαινόμενος περιφοίτηκε. καὶ λέγειν ἐδόκει τοιάδε.

« Αἰθιόπων εἰς γαῖαν ἀφίξεαι ἄμμιγα κούρῃ

« Δεσμῶν Ἀρσακέων αὔριον ἐκπροφυγών.

ἐμοὶ μὲν οὖν ὅποι τείνει τὸ χρήσμιον ἔχω συμβάλλειν. γῆν μὲν γὰρ Αἰθιόπων, τὴν τῶν καταχθονίων ἔοικε λέγειν. ἄμμιγα δὲ κούρῃ, τῇ Περσεφόνῃ συνέσεσθαι. καὶ λύσιν δεσμῶν, τὴν ἐνθένδε ἐκ τοῦ σώματος ἀπαλλαγήν. σοὶ δὲ ἄρα τί φράζει τὸ ἔπος, οὕτως ἐξ ἐναντίων πρὸς ἑαυτὸ συγκείμενον. τοὔνομα μὲν ἡ παντάρβη πάντα φοβουμένην δηλοῖ. τὸ παράγγελμα δέ, μὴ δεδοικέναι τὴν πυρὰν ἀξιοῖ. καὶ ἡ Χαρίκλεια. ὦ γλυκύτατε ἔφη Θεάγενες. ἡ συνήθειά σε τῶν « δυστυχημάτων πάντα πρὸς τὸ φαυλότατον νοεῖν τε καὶ εἰκάζειν « παρεσκεύασε. φιλεῖ γὰρ ἄνθρωπος πρὸς τὰ συμπίπτοντα τρέπειν « τὴν γνώμην. χρηστότερα δὲ ἢ ὡς σὺ παρίστασαι μηνύειν μοι τὰ μαν- «

τεθέντα φαίνεται. καὶ ἡ κόρη τάχα ἄν, εἴην ἐγώ, μεθ' ἧς σε τὰ πατρίδος τῆς ἐμῆς αἰθιοπίας ὑποδέχεσθαι ἐπαγγέλλεται. ἀρσάκην καὶ τὰ δεσμὰ ἀρσάκης ἐκφυγόντα. τὸ δὲ ὅπως, ἡμῖν μὲν, οὔτε δῆλα οὔτε ἄπιστα. θεοῖς δὲ, καὶ δυνατά. καὶ μελήσει τοῖς καὶ τὰ μαντεύματα φήνασιν. ἡ γοῦν εἰς ἐμὲ πρόρρησις ἤδη ὡς οἶσθα, βουλήματι τῷ ἐκείνου τετέλεσται. καὶ ζῶ σοι τὸ πρὶν, ἡ παντοίως ἀπελπισθεῖσα. καὶ σωτηρίας ἐμαυτῆς ἐπαγομένη, τότε μὲν ἠγνόουν. συνίημι δὲ τὸ πρὶν ὡς ἔοικε. τὰ γοῦν συνεκτεθέντα μοι γνωρίσματα, καὶ παρὰ σοῦ ἔμπροσθεν ἀεὶ χρόνους περιφέρεσθαι πεπονημένη, τότε καὶ πλέον τῆς κρίσεως μοι γενομένης, καὶ τῆς τελευταίας προσδοκωμένης, περὶ τῇ γαστρὶ ζωσαμένη κρύφα ἐτύγχανον. εἰ μὲν σωζοίμην, εὐπορία βίου καὶ τῶν ἀναγκαίων. εἰ δέ τι πάσχοιμι, καλλωπίσματα ἔσχατα καὶ ἐντάφια γενησόμενα. ἐν δὴ τούτοις ὦ θεάγενες οὖσιν ὅρμοις πολυτελέσι, καὶ λίθοις ἐντιμίοις ἰνδικοῖς τε καὶ αἰθιοπικοῖς, ἔστι δὴ καὶ δακτύλιος. δῶρον μὲν παρὰ πατρὸς τοῦ μου, τῇ μητρὶ παρὰ τὴν μνηστείαν δοθείς. λίθῳ δὲ τῇ καλουμένῃ παντάρβῃ τὴν σφενδόνην διάδετος. γράμμασι δὲ τισὶν ἱεροῖς ἀνάγραπτος. καὶ τελετῆς ὡς ἔοικε θειοτέρας ἀνάμεστος. παρ' ἧς εἰκάζω δύναμίν τινα ἔχειν τῇ λίθῳ πυρὸς φυγαδευτικὴν. ἀπάθειαν τοῖς ἔχουσιν ἐν ταῖς φλογώσεσι δωρουμένην. ἣ κἀμὲ τυχὸν σὺν βουλήσει θεῶν περιέσωσε. ταῦτα δ' ἔχω καὶ συμβάλλειν καὶ γινώσκειν, ἐξ ὧν ὁ θειότατός μοι καλάσιρις ὑπετίθετο. πολλάκις ταῦτα καὶ φράζεσθαι καὶ ἐκδιδάχθαι, πρὸς τῶν ἐνεστιγμένων τῇ συνεκτεθείσῃ μοι ταινίᾳ. νυνὶ δὲ ὑπὲρ γαστέρα τὴν ἐμὴν ἐνειλημμένην δεικνύμενος. ταῦτα μὲν εἰκότα καὶ ὄντα πλέον καὶ τοῖς ὑπηργμένοις συμβαίνοντα ἔφη ὁ θεαγένης. ἐκ δὲ τῶν εἰς αὔριον κινδύνων, ποία τις ἄρα παντάρβη ἄλλη ἐξαιρήσεται. οὐ γὰρ καὶ ἀθανασίαν ὡς ὄφελε, καθάπερ τὴν πρὸς τὰς πυρκαϊὰς ἀντιπάθειαν ἐπαγγέλλεται. ἡ δ' ἀλάστορος ἀρσάκης ὡς εἰκάζειν ἔνεστιν ἕτερόν που καὶ καινότερον τιμωρίας τρόπον τανῦν ἐπινοούσης. καὶ εἴθε γε ἅμα κατ' ἀμφοτέρων καὶ θάνατον ἕνα καὶ ἐν ὥρᾳ μιᾷ καταδικάσειεν. ὡς οὐδὲ τελευτὴν ἄν, ταύτην ἐθέμην, ἀλλὰ καὶ πάντων κακῶν ἀνάπαυλαν. καὶ ἡ χαρίκλεια, θάρσει ἔφη. παντάρβην ἑτέραν ἔχομεν τὰ μεμαντευμένα. καὶ θεοῖς ἐπανέχοντες, σωζοίμεθά τε ἄν, ἥδιον. καὶ εἰ δέοι πάσχοιμεν

χοίμεθα



χοίμεθα ὁσιώτερον. οὗτοι μὲν δὴ ταῦτα ἀναθεωροῦντες, καὶ νῦν μὲν θρηνοῦντες, καὶ πλέον ἀνιᾶσθαι καὶ ἀγωνιᾶν ἅτερος ὑπὲρ θατέρου διεγνωσμένοι, νῦν δὲ τὰ τελευταῖα ἀλλήλοις ἐπισκήπτοντες, καὶ ὡς μέχρι θανάτου πιστοὶ τὰ ἐρωτικὰ πρὸς ἀλλήλους ἔσονται, θεούς τε καὶ τὰς παρούσας τύχας ἐπομνύντες, οὕτω διῆγον. ὁ δὲ βαγώας καὶ οἱ σὺν αὐτῷ πεντήκοντα ἱππεῖς, νυκτὸς ἔτι βαθείας ὕπνῳ τὰ πάντα ἐπεχούσης, ἀφικνοῦνται εἰς τὴν μέμφιν. καὶ τοὺς ἐπὶ τῶν πυλῶν ἡσυχῇ διαναστήσαντες, καὶ οἵτινες εἶεν εἰπόντες τε καὶ γνωρισθέντες, ἐπὶ τὰ σατραπεῖα σὺν σπουδῇ καὶ θορύβῳ εἰσέρχονται. καὶ τοὺς ἱππέας ὁ βαγώας αὐτοῦ κατέλιπε τοῖς σατραπείοις ἐν κύκλῳ περιεστῶτας. ὡς εἴ τις καὶ γένοιτο ἀντίστασις εὐτρεπεῖσθαι πρὸς ἄμυναν. αὐτὸς δὲ κατά τινα παραπυλίδα τοῖς πολλοῖς ἀγνοουμένην ἀσθενεῖς τὰς θύρας ἐκμοχλεύσας. καὶ τῷ κατοικοῦντι, φράσας τε ἑαυτοῦ καὶ σιωπᾶν ἐπιστείλας, ὡς τὸν εὐφράτην ἐμπειρίᾳ καὶ γνώσει τῶν τόπων ἐπορεύετο. ἅμα τι καὶ τῆς σελήνης τότε μικρὸν ὑπαυγαζούσης. καὶ καταλαβὼν ἐπὶ τῆς εὐνῆς, ἀφύπνισέ τε, καὶ θορυβούμενον, καὶ τίς οὗτος; βοῶντα κατέστελλε. βαγώας ἐγὼ λέγων. ἀλλὰ φῶς ἥκειν πρόσταττε. προσκαλεσάμενος δή τι παιδάριον τῶν προσεδρευόντων, λύχνον ἅψασθαι τοὺς ἄλλους ἐάσαντα καθεύδειν προσέταττεν. ἐπειδὴ δὲ ἧκεν ὁ παῖς, καὶ ὑπὸ τῇ λυχνούχῳ ἐπιθεὶς, μετέστη, τοῦτο ἔλεγεν ὁ εὐφράτης, τί ἄρα καινὸν ἀγγέλλει πάθος, ἡ αἰφνίδιός σοι καὶ ἀπροσδόκητος ἄφιξις. ὁ δέ, οὐ πολλῶν ἔφη δεῖ λόγων. ἀλλὰ τουτὶ τὸ γράμμα ἀναγίνωσκε λαβών. καὶ πρό γε τούτου τῆς σφραγῖδος τὸ ἐπίσημον ἀναγνώριζε. καὶ ὡς ὀροονδάτης ἐστὶν ὁ κελεύων πίστευε. καὶ τὰ ἐπεσταλμένα λυσιτελὲς ἀποδοῦναι, πρότερον αὐτὸς δοκίμαζε. ὑποδεξάμενος οὖν ὁ εὐφράτης τὰς ἐπιστολὰς, καὶ ἀμφοτέρας διελθὼν, ἀρσάκη μὲν ἔφη οἰμώξει, καὶ τὸ πρὶν ἐν ἐσχάτοις διάγει. πυρετοῦ τινος ὥσπερ θεηλάτου τῆς προτεραίας ἐνσκήψαντος, καὶ θέρμης ὀξείας ὑποδραμούσης, καὶ εἰς δεῦρο καταχούσης. καὶ ὀλίγας τοῦ περιέσεσθαι τὰς ἐλπίδας ἐνδεικνυμένη. ἐγὼ δ' ἄν, ταῦτα οὐδὲ ἐρρωμένῃ ἔδωκα, θᾶττον ἄν, προαποθανούσῃ, καὶ ἡμᾶς συναπολεσάσῃ, ἢ ἑκοῦσι τοὺς νέους ἐκδοῦσι. σὺ δὲ εἰς καιρὸν ἥκων ἴσθι. καὶ ὑποδεξάμενος ἄγε τοὺς ξένους. καὶ τὰ εἰς δύναμιν ἐπικουρίαν σύμπειθε. καὶ κατελέει παντοίως. ἀθλίους μὲν ὄντας καὶ κακοδαίμονας, καὶ μυρίας αἰκίας καὶ κολάσεις, οὔπω ἑκόντος ἐμοῦ, κελευομένους

μένους

μένου δὲ πρὸς ἀρσάκης ὑποστάντας. τἄλλα δὲ ὡς ἔοικεν εὖ γεγονό-
τας, καὶ ὡς ἡ πεῖρά μοι καὶ τὰ ἔργα παρέστησε τὰ πάντα σώφρονας.
καὶ ἅμα λέγων, ἦγεν ἐπὶ τὸ δεσμωτήριον. ὁ μὲν δὴ Βαγώας ἰδὼν
τοὺς νέους δεσμώτας. καὶ ἤδη ταῦτα καὶ πρὸς τῶν βασάνων τετρυ-
χωμένους, ἐκπέπληκτο τοῦ μεγέθους ἅμα καὶ κάλλους. οἱ δὲ τοῦτ' ἐκεῖ-
νο εἶναι νομίσαντες, καὶ ἀεὶ τοὺς περὶ τὸν βαγώαν ἥκειν τῇ ἐπὶ θα-
νάτῳ καὶ τὴν τελευταίαν ἀπάξοντας, εἰς βραχὺ μὲν διεταρά-
χθησαν. εἶτα ἀνενεγκόντες, ἱλαρῷ καὶ διακεχυμένῳ τῷ βλέμ-
ματι ὅτι ἀφροντιστοῦσι καὶ πλείονα χαίρουσιν, ἐπίδηλοι τοῖς παροῦ-
σιν ἐγίγνοντο. ἤδη γοῦν τῶν περὶ τὸν εὐφράτην πλησιαζόντων
καὶ ἐπιδραττομένων, καὶ ἀπὸ τῶν ξύλων πρὸς οἷς τὰ δεσμὰ κατα-
κέκλειστο ὑπεκλυόντων, ὁ θεαγένης, εὖγε ἡ ἀλάστωρ ἀρσάκη ἀνε-
βόησεν. ὅτι νυκτὶ καὶ ζόφῳ τὰς ἑαυτῆς ἀθεμίτους πράξεις ἐπικρύ-
»πτειν οἴεται. δεινὸς δὲ ὁ τῆς δίκης ὀφθαλμὸς ἐλέγχων. καὶ τὰ ἀμή- *justitiae oculus*
»νυτα κρύφια καὶ ἀθέμιτα φωτίζειν. ἀλλ' ὑμεῖς τὰ προστεταγμέ-
να πράττετε. καὶ εἴτε πῦρ, εἴτε ὕδωρ εἴτε ξίφος ὥρισται καθ' ἡμῶν,
τὸν αὐτὸν ἅμα καὶ ἕνα θάνατον χαρίσασθε ἀμφοτέροις. συμπαρε-
κάλει δὲ τὰ αὐτὰ καὶ ἡ χαρίκλεια. ἐπιδακρύσαντες οὖν οἱ εὐνοῦχοι,
συνίεσαν γὰρ ἠρέμα τῶν λεγομένων, αὐτοῖς δεσμοῖς ὑπεξῆγον.
κἀπειδὴ τῶν σατραπείων ἐκτὸς ἐγεγόνεισαν, ὁ μὲν εὐφράτης ἐπὶ
χώραν ἔμενεν. ὁ δὲ Βαγώας καὶ οἱ ἱππεῖς τῶν πολλῶν δεσμῶν ἐπι-
κουφίσαντες τοὺς νέους, καὶ ὅσα φυλάττειν οὐ κολάζειν ἔμελλον ἐγκα-
ταλιπόντες, ἐφ' ἵππου τε ἑκάτερον ἀναθέμενοι, καὶ μέσους εἰς κύ-
κλον περιστοιχισάμενοι, τάχους οὐδὲν ἀνιέντες, ἐπὶ τὰς θήβας ἤλαυ-
νον, τὸ δὴ λειπόμενον τῆς νυκτὸς ἀδιαστάτως ὁδοιπορήσαντες. καὶ
ἐπὶ τὴν ἑξῆς ἡμέραν εἰς ὥραν που τρίτην, οὐδαμοῦ γόνυ κάμψαν-
τες, τῆς τε ἡλιακῆς ἀκτῖνος τὸν φλογμόν, οἷα δὴ θέρους ὥρᾳ κατὰ
αἴγυπτον οὐκ ἔτ' ἀνεχόμενοι, πιεζόμενοί τε ὑπὸ ἀγρυπνίας, καὶ
πλέον τὴν χαρίκλειαν πρὸς τῆς συνεχοῦς ἱππηλασίας ἀπειρηκυῖαν
ὁρῶντες, ἔγνωσαν αὐτοῦ που κατασκήψαντες, ἀναπαῦσαι μὲν αὐ- *κατασκήψαντες*
τοί. ἀναπνεῦσαι δὲ καὶ τὴν ἵππον. ἀναψύξαι δὲ καὶ τὴν κόρην. καὶ
ἦν γάρ τις ὄχθη. καὶ ἄκρα τοῦ νείλου. καθ' ἣν τῆς ἐπ' εὐθὺ στάθμης τὸ
ὕδωρ ἀνακοπέν, καὶ πρὸς ἑλιγμὸν ἡμικύκλον ἐκτραπέν, πρός τε
τὸ ἀν-



τὸ ἀντίθετον τῆς ἐκ τροπῆς ἐπιστρέψαν, οἷον ἠπειρωτικόν τινα κόλ-
πον ἀπετέλει τὸ περιγραφόμενον. πολὺς μὲν λειμὼν οἷα δὴ
διαρρεομένου τοῦ παντὸς ἀνέπλεον. πολλὴν δὲ πόαν καὶ χιλὸν ἐν-
δαψιλεύεσθαι κτήνεσι νομὴν ἀπαυτοματίζοντα. δένδρεσι περ- *ἀπαυτοματίζοντα*
σαίαις καὶ συκομόροις, καὶ ἄλλοις τοῖς νείλου συννόμοις τε καὶ φίλοις,
ἐπηρεφῆ τε καὶ κατάσκιον. ἐνταῦθα ὁ βαγώας ἅμα τοῖς ἀμφ' αὐ-
τὸν ἐνηυλίσατο. σκηνὴν τὰ δένδρα ποιησάμενος. καὶ αὐτός τε σί-
του μετέλαβε. καὶ τοῖς περὶ τὸν θεαγένην μετεδίδου ἀπωθουμένους
τὰ πρῶτα ἐπαναγκάσας. καὶ ὡς περιττὸν εἴη σιτεῖσθαι, τοὺς αὐτίκα
τεθνηξομένους φάσκοντας. μετέπειθεν ὡς οὐδὲν ἔσται τοιοῦτο διεγ-
νωσμένος. καὶ ὡς οὐκ ἐπὶ θάνατον. ἄγοιντο δὲ πρὸς ὀροονδάτην
ἐκδιδάσκων. ἤδη δὲ τῆς ἄγαν μεσημβρίας χαλώσης, οὐκέτι τῆς κο-
ρυφὴν ἡλίου, πλαγίας δὲ καὶ ἀπὸ τῶν δυσικωτέρων βάλλοντος, τῶν
τε περὶ τὸν βαγώαν εἰς τὴν πορείαν διασκευαζομένων, ἐφίσταταί
τις ἱππεὺς ὑπὸ συντόνου τῆς ἐλασίας ὡς ἐδόκει, πνευστιῶν μὲν αὐ-
τός, ἱδρῶτι δὲ καταρρεόμενον τὸν ἵππον, χαλεπῶς ἀνέχων. καὶ
πρὸς τὸν Βαγώαν ἰδίᾳ τι φράσας, ἡσύχαζεν. ὁ δέ, εἰς βραχὺ κατη-
φήσας, καὶ ἐν συννοίᾳ τῶν ἀπαγγελθέντων δόξας, ὦ ξένοι ἔφη. θαρ-
σεῖτε. δίκην ὑμῖν ὑπέσχεν ἡ πολεμία. τέθνηκεν ἀρσάκη. βρόχον *Arsaces mors*
ἀγχόνης ἁψαμένη. ἐπειδὴ τὴν ὑμετέραν σὺν ἡμῖν ἔξοδον ἐπύθε-
το. καὶ τὸν ἐξ ἀνάγκης θάνατον, αὐθαιρέτῳ προὔλαβεν. οὐκ ἂν δια-
δρᾶσα τὴν ἐξ ὀροονδάτου καὶ βασιλέως τιμωρίαν. ἀλλ' ἢ σφαγεῖ-
σα, ἢ τῷ λειπομένῳ τοῦ βίου πάντως ἀσχημονοῦσα. ταυτὶ γὰρ φρά-
ζει καὶ ἐπιστέλλει διὰ τοῦ νῦν ἥκοντος εὐφράτης. ὥστε θαρσεῖτε
πλέον καὶ θυμὸν ἔχετε ἀγαθόν. αὐτοὶ μὲν οὐδὲν ἠδικηκότες ὡς
ἀκριβῶς ἔγνων. τὴν δὲ ἀδικήσασαν ἐκποδὼν ἔχοντες. ταῦτα
ἔλεγεν ὁ Βαγώας παραστησάμενος, ἀλλὰ καὶ ψελλιζόμενος τὴν ἑλ- *ψελλιζόμενος*
λάδα φωνήν, καὶ παράσημα τὰ πολλὰ ἐπισύρων. ἔλεγε δὲ ἅμα μὲν
καὶ αὐτὸς χαίρων, τὸ ἀκόλαστον τῆς ἀρσάκης καὶ τυραννικῶς ζώσης
βαρυνόμενος, ἅμα δὲ τοὺς νέους ἐπιρρωννύς τε καὶ παρηγορούμενος. ἐλ-
πίζων ὅτι περ ἦν μέγα παρὰ ὀροονδάτῃ λαμπρῶς εὐδοκιμήσειν, εἴ περ
δὴ σώσειεν αὐτῷ νεανίαν τε, καὶ πᾶσαν τὴν ἄλλην τοῦ σατράπου
διακονίαν ἐπισκιάζοντα, καὶ κόρην, ἀπρόσμαχόν τι τὸ κάλλος, καὶ

εἰς γυναῖκα μετὰ Ἀρσάκην ἀπελθοῦσαν ἐσομένην. ἔχαιρον δὲ καὶ οἱ
πολλοὶ τὸν Θεαγένην τῇ ἀκοῇ, θεούς τε μεγάλους καὶ δίκην ἀνακαλοῦν-
τες. οὐδὲν ἔτι τὴν Ἀρσάκην δεινὸν ὑπετίθεντο, κἂν εἰ τὰ χαλεπώτατα
» διαδέχοιτο τῆς ἐχθίστης κεκμηκυίας. οὕτως ἄρα ἡδύ ἐστι καὶ τὸ ἀπόλλυ-
» σθαι, ὅταν συμβαίνῃ τοῖς ἐχθροῖς ἐπαπόλλυσθαι. δείλης δὲ ὀψίας ἤ-
δη πρὸς τὸ εὐπνούστερον ἀναχεομένης, καὶ πρὸς τὸ βάσιμον τῆς ὁδοι-
πορίας ὑπὸ ψυχούσης, ἄραντες ἤλαυνον. αὐτήν τε τὴν ἑσπέραν καὶ
τὴν συνεχῆ νύκτα, καὶ τῆς συναπτομένης ἡμέρας τὰ ὄρθρια, σπουδὴν
ποιούμενοι περὶ τὰς Θήβας τὸν Ὀροονδάτην εἰ δύναιντο καταλαβεῖν.
οὐ μὴν προὐκεχωρήκει αὐτοῖς. ἀλλά τινος τῶν ἀπὸ τῆς στρατιᾶς καθ' ὁ-
δὸν ἐντυχόντος. καὶ ὡς ἐξωρμήκοι μὲν τῶν Θηβῶν ὁ σατράπης ἀ-
παγγείλαντος. αὐτὸς δὲ ἀνακαλεῖν πάντα στρατιώτην ἐνόπλιον, κἂν
εἰ πρὸς φρουραῖς εἴη καταλελειμμένος, ὑπαποδῦσαι πρὸς τὴν Συήνην
κατεπείξων. ἐμπεπλῆσθαι γὰρ ἅπαντα θορύβου, καὶ δέος εἶναι τὴν πό-
λιν ἡλωκέναι. τοῦ μὲν σατράπου καθυστεροῦντος. τοῦ δὲ αἰθιοπικοῦ
στρατοῦ θᾶττον ἀκοῆς ὑπερβαλόντος, ἐκτραπεὶς τῶν Θηβῶν ὁ Βαγώας,
ἐπὶ τὴν Συήνην ἤλαυνεν. ἤδη δὲ πλησιάζων, αἰθιοπικῷ περιπίπτει
λόχῳ. καὶ πλήθει νεολαίας εὐοπλούσης. οἱ προαπεστάλησαν μὲν,
ὀπτῆρές τε ἐσόμενοι, καὶ τὸ ἀσφαλὲς τῆς ὁδοιπορίας, τῇ πείρᾳ σφῶν
ἀποπείρᾳ πρὸς τὴν ὅλην στρατιὰν βεβαιωσάντων. τότε δὲ ὑπὸ νυ-
κτός τε καὶ τόπων ἀπειρίας. ὅπου ἦν πορρωτέρω τῶν φιλίων προσῆ-
κον ἦν φθάνειν ἀποσταλέντων. κατά τινα τοῦ ποταμοῦ λόχμην
ἐγκαταδύντες, αὐτοῖς τε ἅμα εἰς φρουρὰν καὶ τοῖς ἐναντίοις εἰς ἐνέ-
δραν, ἄυπνοι τὴν λόχμην ἐπετείχιζον. ἄρτι δὲ ἡμέρας ὑποφαινού-
σης καὶ Βαγώαν καὶ τὴν σὺν αὐτῷ ἵππον αἰσθόμενοι προϊόντα, καὶ
τὸ πλῆθος ὡς ὀλίγοι διοπτεύσαντες, μικρόν τε παραδραμεῖν ἐν-
δόντες, καὶ ὅτι ἄλλοι μηδένες ἐφέποιντο ἀκριβωσάντων, ἀθρόοι
τοῦ ἕλους μετὰ βοῆς ἐκδυόντων μετέθεον. ὁ δὲ Βαγώας καὶ τὸ ἄλ-
λο ἱππικὸν ἀπό τε τῆς ἀπροσδοκήτου βοῆς, πτοίας ἐμπέπληστο. καὶ
ἀπὸ τῆς χροιᾶς αἰθίοπας εἶναι τοὺς φανέντας γνωρισάντων, καὶ τὸ
πλῆθος ὡς ἀπρόσμαχον ἰδόντων, χίλιοι γὰρ εἰς τὴν κατασκο-
πὴν ὡπλισμένοι κούφως ἐστάλησαν, οὐδὲ ἀκριβῶς τὴν θέαν ἀνα-
σχόμενοι, πρὸς φυγὴν ὥρμησαν. σχολαίτερον τὰ πρῶτα, ἢ καὶ
ὅσον

νεολαία

παραγραμεῖν



ὅσον ἠδύναντο, καὶ ὥστε μὴ πρόδηλον δρασμὸν ἐμφαίνειν ἀπιόν-
των. οἱ δὲ, ἐπεδίωκον. τῶν δὲ οἱ Τρωγλοδύται σφῶν, ἦσαν δὲ εἰς
διακοσίους, προτέρους ἐπαφέντων, Τρωγλοδύται δὲ, μοῖρα μὲν
ἐστὶν αἰθιοπική. νομαδική τε καὶ Ἀράβων ὅμορος. δρόμου τε ὀξύ-
τητα, φύσει τε εὐτυχούντων καὶ ἐκ παίδων ἀσκούντων. τὴν μὲν
βαρεῖαν ὅπλισιν, οὐδὲ ἀρχὴν ἐδιδάχθησαν. ἀπὸ σφενδόνης δὲ κατὰ
τὰς μάχας ἀκροβολιζόμενοι, ἢ δρῶσί τι πρὸς ὀξὺ τοὺς ἀνθισταμέ-
νους, ἢ καθυπερτέρους αἰσθόμενοι διαδιδράσκουσιν. οἱ δὲ, ἀπογι-
νώσκουσιν αὐτίκα. τὴν ἐπιδίωξιν ἐπτερωμένους τῇ ποδωκίᾳ συ-
νειδότες. καὶ εἰς ὀπάς τινας βραχυστόμους καὶ χηραμοὺς κρυφίους
πετρῶν καταδυομένους. οὗτοι δ' οὖν οἵ τε πεζοὶ τοὺς ἱππέας
ἔφθανον. καί τινας καὶ τραυματίας γενέσθαι σφενδονῶντες ἴσχυ-
σαν. οὐ μὴν ἐδέξαντό γε ἀντεφορμήσαντας. ἀλλὰ προτροπά-
δην εἰς τοὺς ἀπολειφθέντας τῶν φιλίων πολὺ καθυστεροῦντας ἀπε-
δίδρασκον. ὃ δὴ καὶ σκοπήσαντες οἱ Πέρσαι, καὶ τῆς ὀλιγότη-
τος ὑπεριδόντες, τὴν ἀντεφόρμησιν ἐθάρρησαν. ἀνασκευασάμε-
νοί τε εἰς βραχὺ τοὺς ἐγκειμένους, τὸν δρασμὸν αὖθις ἐπεσπεύ-
δε. τοῖς τε μύωψι τοὺς ἵππους ἐρεθίζοντες, καὶ δυνάμεως, ὅσον ἦν
καὶ τάχους, ἀνέτοις τοῖς χαλινοῖς ἐφιέντες. οἱ μὲν οὖν ἄλλοι δια-
διδράσκουσιν. ἑλιγμόν τινα τοῦ Νείλου καθάπερ ἄκραν ὑποδρα-
μόντες. καὶ τῷ προβόλῳ τῆς ὄχθης τῶν ἐναντίων ἀποκρύψαντες.
ὁ δὲ Βαγώας ἁλίσκεται προσπταίσαντι τῷ ἵππῳ συγκατενε-
χθεὶς. καὶ θάτερον τοῖν σκελοῖν εἰς τὸ ἀκίνητον πηρωθείς. ἁλίσ-
κονται δὲ Θεαγένης καὶ ἡ Χαρίκλεια. τὸ μὲν τοι τὸν Βαγώαν ἐγ-
καταλιπεῖν οὐκ ἐγνωκότες. ἄνδρα φιλάνθρωπον περὶ αὐτοὺς καὶ
ὀφθέντα καὶ ἐλπισθέντα. προσκεκήκεισαν γοῦν ἀποβάντες τῶν ἵππων.
ἴσως ἂν, καὶ διαφυγόντες. πλέον δὲ ἑκόντες ὑποκατακλινόμε-
νοι τοῦ Θεαγένους πρὸς τὴν Χαρίκλειαν, τοῦτ' ἐκεῖνο εἶναι τὸ ὄναρ
εἰπόντος, καὶ τοὺς αἰθίοπας τούτους, ὧν εἰς τὴν γῆν ἀφικέ-
σθαι πεπρωμένον εἶναι ἡμῖν αἰχμαλώτους ἁλόντας. καλὸν οὖν
ἐγχειρίζειν ἑαυτοὺς καὶ ἐπιτρέπειν ἀδηλοτέρᾳ τύχῃ, τοῦ προ-
δηλοτέρου παρὰ Ὀροονδάτῃ κινδύνου. καὶ ἡ Χαρίκλεια συνίει μὲν

 λοιπὸν

Troglodytae

ἑλιγμόν

οὐδὲ ἀρχήν

λοιπὸν ὑπὸ τῶν εἱμαρμένων χειραγωγουμένη. καὶ εὔελπις ἦν τῶν βελτιόνων. φιλίους μᾶλλον ἢ πολεμίους τοὺς ἐπιόντας ἐπιτιθεμένη. φράζουσα δὲ οὐδὲν τῷ Θεαγένει τῶν νοουμένων, ὑπὸ μόνης τίθεσθαι τῆς συμβολῆς ἐνεδείκνυτο. πλησιασάντων οὖν οἱ αἰθιόπων, καὶ τὴν μὲν Βαγώαν εὐνοῦχον καὶ ἀπόλεμον ἀπὸ τῆς ὄψεως γνωρισάντων. τοὺς δὲ, ἀνόπλους μὲν καὶ δεσμώτας, κάλλει δὲ καὶ εὐγενείᾳ διαπρέποντας, ἠρώτων οἵτινες εἶεν. αἰγύπτιόν τε ἀπὸ σφῶν ἕνα τὸν καὶ περσίζοντα τὴν φωνὴν εἰς τὴν πεῦσιν καθέντων, ὡς ἢ ἀμφοτέρων ἢ θατέρου πάντως συνιέντας. οἱ γὰρ ὀπτῆρές τε καὶ σκοποὶ, λεγομένων τε καὶ πραττομένων ἀκρεαλόντων, ὁμογλώσσους τε καὶ ὁμοφώνους τοῖς τε ἐγχωρίοις, καὶ πολεμίοις, ἐπάγεσθαι ὑπὸ τῆς χρείας ἐδιδάχθησαν. ὡς οὖν ὁ Θεαγένης ὑπό τε συνδιαιτήσεως μακρᾶς τῆς αἰγυπτίας καὶ βραχείας τῆς πεύσεως, τὰ πρῶτα εἶεν τοῦ σατράπου περσῶν ἀπεκρίνατο. ἑαυτὸν δὲ καὶ τὴν Χαρίκλειαν, Ἕλληνας γένος. περσαῖς μὲν πρότερον αἰχμαλώτους γενομένους. τὸ νῦν δὲ αἰθίοψιν, ὑπὸ χρηστοτέρας τύχης γνωριζομένους, ἔγνωσαν φείδεσθαι καὶ ζωγρείᾳ λαβόντων ἄγειν. καὶ πρώτην ὥσπερ ἄγραν καὶ μεγίστην, βασιλεῖ τῷ σφῶν προσάγειν. τῶν δὲ κτημάτων τοῦ σατράπου τὸ τιμιώτατον. περσῶν γὰρ βασιλείας αὐλαῖς, ὀφθαλμοὶ καὶ ἀκοαὶ, τὸ εὐνούχων γένος. οὐ παίδων. οὐ συγγενείας τὸ πιστὸν τῆς εὐνοίας μεταπειθούσης. ἀλλὰ μόνου τοῦ πιστεύσαντος ἀναρτώσης. τοὺς δὲ νέους, δῶρον τὸ κάλλιστον, διακονίᾳ καὶ αὐλῇ τοῦ βασιλέως ἐσομένους. ἦγον οὖν αὐτίκα τῶν ἵππων ἐπιβιβάσαντες. τὸν μὲν, ὡς τραυματίαν. τοὺς δὲ, ὡς ὑπὸ τῶν δεσμῶν εἰς τὸ ἐπιπόδιον τῆς πορείας, ἰσοταχεῖν ἀδυνατοῦντας. καὶ ἦν ὥσπερ ἐν δράματι προαναφώνησις καὶ προεισόδιον τὸ γινόμενον. ξένοι καὶ δεσμῶται τῆς σφαγῆς ὀλίγῳ πρόσθεν τὴν αὐτῶν ἐν ὀφθαλμοῖς ταλαντεύσαντες, οὐκ ἤγοντο πλέον ἢ περιεπέμποντο, ἐν αἰχμαλώτῳ τύχῃ πρὸς τῶν ὀλίγον ὕστερον ὑπηκόων δορυφορούμενοι. καὶ οἱ μὲν ἐν τούτοις ἦσαν.

ἰσοταχεῖν

προαναφώνησις

προεισόδιον



# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΩΝ ΛΟΓΟΣ Θ.

ὅθεν οὔπω

Ἡ ΔΕ συήνη πολιορκίᾳ λαμπρῶς ἤδη περιετειχίζετο, καὶ ὥσπερ ἄγρευσιν ἐναπείληπτο τοῖς αἰθίοψιν. ὁ μὲν γὰρ ὀροονδάτης ὅθεν οὔπω πλησιάζειν τοὺς αἰθίοπας αἰσθόμενος, καὶ τοὺς καταράκτας ὑπερθεμένους ἐπὶ τὴν συήνην ἐλαύνειν, ὀλίγον ἔφθη προεισελάσας εἰς τὸ ἄστυ. καὶ τάς τε πύλας ἐπικλεισάμενος, καὶ τὰ τείχη βέλεσι καὶ ὅπλοις καὶ μηχανήμασι φραξάμενος, ἐκαραδόκει τὸ μέλλον. ὁ δὴ τῶν αἰθιόπων βασιλεὺς ὑδάσπης, ἐπειδὴ πόρρωθεν εἰσελαύνειν μέλλοντας εἰς τὴν συήνην τοὺς πέρσας προκατοπτεύσας, εἶτα ἐπιδιώξας ὥστε προφθῆναι συμβαλὼν καθυστέρησεν, ἐπαφῆκε τῇ πόλει τὸν στρατόν. καὶ εἰς κύκλον τῷ τείχει περιχέας, ἀπρόσμαχον καὶ μόνῃ τῇ θέᾳ προσεκάθητο, μυριάσιν ἀπείροις. ἀνδρῶν ὁμοῦ καὶ ὅπλων καὶ ζώων τὰ συηναίων πεδία στενοχωρῶν. ἔνθα καὶ καταλαβόντων αὐτὸν οἱ κατάσκοποι, τοὺς ἁλόντας προσῆγον. ὁ δὲ, ἥδετο μὲν καὶ τῇ ὄψει τῶν νέων εὐμενὴς αὐτόθεν πρὸς παιδία, καὶ οὐκ εἰδὼς ὑπὸ τοῦ μαντευτοῦ τῆς ψυχῆς γενόμενος. ἐγάννυτο δὲ ἐπὶ πλέον τὰ σύμβολα δεσμίων προσαγομένων. καὶ εὖγε ἀνεβόησε, δεσμίους ἡμῖν οἱ θεοὶ τοὺς πολεμίους ἐκ τῶν πρωτολείων παραδιδόασι. καὶ οὗτοι μὲν ἔφη πρῶτοι ληφθέντων, εἰς ἀπαρχὴν τοῦ πολέμου σωζέσθωσαν ἐπὶ τὰς ἐπινικίους θυσίας, ὡς ὁ πάτριος τῶν αἰθιόπων βούλεται νόμος. θεοῖς τοῖς ἐγχωρίοις εἰς ἱερουργίαν φυλαχθησόμενοι. τοὺς δὲ κατασκόπους δώροις ἀμειψάμενος. τούτους τε καὶ αἰχμαλώτους εἰς τοὺς σκευοφόρους ἀπέπεμπε. μοῖραν αὐτάρκη τῶν ὁμογλώσσων εἰς τὴν φρουρὰν ἀποκληρώσας. τά τε ἄλλα σὺν ἐπιμελείᾳ τῇ πάσῃ διάγειν, καὶ δίαιταν ἄφθονον παρέχειν, καὶ παντὸς ἄγους καθαρεύοντας φυλάττειν, οἷον ἱερεῖά τινα ἤδη τρεφομένους ἐπιστείλας. καὶ τὰ δεσμά τε ἀμείβειν καὶ χρυσᾶ ἐπιβάλλειν. ὅσα γὰρ σίδηρος παρ' ἄλλοις εἰς τὰς χρείας, ταῦτα παρ' αἰθίοψιν ὁ χρυσὸς νομίζεται. καὶ οἱ μὲν, τὰ προστεταγμένα ἔπραττον, καὶ ὡς τῶν προτέρων δεσμῶν παραλύοντες ἐλ-

Hydaspes

πίδα τε διαγωγῆς ἐλευθερίας προξενήσαντες, πλέον προεῖχον οὐδέν. χρυσᾶς τὰς ἁλύσεις αὖθις ἐνείροντες. τότ᾽ ἤδη καὶ γέλως ἐπῄει τῷ θεαγένει καὶ βαβαὶ τῆς λαμπρᾶς ἔφη μεταβολῆς. ταῦτα ἡμᾶς ἡ τύχη τὰ μεγάλα φιλανθρωπεύεται. χρυσὸν σιδήρων ἀμειβόμεθα. καὶ φρουρᾷ πλουτοῦντες ἐντιμότεροι δεσμῶται γεγόναμεν. ἐμειδίασε καὶ ἡ χαρίκλεια. καὶ τὸν θεαγένην μεταβάλλειν ἐπειρᾶτο. καὶ τοῖς ἐκ θεῶν προρρηθεῖσιν ἐπανῆγεν. καὶ χρηστοτέραις ἐλπίσι κατεπᾴδουσα. ὁ δὲ ὑδάσπης ἐπειδὴ τῇ συήνῃ προσέβαλεν, αὐτοβοεί τε καὶ τείχεσιν αὐτοῖς ἀναρπάσεσθαι τὴν πόλιν ἐλπίσας εἰς μικρὸν ἀπεκρούσθη πρὸς τῶν ὑπερμαχούντων. ἔργῳ τε λαμπρῶς ἀμυνομένων, καὶ λόγοις εἰς ὕβριν καὶ προξυσμὸν ἐπιχλευασάντων, ὀργὴν τὸ πρᾶγμα ποιησάμενος, εἰ τὴν ἀρχὴν ὅλως ἀντιστῆναι διενοήθησαν, ἀλλὰ μὴ παρὰ τὴν πρώτην ἑκόντες φθάσαντες αὑτοὺς ἐνεχείρησαν, ἔγνω μὴ χρονοτριβεῖν τὴν στρατιὰν προσκαθήμενος. μήτε ἑλεπόλεσιν ἀποπειρώμενος, δι᾽ ὧν, οἱ μὲν ἁλώσεσθαι, οἱ δέ πως καὶ διαδράσεσθαι ἔμελλον. ἀλλὰ πολιορκίᾳ μεγαλουργῷ καὶ ἀφύκτῳ τὴν πόλιν εἰς ἄρδην, καὶ θᾶττον ἐξελεῖν. ἔπραττε δὴ οὖν οὕτω. εἰς μοῖραν κατανέμει τὸ τεῖχος τὸ κύκλον. καὶ δεκάδα ὀργυιῶν, δεκάσιν ἀνδρῶν ἀποκληρώσας. εὖρος τε καὶ βάθος ὡς ὅτι πλεῖστον ἀφορίσας ὀρύττειν εἰς τάφρον ἐκέλευσεν. οἱ δὲ ὤρυττον. ἄλλοι τὸν χοῦν ἐξεφόρουν. ἕτεροι εἰς ὀφρὺν πρὸς ὕψος ἐσώρευον. τῷ πολιορκουμένῳ τεῖχος ἕτερον ἀντεγείροντες. ἐκώλυε δὲ οὐδείς. οὐδὲ ἐνίστατο πρὸς τὴν ἀποτείχισιν. ἐκδραμεῖν τε τῆς πόλεως ὑπὸ μυριοπληθεῖ στρατῷ οὐ θαρσοῦν. καὶ τὰς ἐκ τῶν ἐπάλξεων τοξείας ἀνηνύτους ὁρῶν. τὸ μεσεῦον τῶν δύο τειχῶν, ὅσον βολῆς ἐκτὸς εἶναι τοὺς ἐργαζομένους συμμετρησάμενος. ἐπεὶ δὲ καὶ τοῦτο, καὶ λόγου θᾶττον ἤνυστο, ἅτε δὴ μυρίας αὐτῷ χειρὸς τὸ ἔργον ἐπισπευδούσης ἑτέρου τοιοῦδε ἤρχετο. τοῦ κύκλου μέρος πλάτος ὅσον ἡμίπλεθρον, ἰσόπεδόν τε καὶ ἄχωστον διαλιπὼν, ἐπὶ τὴν ἀπολήγουσαν ἑκατέρωθεν ἄκραν σκέλος ἐκχώματος ἐπιζευγνὺς, ἀπὸ τοῦ νείλου εἰς μῆκος ἦγεν ἀπὸ τῶν ταπεινοτέρων ἀεὶ πρὸς τὰ ὄρθια καὶ μετέωρα σκέλος ἑκάτερον προσβιβάζων. εἴκασεν ἄν τις μακροῖς τείχεσι τὸ γινόμενον. τοῦ μὲν ἡμιπλέθρου τὸ ἴσον πλάτος διόλου φυλάττοντος. μῆκος δὲ τὸ μεταξὺ τοῦ τε

νείλου



νείλου καὶ τῆς συήνης ἀπολαμβάνοντος. ἐπεὶ δὲ συνῆψε τὸ χῶμα ταῖς ὄχθαις, ἐνταῦθα στόμιον τῷ ποταμῷ εἰς τὴν ἀπὸ τῶν σκελῶν ὁλκὸν τὴν ἀπορροὴν εἰσωχέτευσεν. οἷα δὲ ἐξ ὑπερδεξίων πρὸς χθαμαλώτερον, καὶ ἐξ ἀπείρου τῆς περὶ τὸν νεῖλον εὐρύτητος, στενῷ πορθμῷ τὸ ὕδωρ ἐμπίπτον, καὶ τοῖς χειροποιήτοις ὄχθαις θλιβόμενον, πολύν τινα καὶ ἄφραστον κατὰ μὲν τὸ στόμα φλοῖσβον, κατὰ δὲ τὸν ὁλκὸν ἐξάκουστον καὶ τοῖς πορρωτάτω πάταγον ἀπετέλει. ὅπερ ἀκούοντες, ἤδη δὲ καὶ ὁρῶντες οἱ περὶ τὴν συήνην, καὶ οἷ κακῶν ἦσαν συνιέντες, καὶ ὡς ἐπίκλυσμός ἐστιν ὁ σκοπὸς τοῦ περιτειχίσματος, οὔτε ἀποδρᾶναι τὴν πόλιν ἔχοντες, ἅτε τοῦ χώματος καὶ ἤδη πλησιάζοντος τοῦ ὕδατος τὴν ἔξοδον ἀποκλειόντων, οὔτε τὸ μένειν ἀκίνδυνον ὁρῶντες, ἐκ τῶν ἐνόντων πρὸς βοήθειαν τὴν αὐτῶν παρεσκευάζοντο. καὶ πρῶτον μὲν τῶν κατὰ τὰς πύλας σανιδωμάτων διεστώτων, θρυαλλίδι τε καὶ ἀσφάλτῳ διέφραττον. ἔπειτα τὸ τεῖχος πρὸς ἀσφαλεστέραν ἕδραν διήρειδον. ὁ μέν τις χῶμα. ὁ δὲ, λίθους, ὁ δὲ ξύλα καὶ τὸ προστυγχάνον ἕκαστος ἐπιφέρων. καὶ ἦν οὐδεὶς ἡσυχάζων ἀλλ᾽ ὁμοίως γυνὴ, παῖς καὶ πρεσβύτις ἔργου εἴχετο. γένος γὰρ οὐδὲν οὐδὲ ἡλικίαν ὁ περὶ ψυχῆς δυσωπεῖται κίνδυνος. οἱ δυνατώτεροι δὲ καὶ τὸ ἀκμάζον ἐν ὅπλοις, αὐλῶνά τινα στενόν τε καὶ ὑπόγειον ἀπὸ τῆς πόλεως ἐπὶ τὸ χῶμα τῶν πολεμίων διικνούμενον, ὀρύττειν ἀποκεκλήρωντο. καὶ δὴ καὶ ἠνύετο τὸ ἔργον ὧδε. φρεατίαν τοῦ τείχους πλησίον εἰς ὀργυιὰς πέντε που τὴν κάθετον βαθύναντες, καὶ τοὺς θεμελίους ὑποδραμόντες, ἐγκάρσιοι τὸ ἐντεῦθεν ὑπὸ πυρσοῖς ἐπ᾽ εὐθείας τινὰ φέροντα τῶν χωμάτων ὑπόνομον ἐκοίλαιν. τῶν κατόπιν ἀεὶ καὶ δευτέρων παρὰ τῶν προτέρων ἐν τάξει τὸν χοῦν ἀεὶ διαδεχομένων. καὶ εἴς τι μέρος τῆς πόλεως πάλαι κηπευόμενον ἐκφορούντων, καὶ εἰς κολωνὸν ἐγειρόντων. ταῦτα δὲ ἔπραττον, ῥήξεως ἐνδόσιμον τῷ ὕδατι περὶ τὸ κενὸν εἴ ποτε ἐπέλθοι προμηθούμενοι. ἀλλ᾽ ὅμως ἔφθανε τὰ δεινὰ τὴν προθυμίαν. καὶ ὁ νεῖλος ἤδη τὸ μακρὸν χῶμα παραμείψας ἐπίφορος τῶν κατὰ τὸν κύκλον ἐνέπιπτε. καὶ πανταχόθεν περιρρυεὶς, τὸ μεταίχμιον τῶν τειχῶν ἐλίμναζε, καὶ νῆσος αὐτίκα ἦν ἡ συήνη. καὶ περίρρυτος ἡ μεσόγαιος. τῷ νειλῴῳ κλύδωνι.

κυματου-

κυματουμένη. κατ' ἀρχὰς μὲν δὴ καὶ χρόνον τῆς ἡμέρας ἐπ' ὀλίγον ἀντεῖχε τὸ τεῖχος. ἐπειδὴ δὲ ἐπιβρίσαν τὸ ὕδωρ, εἰς ὕψος τε ᾔρετο, καὶ διὰ τῶν ἀραιωμάτων τῆς γῆς, ἡ μέλαινα καὶ εὔγειος οὖσα πρὸς τῆς θερινῆς ὥρας κατέσχιστο, πρὸς τὰ βάθη κατεδύετο. καὶ τὴν κρηπῖδα τοῦ τείχους ὑπέτρεχε, τότ' ἤδη πρὸς τὸ ἄχθος ἐνεδίδου τὸ ὑποκείμενον. καὶ καθ' ὃ μέρος χαυνούμενον ἱζήσειεν, ἐνταῦθα τὸ τεῖχος ὤκλαζε. καὶ τῷ σάλῳ τὸν κίνδυνον ἐπεσήμαινεν. ἐπάλξεών τε κραδαινομένων, καὶ τῶν ὑπερμαχομένων, τῷ βρασμῷ κλονουμένων. ἤδη δὲ ἑσπέρας ἐπελθούσης, καὶ μέρος τι τοῦ τείχους καὶ μεταπύργιον ἐκκαταρρίπτεται. οὐ μὴν ὥστε χθαμαλώτερον γενέσθαι τῆς λίμνης τὴν πτῶσιν. οὐδ' ὥστε εἰσδέξασθαι τὸ ὕδωρ. ἀλλὰ πέντε πηχέας ὑπερέχουσαν, ἀπειλουμένην ὅσον οὔπω κατεπηχέναι τὴν ἐπίκλυσιν. ἐφ' οἷς οἰμωγή τε συμμιγὴς τῶν κατὰ τὴν πόλιν διάκουστος καὶ τοῖς πολεμίοις ἐγίνετο. καὶ χεῖρας εἰς οὐρανὸν αἴροντες τὴν ὑπολειπομένην ἐλπίδα, θεοὺς ἐπεβοῶντο σωτῆρας. καὶ τὸν Ὀροονδάτην ἐπικηρυκεύεσθαι πρὸς Ὑδάσπην ἱκέτευον. ὁ δὲ, ἐπείθετο μὲν, δοῦλος καὶ ἄκων τῆς τύχης γινόμενος. ἀποτετειχισμένος δὲ τῷ ὕδατι. καὶ ὅπως ἂν τινὰ διαπέμψαιτο ὡς τοὺς πολεμίους ἀδυνατῶν, ἐπίνοιαν ὑπὸ τῆς ἀνάγκης ἐδιδάσκετο. γραψάμενος ἃ ἐβούλετο, καὶ λίθῳ τὴν γραφὴν ἐναψάμενος, σφενδόνῃ πρὸς τοὺς ἐναντίους ἐπρεσβεύετο. διαπόντιον τὴν ἱκεσίαν τοξευόμενος. ἤνυε δὲ οὐδέν. ἐλαττουμένης τοῦ μήκους τῆς βολῆς, καὶ τῷ ὕδατι προσεμπιπτούσης. ὁ δὲ, καὶ αὖθις τὴν αὐτὴν γραφὴν ἐκτοξεύων ἀπετύγχανε. πάντων μὲν τοξοτῶν καὶ σφενδονητῶν ἐφικέσθαι τῆς βολῆς φιλοτιμουμένων, οἷα δὴ τὸν περὶ τύχης σκοπὸν ἀθλούντων. ἁπάντων δὲ τὰ ὅμοια πασχόντων. τέλος δὲ τὰς χεῖρας εἰς τοὺς πολεμίους ὀρέγοντες τοῖς χώμασιν ἐφεστῶτας, καὶ θέατρον τὰ πάθη τὰ ἐκείνων ποιουμένους, ἐλεεινῶς τοῖς σχήμασι τὸ βούλημα τῶν τοξευμάτων ὡς δυνατὸν ἔφραζον. νῦν μὲν ὑπτίας προτείνοντες εἰς ἱκεσίας ἔμφασιν. νῦν δὲ κατὰ νώτου πρὸς δεσμὸν περιάγοντες, εἰς δουλείας ἐξομολόγησιν. ὁ δὲ Ὑδάσπης ἐγνώριζε μὲν σωτηρίαν αἰτοῦντας. καὶ παρέχειν ἦν ἕτοιμος. ὑπαγορεύει γὰρ τοῖς χρηστοῖς φιλανθρωπίαν πολέμιος ὑποπίπτων. τὸ παρὸν δὲ ἀδυνάτως

ἔχων,



ἔχων, ἔγνω σαφεστέραν λαβεῖν τῶν ἐναντίων ἀπόπειραν. καὶ ἦν γὰρ πορθμεῖα τῶν ποταμίων προευτρεπισμένος. ἃ κατὰ ῥοῦν τῆς διώρυχος ἐκ τοῦ Νείλου φέρεσθαι συγχωρήσας, ἐπειδὴ τῷ κύκλῳ τοῦ χώματος προσηνέχθη, καθελκύσας εἶχε. τούτων δὲ ἕνια νεόπηκτα ἐπιλέξας, τοξότας τε ὁπλίτας ἐνθέμενος, ἅ τε χρὴ λέγειν ἐπιστείλας, ὡς τοὺς Πέρσας διεπέμψεν. οἱ δὲ, ἐπρεσβεύοντο πεφραγμένοι ὡς εἴ τι καὶ παρ' ἐλπίδας ἐγχειροῖεν οἱ ἀπὸ τῶν τειχῶν εὐτρεπίσθαι. καὶ ἦν θεαμάτων τὸ καινότατον. ναῦς ἀπὸ τειχῶν πρὸς τείχη περαιουμένη. καὶ ναύτης ὑπὲρ μεσογαίας πλοϊζόμενος. καὶ πορθμεῖον κατὰ τὴν ἀρόσιμον ἐλαυνόμενον. καινουργὸς δὲ ὢν ἀεί πως ὁ πόλεμος, τότε καὶ πλέον καὶ οὐδαμῶς εἰωθὸς ἐθαυματούργει. ναυμάχους τειχομάχοις συμπλέξας. καὶ λιμναῖον στρατιώτην χερσαίῳ ἐφοπλίσας. οἱ γὰρ δὴ κατὰ τὴν πόλιν τὰ σκάφη καὶ τοὺς ἐμπλέοντας ἐνόπλους τε καὶ καθ' ὃ μέρος κατήρειπτο τὸ τεῖχος ἐπιφερομένους θεασάμενοι· καταπλῆγες ἄνθρωποι καὶ ἠλίθιοι ἤδη, πρὸς τῶν περιεχόντων κινδύνων ἀνάμεσοι, πολεμίους καὶ τοὺς ἐπὶ σωτηρίᾳ τῇ σφῶν ἥκοντας ὑπετόπαζον. πᾶν γὰρ ὕποπτον καὶ φοβερὸν τὸ κατ' ἔσχατον κινδύνου γινόμενον. ἠκροβολίζοντό τε ἀπὸ τῶν τειχῶν, καὶ εἰσετόξευον. οὕτως ἄρα καὶ ἀπεγνωκότες αὐτῶν ἄνθρωποι, τὴν ἀεὶ παροῦσαν ὥραν, κέρδος εἰς ὑπέρθεσιν θανάτου νομίζουσιν. ἔβαλλον δὲ, οὐχ ὥστε καὶ τιτρώσκειν. ἀλλ' ὅσον ἀπείργειν τὸν πρόσπλουν καταστοχαζόμενοι. ἀντετόξευον δὲ καὶ οἱ Αἰθίοπες. καὶ ἅτε εὐσκοπώτερά τε βάλλοντες, καὶ οὔπω τῆς τῶν Περσῶν γνώμης συνιέντες, δύο που τινὰς καὶ πλείους διαπείρουσιν. ὥστε τινὰς ὑπὸ ὀξείας καὶ ἀπροόπτου τῆς τρώσεως ἐπὶ κεφαλὴν ἀπὸ τῶν τειχῶν εἰς τὸ ἐκτός τε καὶ τὸ ὕδωρ ἐκσφενδονισθῆναι. καὶ ἂν, καὶ ἐπὶ πλέον ἐξεκαύθη τὰ τῆς μάχης, τῶν μὲν, σὺν φειδοῖ κωλυόντων μόνον, τῶν δὲ, καὶ σὺν ὀργῇ τῶν Αἰθιόπων ἀμυνομένων, εἰ μή τις τῶν ἐπὶ δόξης καὶ πρεσβύτης ἤδη Συηναίων, τοῖς ἐπὶ τοῦ τείχους παραγενόμενος, ὦ φρενοβλαβεῖς ἔφη καὶ πρὸς τῶν δεινῶν παραπλῆγες, οὓς εἰς δεῦρο ἱκετεύοντες καὶ ἐπικαλούμενοι πρὸς βοήθειαν διετελοῦμεν, τούτους ἐλπίδος ἐπέκεινα παραγινομένους ἀπείργομεν; οἱ φίλοι μὲν ἥκοντες καὶ εἰρηνικὰ διαγγέλλοντες, σωτῆρες ἔσονται, πολέμια δὲ

C δια-

διανοούμενοι, ῥᾷστα τε καὶ προσορμισθέντος ἐλαττωθήσονται. τί δὲ καὶ πλέον εἰ τούτους διαχρησόμεθα, τοσούτου νέφους ἐκ γῆς τε καὶ ὕδατος κεκυκλωμένου τὴν πόλιν. ἀλλὰ τε καὶ προσδεχώμεθα. καὶ ὅτι βουλομένοις ἐστὶν ἐκδιδασκώμεθα. πᾶσιν εὖ λέγειν ἔδοξεν. ἐπῄνει δὲ καὶ ὁ σατράπης. καὶ τοῦ κατηρειπωμένου τῇδε κἀκεῖσε μεταστάντος ἐν ἀκινήτοις τοῖς ὅπλοις ἡσύχαζον. ὡς δὲ ἐγνώσθη τὸ μεταπύργιον τῶν ἐφεστώτων, ὅτε δῆμος ὀθόναις κατασείων, περιέπλει τὸν ὅρμον ἐνεδείκνυτο. τότε δὴ καὶ οἱ αἰθίοπες πλησιάσαντες ὥσπερ ἀπὸ ἐκκλησίας τῶν πορθμείων πρὸς τὸ πολιορκούμενον θέατρον, τοιάδε ἔλεγον. ὦ πέρσαι τε καὶ συηναῖοι οἱ παρόντες, ὑδάσπης ὁ τῶν πρὸς ἀνατολαῖς καὶ δυσμαῖς αἰθιόπων, νυνὶ δὲ καὶ ὑμῶν βασιλεύς, πολεμίους τε ἐκπορθεῖν οἶδε. καὶ ἱκέτας οἰκτείρειν πέφυκε. τὸ μὲν, ἀνδρεῖον. τὸ δὲ φιλάνθρωπον δοκιμάζων. καὶ τὸ μὲν, χειρὸς εἶναι στρατιωτικῆς. τὸ δέ, ἰδίου τῆς ἑαυτοῦ γνώμης. ἔχων τό τε ὑμᾶς εἶναι καὶ μή, κατ' ἐξουσίαν ἱκέτους γεγενημένοις, ἀνίησι τὸν ἐκ τοῦ πολέμου πᾶσιν ὁρώμενον καὶ οὐκ ἀμφίβολον κίνδυνον. ἐφ' οἷς ἄν, ἀσμένοι τῶν δεινῶν ἀπαλλαγείητε, τὴν αἵρεσιν οὐκ αὐτὸς ὁρίζων, ἀλλ' ὑμῖν ἐπιτρέπων. οὐ γὰρ τυραννεῖ τὴν δίκην, ἀλλὰ πρὸς τὸ ἀνεμέσητον διοικεῖ τὴν τῶν ἀνθρώπων τύχην. πρὸς ταῦτα συηναῖοι μὲν ἀπεκρίναντο, σφᾶς τε αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας ἐπιτρέπειν ὑδάσπῃ χρῆσθαι πρὸς ὅτι βούλοιτο. καὶ τὴν πόλιν εἰ περιγένοιντο ἐγχειρίζειν. ἣν καὶ νῦν ἐν τῷ ἀνελπίστῳ σαλεύειν, εἰ μὴ φθαίη τις ἐκ θεῶν καὶ ἐξ ὑδάσπου σωτηρίας. ὁ δὲ ὀροονδάτης τῶν μὲν αἰτίων ἔφη τοῦ πολέμου καὶ τῶν ἐπάθλων ἐκστήσεσθαι. καὶ τὰς φίλας τὴν πόλιν καὶ τὰ σμαράγδια μέταλλα παραχωρήσειν. αὐτὸς δὲ ἠξίου μηδεμίαν ὑποστῆναι ἀνάγκην, μὴ δὲ ἑαυτὸν μήτε τοὺς στρατιώτας ἐγχειρίζειν. ἀλλ' εἰ βούλοιτο ὑδάσπης εἰς ὁλόκληρον ἐπιδείκνυσθαι τὸ φιλάνθρωπον, ἐπιτρέπειν. οὐδὲν λυμαινομένους οὐδὲ χεῖρας ἀνταίροντας ἀποχωρεῖν εἰς τὴν ἐλεφαντίνην. ὡς ἴσον εἶναι οἱ νῦν τε ἀπολέσθαι, καὶ δοκοῦντα περισώζεσθαι προδοσίας, τοῦ στρατιωτικοῦ παρὰ βασιλεῖ τῶν περσῶν ἁλῶναι. μᾶλλον καὶ χαλεπώτερον. νῦν μὲν ἁπλῶς καὶ νενομισμένου τυχὸν ἐπαχθησομένου θανάτου, τότε δὲ ὠμοτάτου, καὶ εἰς πικροτάτην κόλασιν καινουργουμένου.

Aethiopes ad orientē & occidentē. ./.
Nota p̄ homero



μένου. ταῦτα λέγων ὑποδεχθῆναι. καὶ δύο περσῶν εἰς τὰ σκάφη παρεκάλει πρόφασιν ὡς εἰς ἐλεφαντίνην ἀφιξομένους. καὶ εἴπερ οἱ κατ' αὐτὴν συγχωρήσειεν εἰς τὸ δουλεύειν, οὐδὲ αὐτὸς ἔτι μελλήσων. ταῦτα ἀκούσαντες οἱ πρέσβεις ἐπανῄεσαν ἅμα. καὶ δύο περσῶν ἀναλαβόντες, πρὸς τὸν ὑδάσπην ἅπαντα ἀπήγγελλον. ὁ δ' ὑπογελάσας καὶ πολλὰ τῆς ἀβελτηρίας τὸν ὀροονδάτην ἐπιμεμψάμενος, εἰ περὶ τῶν ἴσων διαλέγεται, ἄνθρωπος ἐπ' ἄλλῳ καὶ οὐκ ἐν αὐτῷ τοῦ ζῆν καὶ τεθνάναι σαλεύων, εὐηθὲς ἔφη τὴν ἑνὸς εὔνοιαν τοσούτοις ἐπαγαγεῖν ἀπώλειαν. καὶ τούς τε ἀπεσταλμένους παρὰ τοῦ ὀροονδάτου βαδίζειν εἰς τὴν ἐλεφαντίνην ἐπέτρεπεν. ὡς οὐδεμιᾶς ὢν φροντίδος, εἰ κἀκεῖνοι τι πρὸς ἀντίστασιν βουλεύσειαν. καὶ τῶν ἰδίων, τοὺς μέν, ἐμφράττειν τὸ διορυχθὲν τοῦ νείλου στόμιον, τοὺς δέ, ὥστε ἕτερον περὶ τὸ χῶμα ἐκτέμνειν ἀπεκλήρωσεν. ὡς τῆς τε ἐπιρροῆς κωλυομένης, καὶ τῆς λιμναζούσης πρὸς τῆς ἐκροῆς κενουμένης θᾶττον ἀναψύξαι τὰ περὶ τὴν συήνην, καὶ εἰς τὸ βάσιμον ἐξικμασθῆναι. οἱ μὲν δὴ ταῦτα προσταχθέντα, μικρὰ τοῦ ἔργου κατάρξαντες, εἰς τὴν ἐξῆς ἐπιτελέσειν ἔμελλον. ἑσπέρας αὐτίκα τε καὶ νυκτὸς προσφάτοις, τοῖς πράγμασιν ἐπιγινομένοις. οἱ δὲ περὶ τὸ ἄστυ τῆς ἐν χερσὶ καὶ δυνατῆς βοηθείας, οὐ μεθίεντο. τῇ τε καὶ παρ' ἐλπίδα ἐνδεχομένην σωτηρίαν οὐκ ἀπεγινώσκοντες. ἄλλοι τε τὸν ὑπόγειον αὐλῶνα διορύττοντες ἤδη τοῖς χώμασι πλησιάζειν ἐῴκεσαν. τὸ δὲ ἀπὸ τοῦ τείχους ὡς τὸ χῶμα ταῖς ὄψεσιν ὑποπίπτον διάστημα χοίνῳ περὶ τὸ ὄρυγμα συμμετρούμενοι. καὶ τὸ πεπτωκὸς ἕτεροι τοῦ τείχους ὑπὸ λαμπτῆρσιν ἀνήγειρον. ἦν δὲ ἡ οἰκοδομὴ ῥᾳδία. τῶν λίθων εἰς τὸ ἐντὸς κατὰ τὴν πτῶσιν κυλισθέντων. ἐπεὶ δὲ ἀσφαλῶς ἔχειν τὸ παρὸν ᾠήθησαν, οὐδὲ τότε ἀθορύβως διῆγον. ἀλλὰ κατὰ μέσας νύκτας, μέρος τι τοῦ χώματος καθ' ὃ τῆς ἑσπέρας οἱ αἰθίοπες τοῦ διορύττειν ἐφήψαντο, εἴτε τῆς γῆς κατ' ἐκεῖνο χαύνου τε καὶ ἀκρατήτου σωρευθείσης εἶξε τὸ ὑποκείμενον διάβροχον γεγενημένον. εἴτε καὶ τῶν ὑπορυττόντων συνενδοῦναι πρὸς τὸ κενὸν τῶν ὑποκειμένων παρασχόντων. ἢ καὶ τοῦ πρὸς βραχὺ διορυχθέντος, ταπεινοτέρου τῶν ἐργαζομένων περιλαβόντος, ἐπίλυσις αὐξομένη διὰ νυκτὸς ἐγένετο τοῦ ὕδατος.

καὶ τοῦ ῥαγέντος ἅπαξ ὁδοιποροῦντος ἔλαθε βαθυνόμενον, εἴτε καὶ δαιμονίας ἐπικουρίας θείη τις τὸ ἔργον παράδοξον ἐκρηγνύντου. καὶ τοσοῦτος ἦχος καὶ δοῦπος ἀπετελέσθη διὰ τῆς ἀκοῆς τὴν διάνοιαν ἐκδειμαίνων. ὡς τὸ μὲν συμβὰν ἀγνοεῖν. μέρος δὲ τὸ πλεῖστον τῶν τειχῶν καὶ τῆς πόλεως ὑπενηνέχθαι. τούς τε αἰθίοπας καὶ τοὺς συηναίους ὑποπτεύειν. ἀλλ' οἱ μὲν, ἐν τῷ ἀσφαλεῖ διάγοντες ἐφ' ἡσυχίας ηὐλίζοντο. ὡς εἰς ἕω τὸ σαφὲς εἰσόμενοι. οἱ δὲ περὶ τὴν πόλιν πάντῃ τὸ τεῖχος καὶ εἰς κύκλον περιεθέοντο καθ' ἑαυτοὺς ἕκαστοι σῶον ὁρῶντες. ἄλλοι δὲ παρ' ἄλλοις γεγενῆσθαι τὸ πάθος εἰκάζοντες, ἄχρι δὴ τοῦ ὅτι φῶς ἐπιγενόμενον, τὴν ἀχλὺν τῶν ἀμφιβαλλομένων δεινῶν παρέλυσε. τοῦ τε ῥήγματος ἀπόπτου γενομένου, καὶ τοῦ ὕδατος ἀθρόον ὑπονοστήσαντος. ἤδη δὲ καὶ οἱ αἰθίοπες τὸ ἐποχετεῦον στόμιον ἔφραττον. καὶ καταράκτας τε ἐκ σανίδων συνηρμοσμένων καθιέντες, καὶ ξύλων παχέσι κορμοῖς ἐκποδὼν διερείδοντες, χοῦν τε ἅμα καὶ φυγανῖτιδα ὕλην συνδέοντες, καὶ πολλαὶ χιλιάδες ἀθρόον, οἱ μὲν ἀπὸ τῆς ὄχθης, οἱ δὲ ἐκ πορθμείων ἐπιφοροῦντες, οὕτω μόλις δὴ τὸ ὕδωρ ὑπενόστησαν. ἦν δὲ οὐδ' ὡς πορευτέα παρ' ἀλλήλους οὐδὲ ἑκατέροις. ἰλύος γὰρ βαθείας ἡ γῆ κατὰ πλέως ἐγεγόνει. καὶ τὴν ἐπιφάνειαν ἐξικμάσθαι φαινομένην τε ἅμα δίυγρον ὑποτρέχειν ἵππον τε ὁμοίως καὶ ἀνδρὸς βάσιν εἰς βυθισμὸν ἐνεδρεῦον. ἡμέρας μὲν δὴ δύο που καὶ τρεῖς οὕτω διῆγον. ἀνεῳγμένοι μὲν ταῖς πύλαις οἱ συηναῖοι. ὅπλοις δὲ ἀρκούμενοι οἱ αἰθίοπες τὴν εἰρήνην ἐπισημαίνοντες. καὶ ἦν τὸ γενόμενον, ἀνακωχή τις ἀνεπίμικτος. οὔτε φρουρᾶς ἔτι παρ' οὐδετέροις σπουδαζομένης. καὶ πλέον τῶν περὶ τὴν πόλιν εὐπαθείαις ἑαυτοὺς ἐκδεδωκότων. καὶ γάρ πως συνέπεσε καὶ τὰ νειλῷα τότε τὴν μεγίστην παρ' αἰγυπτίοις ἑορτὴν ἀνεστηκέναι περὶ τροπὰς μὲν τὰς θερινὰς μάλιστα καὶ ὅτε ἀρχὴν τῆς αὐξήσεως ὁ ποταμὸς ἐπιλαμβάνει τελουμένην. ὑπὲρ πάσας δὲ τὰς ἄλλας πρὸς αἰγυπτίων σπουδαζομένην, δι' αἰτίαν τοιάνδε. θεοπλαστοῦσι τὸν νεῖλον αἰγύπτιοι. καὶ κρειττόνων τὸν μέγιστον ἄγουσιν. ἀντίμιμον οὐρανοῦ τὸν ποταμὸν σεμνηγοροῦντες. οἷα δὴ δίχα νεφώσεων καὶ ὑετῶν ἀερίων. τὴν ἀρδευομένην αὐτοῖς ἄρδοντος. καὶ εἰς ἔτος ἀεὶ τεταγμένως ἐπομβρίζοντος.

θεοπλασοῦσι τὸν νεῖλον αἰγύπτιοι





ζοντος. καὶ ταύτῃ μὲν ὁ πολὺς λεώς. ἃ δὲ ἐκθειάζουσιν, ἐκεῖνα· τοῦ εἶναι καὶ ζῆν ἀνθρώπους, τὴν ὑγρᾶς τε καὶ ξηρᾶς οὐσίας σύνοδον αἰτίαν μάλιστα νομίζουσι. τὰ δ' ἄλλα στοιχεῖα τούτοις συνυπάρχειν τε καὶ συναναφαίνεσθαι λέγοντες. καὶ τὴν μὲν ὑγρὰν, τὸν νεῖλον. θατέραν δὲ τὴν γῆν αὐτῶν ἐμφαίνειν. καὶ ταυτὶ μὲν δημοσιεύουσι. πρὸς δὲ τοὺς μύστας, ἶσιν τὴν γῆν καὶ ὄσιριν τὸν νεῖλον καταγγέλλουσι. τὰ πράγματα τοῖς ὀνόμασι μεταλαμβάνοντες. ποθεῖ γοῦν ἀπόντα ἡ θεὸς καὶ χαίρει συνόντι. καὶ μὴ φαινόμενον αὖθις θρηνεῖ. καὶ ὡς δή τινα πολέμιον τὸν τυφῶνα ἐχθραίνει. φυσικῶν τινῶν οἶμαι ἀνδρῶν καὶ θεολόγων, πρὸς μὲν τοὺς βεβήλους τὰς ἐγκατεσπαρμένας τούτοις ὑπονοίας μὴ παραγυμνούντων. ἀλλ' ἐν εἴδει μύθου προκατηχούντων. τοὺς δὲ ἐποπτικωτέρους καὶ ἀνακτόρων ἐντὸς, τῇ πυρφόρῳ τῶν ὄντων λαμπάδι, φανότερον τελούντων. τοῦτό τι καὶ ἡμῖν, εὐμενεία μὲν εἴη τῶν εἰρημένων. τὰ μυστικώτερα δὲ, ἀρρήτῳ σιγῇ τετιμήσθω. τὸ περὶ συήνην ἑξῆς περαινομένων. τῆς γοῦν δὴ τῶν νειλῴων ἑορτῆς ἀνεστηκυίας, οἱ μὲν ἐγχώριοι, πρὸς θυσίαις τε καὶ τελεταῖς ἦσαν. τοῖς μὲν σώμασι καὶ περιεστηκόσι δεινοῖς κάμνοντες. ταῖς ψυχαῖς δὲ τῆς περὶ τὸ θεῖον εὐσεβείας, ἐκ τῶν ἐνόντων οὐκ ἀμνημονοῦντες. ὁ δὲ ὀροονδάτης μέσας νύκτας ἐπιτηρήσας πρὸς ὕπνον βαθὺν τῶν συηναίων ἀπὸ τῆς εὐωχίας τετραμμένων, ὑπεξάγει τὸν στρατὸν, ὥραν τε μίαν καὶ πύλην, καθ' ἣν ἔδει ποιήσασθαι τὴν ἔξοδον, κρύφα τοῖς πέρσαις προπαραγγείλας. ἐπέσταλτο δὲ ἑκάστῳ δεκαδάρχῃ, ἵππους μὲν καὶ ὑποζύγια περὶ χώραν ἐᾶν. πρός τε δυσχερείας ἀπαλλαγὴν, καὶ τοῦ μή τινα πρὸς τὸν τάραχον αἴσθησιν γενέσθαι τῶν δρωμένων. τὰ ὅπλα δὲ ἀναλαβόντας μόνα, καὶ δοκίδα ἢ σανίδα περιζωσαμένους ἐπάγεσθαι. ἐπεὶ δὲ ἠθροίσθησαν καθ' ἣν προείρητο πύλην, ἐγκάρσια τῷ πηλῷ τὰ ξύλα, ἅπερ ἑκάστη δεκὰς ἐπήχθετο, ἐπιβάλλων καὶ ἀλλήλων ἐχομένας συνθεὶς, τῶν κατόπιν ἀεὶ τοῖς ἡγουμένοις μεταδιδόντων, οἷον διὰ ζεύγματος ῥᾷστά τε καὶ τάχιστα διεβίβασε τὸ πλῆθος. καὶ λαβὼν τῆς ἐστερεωμένης, τούς τε αἰθίοπας οὐδὲν προειδομένους, οὐδὲ φροντίδα τῆς φυλακῆς πεποιημένους, ἀλλ' ἀπρονοήτως καθεύδοντας, διαλαθὼν, ἐπὶ τὴν ἐλεφαντίνην, ὡς δρόμου τε εἶχε καὶ ἄσθμα-

εἰσέφρησεν

τος, καθηγεῖτο τὸν στρατὸν ἦγεν. ἀκώλυτός τε εἰσέφρησεν εἰς τὴν πόλιν. τῶν ἐκ τῆς συνήθους προαπεσταλμένων δύο Περσῶν οὕτω πρὸς αὐτοὺς συντεταγμένων ἐπιτηρούντων ὡς ἂν νύκτωρ τὴν ἔφοδον. κἀπειδὴ τὸ συγκείμενον συνεφθέγξαντο σύμβολον, παραχρῆμα τὰς πύλας ἀναπεπτασάντων. ἤδη δὲ ἡμέρας ὑποφαινούσης, οἱ Συηναῖοι τὸν δρασμὸν ἐγνώριζον. τὰ μὲν πρῶτα κατ' οἶκον τὸν ἴδιον ἕκαστος, τοὺς ἐπιξενουμένους Περσῶν οὐχ ὁρώντων. εἶτα καὶ μετὰ συλλόγους συνιστάμενοι, καὶ τέλος καὶ τὸ ζεῦγμα ὑποπτεύοντες. αὖθις οὖν εἰς ἀγωνίαν καθίσταντο. καὶ δευτέρων ἀδικημάτων ἔγκλημα προσεδέχοντο βαρύτερον, ὡς ἐπὶ φιλανθρωπίᾳ τοσαύτῃ γεγονότες ἄπιστοι. καὶ τὸν δρασμὸν τοῖς Πέρσαις συνεργησάντων. ἔγνωσαν οὖν πανδημεὶ τῆς πόλεως ἐξορμήσαντες, ἐγχειρίζεσθαι ἑαυτοὺς τοῖς Αἰθίοψι. καὶ ὅρκοις πιστοῦσθαι τὴν ἄγνοιαν. εἴπως εἰς ἔλεον ἐπικλασθεῖεν. ἀθροίσαντες οὖν πᾶσαν ἡλικίαν, καὶ κλάδους εἰς ἱκετηρίαν ἀναλαβόντες, κηρούς τε καὶ δᾷδας ἀνάψαντες, καὶ τὰ ἱερὰ γένη καὶ ἕδη τῶν θεῶν ὥσπερ κηρύκεια προβεβλημένοι, διὰ τοῦ ζεύγματος ὡς τοὺς Αἰθίοπας ἐλθόντες ἱκέται, πόρρωθεν γονυπετοῦντες ἐκάθηντο. καὶ ὑφ' ἓν σύνθημα καὶ φωνὴν γοώδη μίαν ἐλεεινὴν ὀλολυγὴν ἱέντες ἱκέτευον. οἰκτιζόμενοι δὲ πλέον τὰ νεογνὰ τῶν βρεφῶν ἐπὶ γῆς προκαταβάλλοντες φέρεσθαι ὡς ἔτυχε μεθῆκαν. διὰ τῆς ἀνυπόπτου καὶ ἀνυπαιτίου μοίρας τὸ θυμούμενον τῶν Αἰθιόπων προμαλάσσοντες. τὰ βρέφη δὲ, ὑπὸ πτοίας τε ἅμα καὶ ἀγνοίας τῶν πραττομένων τοὺς μὲν φύντας καὶ τρέφοντας, τάχα που τὴν ἄπειρον ἀποτετριμμένα βοὴν, ὑπέφευγον. ἐπὶ δὲ τὴν ἄγουσαν ὡς τοὺς πολεμίους τὰ μὲν, εἷρπε. τὰ δὲ ψελλιζόμενα τῇ βάσει καὶ κλαυθμυριζόμενα ἐπαγωγὸν ἐφόδιος. καθάπερ χειραγωγούσης ἐν αὐτοῖς τὴν ἱκεσίαν τῆς τύχης. ὁ δὲ Ὑδάσπης ταῦτα ὁρῶν, καὶ τὴν πάλαι ἱκεσίαν ἐπιτείνειν αὐτοὺς, καὶ εἰς τὸ παντελὲς ἐξομολογεῖσθαι οἰηθεὶς, ἀποστείλας ἠρώτα τί βούλοιντο. καὶ ὅπως μόνοι καὶ οὐ μετὰ τῶν Περσῶν ἥκοιεν. οἱ δὲ, πάντα ἔλεγον. τὸν δρασμὸν τῶν Περσῶν. τὸ ἑαυτῶν ἀνυπαίτιον. τὴν πάτριον ἑορτήν. καὶ ὡς περὶ θεραπείαν τῶν κρειττόνων ὄντας, καὶ περὶ τῆς εὐωχίας ὑφυπνωμένους διαλάθοιεν ἴσως ἂν, διαδράντων καὶ ἰδόντων καὶ γυμνῶν τοὺς ἐν ὅπλοις κωλύειν ἀδυνατούντων. ὁ δὴ





σιν Ὑδάσπης, τούτων πρὸς αὐτὸν ἀπαγγελθέντων, ὑποτοπήσας ὅπερ ἦν, ἀπάτην τινὰ καὶ ἐνέδραν πρὸς τοῦ Ὀροονδάτου γενησομένην, τοὺς ἱερέας μόνους μετακαλεσάμενος καὶ τοῖς ἀγάλμασι τῶν θεῶν ἃ συνεπήγοντο μᾶλλον καθιδρῦσαι προσκυνήσας, εἴ τι πλέον ἔχοιεν ἀναδιδάσκειν περὶ τῶν Περσῶν ἐπυνθάνετο. καὶ ὅποι μὲν ὥρμησαν. τίνι δὲ θαρσεῖν ἔχουσιν. ἢ τίσιν ἐπιχειρήσουσι. οἱ δὲ, τὰ μὲν ἄλλα ἀγνοεῖν ἔφασαν. εἰκάζειν δὲ, εἰς τὴν Ἐλεφαντίνην ὡρμηκέναι τοῦ πλείστου στρατοῦ κατ' ἐκείνην συνειλεγμένου. καὶ τοῦ Ὀροονδάτου, τοῖς τε ἄλλοις, καὶ πλέον τοῖς καταφράκτοις ἱππεῦσι ἐπανέχοντος. ταῦτα εἰπόντων, καὶ εἰσιέναι ὡς τὴν πόλιν ὡς ἰδίαν, καὶ μεθεῖναι τῆς κατ' αὐτῶν ὀργῆς ἱκετευόντων, τὸ μὲν παρελθεῖν αὐτὸν εἰς τὴν πόλιν ὁ Ὑδάσπης τὸ παρὸν οὐδὲ ἐδοκίμαζε. δύο δὲ φάλαγγας ὁπλιτῶν εἰσπέμψας, εἰς ἀπόπειράν τε ὑποπτευομένης ἐνέδρας, καὶ εἰ μηδὲν εἴη τοιοῦτον εἰς φρουρὰν τῆς πόλεως, τούς τε Συηναίους ἐπὶ χρησταῖς ταῖς ὑποσχέσεσιν ἀποπέμψας, αὐτὸς εἰς τάξιν καθίστη τὸν στρατόν. ὡς ἢ δεξόμενος ἐπιόντας τοὺς Πέρσας, ἢ καθυστεροῦσιν ἐπελευσόμενος. καὶ οὔπω πᾶν διετέτακτο, καὶ σκοποὶ προσελαύνοντες, ἔφοδον τῶν Περσῶν εἰς μάχην ἐκτεταγμένων ἐμήνυον. Ὀροονδάτης τὴν μὲν ἄλλην στρατείαν εἰς τὴν Ἐλεφαντίνην ἀθροίζεσθαι διατεταγμένος. αὐτὸς δὲ ὅτε τοὺς Αἰθίοπας ἐπιόντας παρ' ἐλπίδα κατώπτευσεν, εἰσδραμεῖν σὺν ὀλίγοις εἰς τὴν Συήνην ἀναγκασθεὶς, καὶ τοῖς χώμασιν ἀποτειχισθεὶς, σωτηρίαν τε αἰτήσας καὶ καθ' ὑπόσχεσιν τοῦ Ὑδάσπου λαβὼν, ἀπιστότατος ἀνθρώπων γίνεται. καὶ δύο Περσῶν ἅμα τοῖς Αἰθίοψι περαιωθῆναι κατασκευάσας δῆθεν ὡς τὴν γνώμην τῶν ἐπὶ τῆς Ἐλεφαντίνης, ἐφ' οἷς ἂν ἕλοιντο διαλύσασθαι πρὸς Ὑδάσπην μαθησομένους ἐξέπεμψε. τὸ δ' ἀληθὲς, εἰ παρασκευάζεσθαι πρὸς μάχην προαιροῦνται, ὅταν αὐτός ποτε διαδρᾶναι δυνηθῇ. καὶ τὸ τῆς γνώμης ἄπιστον εἰς ἔργον ἦγεν. εὐτρεπισμένους τε καταλαβὼν, αὐτίκα ἐξῆγεν. οὐδ' εἰς βραχὺ τὴν ἔφοδον ὑπερθέμενος. ἀλλὰ τῷ τάχει τὴν παρασκευὴν ὡς ἐδόκει τῶν ἐναντίων ὑποτεμνόμενος. ἤδη γοῦν παρατεταγμένος ἑωρᾶτο. κόμπῳ τε περσικῷ τὰς ὄψεις προκαταλαμβάνων, καὶ ἀργύροις τε καὶ ἐπιχρύσοις τοῖς ὅπλοις τὸ πεδίον καταστράπτων.

ἄρτι γὰρ ἀνίσχοντος ἡλίου, καὶ τὴν ἀκτῖνα κατὰ πρόσωπον τοῖς Πέρσαις ἐπιβάλλοντος, μαρμαρυγή τις ἄφραστος, καὶ εἰς τοὺς πορρωτάτω διερριπίζετο. καὶ τὸ τῆς πανοπλίας οἰκεῖον σέλας ἀνταυγαζούσης. τὸ μὲν οὖν δεξιὸν κέρας, αὐτῶν Περσῶν τε καὶ Μήδων τὸ γνήσιον ἐπεῖχε. τῶν μὲν ὁπλιτῶν ἡγουμένων τῶν δὲ ὅσοι τοξόται κατόπιν ἐφεπομένων. ὡς ἄν, γυμνοὶ πανοπλίας ὄντες, ἀσφαλέστερον βάλλοιεν ὑπὸ τοῖς ὁπλίταις προασπιζόμενοι. τὴν δὲ Αἰγυπτίων τε καὶ Λιβύων χεῖρα, καὶ τὴν ξενικὴν ἅπασαν, εἰς τὸ ἀριστερὸν κατένειμεν. ἀκοντιστάς τε καὶ τούτοις σφενδονήτας παραζεύξας. ἐκδρομάς τε ποιεῖσθαι. καὶ εἰς ἀκοντίζειν ἐκ πλαγίων ὁρμωμένοις ἐπιστείλας. αὐτὸς δὲ τὸ μέσον κατελάμβανεν. ἅρματός τε δρεπανηφόρου λαμπρῶς ἐπιβεβηκὼς καὶ ὑπὸ τῆς ἑκατέρωθεν φάλαγγος εἰς ἀσφάλειαν δορυφορούμενος, τοὺς καταφράκτους ἱππέας μόνον ἑαυτοῦ προτάξας. οἷς δὴ καὶ πλέον θαρσήσας, τὴν μάχην ἀπετόλμησε. καὶ γὰρ οὖν καὶ ἔστιν ἡ δὲ ἡ φάλαγξ Περσῶν ἀεὶ τὸ μαχιμώτατον. καὶ οἱονεὶ τεῖχος ἄρραγες τοῦ πολέμου προβαλλόμενον. τρόπος δὲ αὐτοῖς πανοπλίας τοιόσδε. ἀνὴρ ἔκκριτος, καὶ σώματος ἰσχὺν ἐπίλεκτος, κράνει μὲν ὑπέρχεται συμφυεῖ τε καὶ μονηλάτῳ. καὶ ὄψιν ἀνδρὸς εἰς ἀκρίβειαν ὥσπερ τὰ προσωπεῖα σοφιζομένῳ. τούτῳ δ' ἐκ κορυφῆς εἰς αὐχένα πάντα πλὴν τῶν ὀφθαλμῶν εἰς διοπτεύειν σκεπόμενος. τὴν μὲν δεξιάν, κοντῷ μείζονι λόγχης ὁπλίζει. τὴν λαιὰν δ', εἰς τὸν χαλινὸν ἀσχολεῖ. κοπίδα δ' ὑπὸ τὴν πλευρὰν παρηρτημένος, οὐ τὰ στέρνα μόνον, ἀλλὰ καὶ σῶμα τὸ ἄλλο ἅπαν τεθωράκισται. ἐργασία δὲ τοῦ θώρακος τοιάδε. σκυτάλας χαλκᾶς τε καὶ σιδηρᾶς ὅσον σπιθαμιαίας πάντοθεν εἰς σχῆμα τετράγωνον ἐλάσαντες καὶ ἄλλην ἐπ' ἄλλην κατ' ἄκρα τῶν πλευρῶν ἐφαρμόζοντες ὡς τῇ κατωτέρᾳ τὴν ὑποκειμένην ἀεί, καὶ τῇ πλαγίᾳ τὴν παρακειμένην ἀεὶ κατὰ τὸ συνεχὲς ἐπιβαίνειν. καὶ ῥαφαῖς ὑπὸ τὰς ἐπιτύχας τὴν συμπλοκὴν ἀγκιστρώσαντες, χιτῶνα τινὰ φολιδωτὸν ἀπεργάζονται. προσπίπτοντα μὲν ἀλύπως τῷ σώματι, καὶ πάντῃ περιφυόμενον. περιγράφοντα δὲ μέλος ἕκαστον, καὶ πρὸς ἀκώλυτον τῆς κινήσεως συστελλόμενόν τε καὶ συνεκτεινόμενον. ἔστι γὰρ χειριδωτὸς ἀπ' αὐχένος εἰς γόνυ καθειμένος.

μονήλατον

Thoracis descriptio





νος. μόνοις τοῖς μηροῖς καθὸ τῶν ἱππείων νώτων ἐπιβαίνειν, ἀνάγκη διαστελλόμενος. ὁ μὲν δὴ θώραξ, τοιοῦτος. ἀντίτυπόν τι βελῶν χρῆμα. καὶ πρὸς πᾶσαν τρῶσιν ἀπομαχόμενον. ἡ κνημὶς δὲ ἀπ' ἄκρων ταρσῶν, εἰς γόνυ διήκει συνάπτεται πρὸς τὸν θώρακα. παραπλησίᾳ δὲ σκευῇ καὶ τὸν ἵππον περιφράττουσι. τούς τε πόδας κνημῖσι περιδέοντες, καὶ προμετωπιδίοις τὴν κεφαλὴν δι' ὅλου σφίγγοντες. ἐκ νώτων τε ἐπὶ γαστέρα καθ' ἑκατέραν πλευράν, σκέπασμα σιδηρόπλοκον ἀπαιωροῦντες, καὶ ὁπλίζειν τε ἅμα, καὶ τῇ λαγαρότητι μὴ ἐμποδίζειν τοὺς δρόμους. οὕτως ἐσκευασμένος, καὶ οἷον ἐμβεβλημένος περιβαίνει τὸν ἵππον. οὐκ αὐτὸς ἐφαλλόμενος. ἀλλ' ἑτέρων διὰ τὸ ἄχθος ἀνατιθεμένων. κἀπειδὰν ὁ καιρὸς ἥκει τῆς μάχης, ἐφεὶς τῷ χαλινῷ τὸν ἵππον, καὶ μύωπας παντὶ τῷ ῥοθίῳ, κατὰ τῶν ἐναντίων ἵεται. σιδηροῦς τις ἀνὴρ φαινόμενος. ἢ καὶ σφυρήλατος ἀνδριὰς κινούμενος. ὁ κοντὸς δὲ τὰ μὲν πρὸς τῇ αἰχμῇ κατὰ πολὺ καὶ εἰς εὐθὺ προβέβληται δεσμῷ πρὸς τὸν αὐχένα τὸν ἵππιον ἀνεχόμενος. τὸν οὐρίαχον δὲ βρόχῳ πρὸς τοῖς ἱππείοις μηροῖς ἐξήρτηται. μὴ εἴκων ἐν ταῖς συμβολαῖς ἀλλὰ συνεργῶν τῇ χειρὶ τοῦ ἱππέως. εὐθυνούσῃ μόνον τὴν βολήν. αὐτοῦ δὲ ἐπιτείνοντος καὶ πρὸς τὸ σφοδρότερον τῆς τρώσεως ἀντερείδοντος. τῇ ῥύμῃ διαπείρει πάντα. τὸν ὑποπίπτοντα. καὶ μιᾷ πληγῇ, δύο που φέρει πολλάκις ἀναρτήσας. τοιοῦτον δὲ ἔχων τὸ ἱππικὸν ὁ σατράπης, καὶ οὕτω τὸ Περσικὸν διατάξας, ἐπῄει ἀντιμέτωπος. κατὰ νώτου ἀεὶ τὸν ποταμὸν ποιούμενος. καὶ πλήθει κατὰ πολὺ τῶν Αἰθιόπων λειπόμενος, τῷ ὕδατι τὴν κύκλωσιν ἀπετείχιζεν. ἀντεπῆγε δὲ καὶ ὁ Ὑδάσπης τοῖς μὲν τοῦ δεξιοῦ κέρως Πέρσαις τε καὶ Μήδοις, τοὺς ἐκ Μερόης ἀντιτάττων ἄνδρας ὁπλομάχους τε καὶ τῆς κατὰ συστάδην χειρονομίας ἐπιστήμονας. τοὺς δὲ ἐκ τῆς Τρωγλοδυτικῆς καὶ τοὺς τῇ κινναμωμοφόρῳ προσοίκους, εὐσταλεῖς τε τὴν ὅπλισιν καὶ ποδώκεις, καὶ τοξείαν ἀρίστους τοῖς κατὰ τὸ λαιὸν τῶν ἐναντίων σφενδονήταις τε καὶ ἀκοντισταῖς, παρενοχλήσαντας ἀπεκλήρωσε. τὸ δὲ μέσον τοῦ Περσικοῦ τοῖς καταφράκτοις μεγαλαυχούμενον καταμαθών, ἑαυτόν τε καὶ τοὺς περὶ αὐτὴν πυργοφόρους ἐλέφαντας ἀντέταξε. τὸ Βλεμμύων τε καὶ Σηρῶν ὁπλιτικὸν προτάξας,

κνημὶς ἀρματura adiumenta thoraci. nota pro homero qui vocat graecos εὐκνήμιδας ἀχαιούς

προμετωπίδιοι la testera del cavallo

λαγαρότητι

Contus persicus

οὐρίαχον

Blemmyes Seres

καὶ ἃ χρὴ πράττειν παρὰ τὸ ἔργον ἐπιστείλας. ἀρθέντων δὲ ἑκατέρωθεν τῶν σημείων, καὶ τῶν μὲν περσικῶν διασαλπιγγούντων, ῥόπτροις δὲ καὶ τυμπάνοις τῶν αἰθιόπων τὴν μάχην ἐπισημαινόντων, ὁ μὲν ὀροονδάτης ἐμβοήσας, δρόμῳ τὰς φάλαγγας ἐπῆγεν. ὁ δὲ ὑδάσπης τὰ μὲν πρῶτα σχολαίτερον ἀντεπιέναι προσέταττε. βάσιν ἐκ βάσεως ἡσυχῇ παραμείβοντας. τῶν τε ἐλεφάντων ἕνεκεν, ὅπως ἄν, μὴ ἀπολειφθεῖεν τῶν προμάχων, καὶ ἅμα τὴν ῥύμην τῶν ἱππέων τῶν μεταξὺ προϋπεκλύων. ἐπεὶ δὲ βολῆς ἐντὸς ἤδη καθίσταντο, καὶ τοὺς καταφράκτους ἐρεθίζοντας τὴν ἵππον εἰς τὴν ἐπέλασιν οἱ βλέμμυες κατέμαθον, τὰ προτεταγμένα πρὸς τοῦ ὑδάσπου ἔπραττον. καὶ τοὺς σῆρας ὥσπερ προκώλυμα ἐᾶν καὶ προασπίζειν τῶν ἐλεφάντων καταλιπόντες, αὐτοὶ πολὺ τῶν τάξεων προπηδήσαντες, ὡς τάχους εἶχον, ἐπὶ τοὺς καταφράκτους ὥρμησαν. μανίας ἔμφασιν τοῖς ὁρῶσι παρεσχηκότες. οὕτως ὀλίγοι πρὸς πλείονας καὶ πρὸς οὕτω πεφραγμένους, προεφορμήσαντες. οἱ πέρσαι δὲ πλέον ἢ πρότερον ἐφέντες τοῖς ἵπποις ἐπήλαυνον. ἕρμαιον τὸ ἐκείνων θράσος ποιούμενοι. καὶ ὡς αὐτίκα καὶ παρὰ τὴν πρώτην συμβολὴν ἀρπασόμενοι. τότε οἱ βλέμμυες εἰς χεῖρας ἤδη συμπίπτοντες καὶ μονονοὺ ταῖς αἰχμαῖς ἐγχρίπτοντες ἀθρόον καὶ καθ' ἓν σύνθημα, ὑπώκλασάν τε καὶ ὑπεδύοντο τοῖς ἵπποις. γόνυ μὲν θάτερον τῇ γῇ προσερείδοντες. κεφαλὴν δὲ καὶ νῶτα, τοῖς μὲν, οὐδὲν ἢ μόνον οἱ πάσχοντες. παράδοξον δὲ ἔδρων καὶ ἐλυμαίνοντο τὴν ἵππον ὑπὸ τὴν γαστέρα κατὰ τὴν διεξέλασιν, τοῖς ξίφεσιν ἀνακόπτοντες. ὥστε ἔπιπτον μὲν οὐκ ὀλίγοι τῶν ἵππων πρὸς τὴν ἀλγηδόνα τὸν χαλινὸν ὑπερορώντων καὶ τοὺς ἀναβάτας ἀποσειομένων. οὓς κορμηδὸν κειμένους, οἱ βλέμμυες ὑπὸ τοὺς μηροὺς ἀνέτεμνον. ἀκίνητος γὰρ πέρσης κατάφρακτος τοῦ χειραγωγήσοντος ἀμοιρήσας. ὅσοι δὲ ἀτρώτοις ἵπποις συνηνέχθησαν, ἐπὶ τοὺς σῆρας ἐφέροντο. οἱ δὲ, ἐπειδὴ μόνον ἐπλησίαζον, κατόπιν ἑαυτοὺς τῶν ἐλεφάντων ὑπέστελλον. ὥσπερ ἐπὶ λόφον ἢ φρούριον τὸ ζῶον καταφεύγοντες, ἔνθα πολὺς φόνος καὶ ὀλίγου παντελὴς συνέπιπτε τοῖς ἱππεῦσιν. οἵ τε γὰρ ἵπποι πρὸς τὸ ἄηθες τῶν ἐλεφάντων ὄψεως ἀθρόον παραγυμνωθείσης καὶ τῷ μεγέθει ξενίζοντι τῆς θέας τὸ φοβερὸν ἐπιφερούσης, οἱ μὲν

ῥόπτροις

κορμηδόν

Eq elephantorū cō spectu territi



μὲν παλινδρομοῦντες, οἱ δὲ, ἐν ἀλλήλοις συνταραττόμενοι, τὴν τάξιν τῆς φάλαγγος τάχιστα παρέλυον. οἵ τε ἐπὶ τῶν ἐλεφάντων κατὰ τοὺς πύργους ἓξ μὲν ἕκαστοι κατειληφότες, δύο δὲ κατὰ πλευρὰν ἑκάστην ἐκτοξεύοντες, τῆς ἐπ' οὐρὰν μόνης καὶ εἰς τὸ ἄπρακτον σχολαζούσης. οὕτως δή τι συνεχές τε καὶ ἐπὶ σκοπὸν ὥσπερ ἐξ ἀκροπόλεως τῶν πύργων ἔβαλλον. ὥστε εἰς νέφους φαντασίαν τὴν πυκνότητα παραστῆναι τοῖς πέρσαις. καὶ πλέον ὅτε τοὺς ὀφθαλμοὺς μάλιστα τῶν ἐναντίων σκοποὺς οἱ αἰθίοπες ποιούμενοι, καθάπερ οὐκ ἐπὶ τῶν ἴσων πολεμοῦντες, ἀλλ' εὐστοχίας ἀγώνισμα προθέντες, οὕτως ἀδιαπτώτως ἐτύγχανον. ὥστε οἱ διαπεπαρμένοι τοῖς βέλεσιν, ἐφέροντο σὺν οὐδενὶ κόσμῳ διὰ τοῦ πλήθους, καθάπερ αὐλοὺς τοὺς οἰστοὺς τῶν ὀφθαλμῶν προβεβλημένοι. εἰ δέ τινας ὑπὸ ῥύμης τοῦ δρόμου, μὴ κατασχόντες οἱ ἵπποι, καὶ ἄκοντας ὑπεξαγαγόντες, εἰς τοὺς ἐλέφαντας ἐνέβαλλον. καὶ οὕτως οἱ μὲν, αὐτοῦ κατηναλίσκοντο ὑπό τε τῶν ἐλεφάντων ἀνατρεπόμενοι καὶ καταπατούμενοι. οἱ δὲ, ὑπό τε τῶν σηρῶν ὑπό τε τῶν βλεμμύων ὥσπερ ἐκ λόχου τοῦ ἐλέφαντος ἐκδρομάς τε ποιουμένων. καὶ τοὺς μὲν τιτρώσκειν εὐστοχούντων, τοὺς δὲ κατὰ συμπλοκὴν ἀπὸ τῶν ἵππων εἰς γῆν ὠθούντων. ὅσοι δὲ καὶ διεδίδρασκον ἄπρακτοι καὶ οὐδὲν δράσαντες τοὺς ἐλέφαντας, ἀπεχώρουν. τὸ γὰρ θηρίον πέφρακται μὲν καὶ σιδήρῳ παραγινόμενον εἰς μάχην. καὶ ἄλλως δὲ πρὸς τῆς φύσεως τὴν δορὰν ἐστόμωται. στερρεᾶς φολίδος τῇ ἐπιφανείᾳ ἐπιτρεχούσης. καὶ πᾶσαν αἰχμὴν τῷ ἀντιτύπῳ θραυούσης. τραπέντων δὲ ἅπαξ εἰς φυγὴν τῶν ὑπολειπομένων, αἴσχιστα δὴ πάντων ὁ σατράπης ὀροονδάτης, τὸ μὲν ἅρμα ἐγκαταλιπών, ἵππου δὲ τοῦ νυσαίου ἐπιβὰς, διεδίδρασκεν ἀγνοούντων ταῦτα τῶν κατὰ τὸ ἀριστερὸν κέρας αἰγυπτίων τε καὶ λιβύων. καὶ σὺν εὐτολμίᾳ πάσῃ τὴν μάχην συμφερομένων. καὶ πασχόντων μὲν πλείονα ἢ δρώντων. καρτερικῷ δὲ λήματι τὰ δεινὰ ὑπομενόντων. οἱ γὰρ ἐκ τῆς κινναμωμοφόρου κατ' αὐτοὺς τεταγμένοι δεινῶς ἐπιέζοντες, πολλὴν ἀπορίαν παρεῖχον. ἐπιόντας μὲν ὑποφεύγοντες καὶ ἐκ τοῦ πολλοῦ τοῦ προϊόντος προφθάνοντες. καὶ ἀπεστραμμένοις εἰς τοὐπίσω τοῖς τόξοις, καὶ παρὰ τὴν φυγὴν βάλλοντες. ἀναχωροῦσι



Senos armatos singuli elephāti in turribus uehebant

Elephanti cataphracti

Duritia corij elephātini

Nysaeus equus

δὲ ἐπιτιθέμενοι. καὶ κατὰ τὰ πλάγια οἱ μὲν, ταῖς σφενδόναις βαλλόντων. οἱ δὲ, μικροῖς μὲν τοῖς βέλεσιν, ἰῷ δὲ δρακόντων πεφαρμαγμένοις εἰς τοξευόντων. πλέγμα γάρ τι κυκλοτερὲς τῇ κεφαλῇ περιθέντων, καὶ τοῖς βέλεσι κατὰ τὴν κύκλον περιπείραντες, τὸ μὲν ἐπτερωμένον τοῦ βέλους πρὸς τῇ κεφαλῇ κατατίθενται. τὰς δὲ ἀκίδας οἷον ἀκτῖνας εἰς τὸ ἐκτὸς προβέβληνται. κἀντεῦθεν δὴ ἑτοίμως παρὰ τὰς μάχας ὥσπερ ἐκ φαρέτρας ἀφαιρῶν ἕκαστος, ἀγέρωχόν τι καὶ σατυρικὸν σκίρτημα λυγιζόμενός τε καὶ καμπτόμενος, καὶ τοὺς ἰοὺς ἐστεμμένος ἀπὸ γυμνοῦ τοῦ σώματος, τοῖς ἐναντίοις ἐφίησιν. οὐδὲν σιδήρου κατὰ τὴν αἰχμὴν δεόμενον. ὀστοῦν γὰρ δράκοντος νωτιαῖον ἀφελὼν, τὸ μὲν ἄλλο εἰς τὴν πῆχυν τοῦ βέλους ἀπευθύνει. τὰ δὲ ἄκρα πρὸς τὸ ἀκμαιότατον ἀποξέσας, αὐτογλώχινα οἰστὸν ἀπεργάζεται. τάχα που καὶ ἀπὸ τῶν ὀστῶν οὕτω παρωνομασμένον. χρόνον μὲν οὖν τινα συνεστήκεισαν οἱ αἰγύπτιοι. καὶ τοῖς συνασπισμοῖς πρὸς τὴν τοξείαν ἀντεῖχον. φύσει τε τλήμονες ὄντες καὶ πρὸς τὸν θάνατον οὐ λυσιτελῶς μᾶλλον, ἢ φιλονείκως κενοδοξοῦντες. ἴσως δέ που καὶ τιμωρίαν λιποταξίας προορῶντες. ἐπεὶ δὲ τούς τε καταφράκτους τὴν μεγίστην τοῦ πολέμου χεῖρά τε καὶ ἐλπίδα νομιζομένους, διεφθαρμένους κατέμαθον, τόν τε σατράπην ἀποδεδρακότα, τούς τε μήδων καὶ περσῶν πολυθρυλλήτους ὁπλίτας, οὔτε τι παρὰ τὴν μάχην λαμπρὸν ἀποδεδειγμένους, ἀλλ᾽ ὀλίγα μὲν δράσαντας κατὰ τῶν ἐκ μερόης οἱ κατ᾽ αὐτοὺς ἐτάχθησαν. παθόντας δὲ πλείονα, καὶ τοῖς λοιποῖς ἐφεπομένοις ἐνδόντες καὶ αὐτοὶ, προτροπάδην ἔφευγον. ὁ δὲ ὑδάσπης ὥσπερ ἀπὸ σκοπῆς τοῦ πύργου, λαμπρᾶς ἤδη τῆς νίκης θεωρὸς γινόμενος, κήρυκας διαπέμπων εἰς τοὺς διώκοντας, τοῦ μὲν φονεύειν ἀπέχεσθαι προηγόρευε. ζῶντας δὲ οὓς δύναιντο καὶ συλλαμβάνειν καὶ ἄγειν. καὶ πρὸ πάντων τὸν ὀροονδάτην, ὡς δὴ καὶ ἐγένετο. παρεκτείναντες γὰρ ἐπ᾽ ἀσπίδα τὰς φάλαγγας οἱ αἰθίοπες, καὶ τὸ πολὺ βάθος τῶν τάξεων εἰς μῆκος ἑκατέρωθεν ἐπαναγαγόντες, τάς τε κεραίας ἐπιστρέψαντες, εἰς κύκλωσιν τὸ περσικὸν συνήλασαν. καὶ μίαν μόνον ἀτραπὸν τὴν ἐπὶ τὸν ποταμὸν ἀκώλυτον εἰς φυγὴν τοῖς ἐναντίοις ὑπελείποντο. εἰς ὃν οἱ πλείους ἐμπίπτοντες, ὑπό τε ἵππων καὶ δρε-





πανηφόρων ἁρμάτων καὶ τοῦ λοιποῦ ταράχου καὶ πλήθους ὠθούμενοι σὺν πολλῷ τῷ θράσει, μετεμάνθανον ὡς τὸ δοκοῦν στρατήγημα τοῦ σατράπου πρὸς ἐναντίους φησὶν ἦν καὶ ἄσκεπτον. τὸ γοῦν κυκλωθῆναι παρὰ τὴν ἀρχὴν καταδείσας, καὶ τὸν νεῖλον διὰ τοῦτο κατὰ νώτων ποιήσας, ἔλαθεν αὑτῷ τὴν φυγὴν ἀποτειχίσας. ἐνταῦθα οὖν καὶ αὐτὸς ἁλίσκεται. καὶ ἀχαιμένους τοῦ κυβέλης παιδὸς, ἅπαντα ἤδη τὰ κατὰ τὴν μέμφιν πεπυσμένου, καὶ ἀνελεῖν μὲν τὸν ὀροονδάτην παρὰ τὸν θόρυβον ἐπιβουλεύσαντος, μετέμελε γὰρ αὐτῷ τῶν κατὰ τῆς ἀρσάκης μηνυμάτων, τῶν ἐλέγχων προδιεφθαρμένων. τρῶσαι δὲ καιρίαν ἀποτυχόντος, ὑπέσχε γε μὴν αὐτίκα τὴν δίκην πρός του τῶν αἰθιόπων τόξῳ βληθείς. ἀναγνόντος γὰρ τὸν σατράπην, καὶ περισώζειν ὡς προστέτακτο βουλομένου. ἀγανακτήσαντος δὲ τὸ ἄδικον τοῦ ἐγχειρήματος εἰ τοὺς ἐναντίους τις ὑποφεύγων, χωροίη κατὰ τῶν φιλίων τὸν καιρὸν τῆς τύχης εἰς ἐχθροῦ ἄμυναν ὡς ἐῴκει θηρώμενος. τοῦτον μὲν οὖν ἀχθέντα πρὸς τοῦ ἑλόντος ὁ ὑδάσπης ψυχορραγοῦντα θεασάμενος, καὶ πολλῷ αἵματι ῥεόμενον, τοῦτο μὲν ἐπαοιδῇ διὰ τῶν τοῦτο ἔργον πεποιημένων, ἐπέσχε. κρίνας δὲ εἰ δύναιτο περισώζειν, ἐπιρρωνύς τε τοῖς λόγοις, ὦ βέλτιστε ἔφη, τὸ μὲν σώζεσθαί σοι, κατ᾽ ἐμὴν ὑπάρξει γνώμην. νικᾶν γὰρ καλὸν τοὺς ἐχθροὺς, ἑστῶτας μὲν, ταῖς μάχαις. πεπτωκότας δὲ εὐποιΐαις. τί δ᾽ οὖν βουλόμενος οὕτως ἄπιστος ἀπεδείχθης. ὁ δὲ, πρὸς σὲ ἔφη. πιστὸς δὲ πρὸς τὸν ἐμὸν δεσπότην. καὶ ὁ ὑδάσπης ὑπολαβὼν τοίνυν, τίνα σαυτῷ τιμωρίαν ὁρίζεις πάλιν ἠρώτα, καὶ ὅσην ἂν, ἔφη βασιλεὺς ὁ ἐμὸς τῶν σῶν τινα στρατηγῶν φυλάττοντά σοι πίστιν λαβὼν ἀπήτησεν. οὐκοῦν ἂν, ἔφη ἐπῄνεσεν ἂν, καὶ δωρησάμενος ἀπέπεμψεν, εἰ βασιλεὺς ἀληθής ἐστι, ἀλλὰ μὴ τύραννος, ἐν ἀλλοτρίοις ἐπαίνοις ζῆλον τοῖς ἰδίοις τῶν ὁμοίων κατασκευαζόμενος. ἀλλ᾽ ὦ θαυμάσιε. πιστὸς μὲν εἶναι λέγεις. ἀσύνετος δὲ κἂν αὐτὸς μὴ ὁμολογήσειας. πρὸς τοσαύτας μυριάδας παράτολμος ἀντιταξάμενος. οὐκ ἦν ἀσύνετος ἴσως ἀπεκρίνατο, τῆς γνώμης στοχάζεσθαι τοῦ βασιλεύοντος, μεθ᾽ ἧς ἐκεῖνος πλέον τιμωρεῖται τοὺς ὁπωσοῦν ἐν πολέμῳ δειλοὺς ἢ τιμᾷ τοὺς ἀνδρείους. ἔγνων οὖν ὁμόσε χωρῆσαι πρὸς τὸν κίνδυνον. καὶ ἤτι μέγα κατορθῶσαι καὶ παρὰ δόξαν, οἷα πολλὰ πο-

λέμου καιροὶ κατεβίβασιν, ἢ διασωθεὶς εἰ τύχοι συμβαίνοι χώραν ἀπολογίας ὑπολέλειπται, ὡς πάντων τῶν ἐπ' ἐμοὶ πεπραγμένων. τοιαῦτα εἰπὼν καὶ ἀκούσας ὁ ὑδάσπης, ἐπῄνει τε καὶ εἰς τὴν συήνην εἰσέπεμπεν. ἐπιμεληθῆναι αὐτοῦ παντοίως τοῖς ἰατροῖς ἐπιστείλας. εἰσῄει δὲ καὶ αὐτὸς ἅμα τοῖς ἐπιλέκτοις τῆς στρατοῦ. πάσης μὲν τῆς πόλεως καὶ διὰ πάσης ἡλικίας προϋπαντώσης. στεφάνοις δὲ καὶ ἄνθεσι νειλώοις τὴν στρατείαν βαλλούσης. καὶ ταῖς ἐπινικίοις εὐφημίαις τὸν ὑδάσπην ἐπαινούσης. ἐπεὶ δὲ τειχῶν ἐντὸς εἰσήλασεν ὥσπερ ἐφ' ἅρματος τοῦ ἐλέφαντος, ὁ μὲν, αὐτίκα περὶ ἱεροῖς ἦν καὶ θεραπείαις τῶν κρειττόνων χαριστηρίοις. τῶν τε νειλώων ἥτις γένεσις παρὰ τῶν ἱερέων ἐκπυνθανόμενος, καὶ εἴ τι θαύματος ἢ θεάματος ἄξιον κατὰ τὴν πόλιν ἐπιδεικνύναι ἔχουσιν. οἱ δὲ, τήν τε φρεατίαν τὸ νειλομέτριον ἐδείκνυσαν.

Nilometrió pute)

τῷ κατὰ τὴν μέμφιν παραπλήσιον σὺν νόμῳ μὲν καὶ ξεστῷ λίθῳ κατεσκευασμένον. γραμμαῖς δὲ ἐκ πηχυαίου διαστήματος κεχαραγμένον. εἰς ἃς τὸ ποτάμιον ὕδωρ ὑπὸ γῆς διηθούμενον, καὶ ταῖς γραμμαῖς ἐμπίπτον, τάς τε αὐξήσεις τοῦ νείλου καὶ ὑπονοστήσεις, τοῖς ἐγχωρίοις διασημαίνει τῷ ἀριθμῷ τῶν σκεπομένων καὶ γυμνουμένων χαραγμάτων. τὸ ποσὸν τῆς πλημμύρας ἢ τῆς λειψυδρίας μετρουμένων.

πλημύρα
λειψυδρ(ία) αι

ἐδείκνυσαν δὲ καὶ τῶν ὡροσκοπίων γνώμονας ἀσκίους κατὰ μεσημβρίαν ὄντας. τῆς ἡλιακῆς ἀκτῖνος κατὰ τὰς τροπὰς θερινὰς ἐν τοῖς περὶ συήνην εἰς ἀκρίβειαν κατὰ κορυφὴν ἱσταμένης. καὶ ὑπὸ πανταχόθεν περιφωτισμοῦ τὴν παρέμπτωσιν τῆς σκιᾶς ἀπελαυνούσης. ὡς καὶ τῶν φρεάτων τὸ κατὰ βάθος ὕδωρ καταυγάζεσθαι διὰ τὴν ὁμοίαν αἰτίαν. καὶ ταῦτα μὲν ὁ ὑδάσπης οὐ σφόδρα ὡς ξένα ἐθαύμαζε. συμβαίνει γὰρ τὰ ἴσα καὶ κατὰ μερόην τὴν αἰθιόπων.

Lucanus
Atq: umbras nusquam flectente Syene.
idem etiam meroe contingere

ὡς δὲ τὴν ἑορτὴν ἐξεθείαζον, ὑπὲρ μέγα τὸν νεῖλον αἴροντες, ὧρόν τε καὶ ζείδωρον ἀποκαλοῦντες. αἰγύπτου τε ὅλης τῆς μὲν ἄνω σωτῆρα, τῆς κάτω δὲ καὶ πατέρα καὶ δημιουργόν. νέαν ἰλὺν δι' ἔτους ἐπάγοντα, καὶ νεῖλον ἐντεῦθεν ὀνομαζόμενον, τάς τε ἐτησίους ὥρας φράζοντα. θερινὴν τε ταῖς αὐξήσεσι. μετοπωρινὴν δὲ ταῖς ὑπονοστήσεσι, καὶ τὴν ἐαρινὴν τοῖς τε κατ' αὐτὸν φυομένοις ἄνθεσι, καὶ ταῖς τῶν κροκοδείλων ᾠοτοκίαις. καὶ οὐδὲν ἄλλ' ἢ τὸν ἐνιαυτὸν ἄντικρυς εἶναι τὸν νεῖλον. τάχα καὶ τῆς προσηγορίας ἐκβεβαιουμένης.

Nilus dictus quasi
νέα ἰλύς



μένης. τῶν γὰρ κατὰ τοὔνομα στοιχείων εἰς ψήφους μεταλαμβανομένων, πέντε καὶ ἑξήκοντα καὶ τριακόσιαι μονάδες, ὅσαι καὶ τοῦ ἔτους ἡμέραι συναχθήσονται. φυτῶν δὲ καὶ ἀνθέων καὶ ζώων ἰδιότητας, καὶ ἕτερα πλείονα τούτοις προστιθέντων, ἀλλ' οὐκ αἰγύπτια ταῦτα εἶπεν ὁ ὑδάσπης, ἀλλ' αἰθιοπικὰ τὰ σεμνολογήματα. τὸν γοῦν ποταμὸν τοῦτον, εἴτε καὶ καθ' ὑμᾶς θεόν, καὶ κῆτος ἅπαν τὸ ποτάμιον, ἡ αἰθιόπων δεῦρο παραπέμπουσα, δικαίως ἂν, παρ' ὑμῶν τυγχάνοι σεβάσματος. μητὴρ ὑμῖν γινομένης θεῶν. καὶ τοιγαροῦν καὶ σεβόμεθα ἔφασαν ἱερεῖς τῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι σε σωτῆρα ἡμῖν καὶ θεὸν ἀνέδειξεν. εὐφήμους εἶναι προσήκειν τοὺς ἐπαίνους ὁ ὑδάσπης εἰπών, αὐτός τε εἰς τὴν συήνην εἰσελθών, τὸ λειπόμενον τῆς ἡμέρας ἑαυτὸν ἀνελάμβανε. τούς τε ἐπὶ δόξης αἰθιόπων καὶ τοὺς κατὰ συήνην ἱερέας εὐωχῶν, καὶ τοῖς ἄλλοις οὕτω ποιεῖν ἐφῆκε. πολλὰς μὲν ἀγέλας βοῶν. πολλὰς δὲ ποίμνας προβάτων. πλεῖστα δὲ αἰγῶν αἰπόλια καὶ συῶν συβόσια, καὶ οἴνου πλῆθος τῶν συηναίων τῇ στρατείᾳ, τὰ μὲν, δῶρον, τὰ δὲ πρὸς ἀγορασίαν παρεχόντων. εἰς δὲ τὴν ὑστεραίαν ἐφ' ὑψηλοῦ προκαθήμενος ὁ ὑδάσπης, τά τε ὑποζύγια καὶ ἵππους, καὶ ὅλην ἄλλην τὴν ἐν λαφύροις τῶν τε κατὰ τὴν πόλιν καὶ τῶν κατὰ τὴν μάχην ληφθέντων, τῇ στρατείᾳ διένεμε. τὸ πρὸς ἀξίαν τῶν ἑκάστῳ πεπραγμένων ἀνακρίνων. ὡς δὲ καὶ ὁ ζωγρήσας τὸν ὀροονδάτην παρῆν, αἴτησον ὃ βούλει πρὸς αὐτὸν ἔφη ὁ ὑδάσπης. καὶ ὡς οὐδὲν αἰτεῖν δέομαι βασιλεῦ εἶπεν. ἀλλ' εἰ καὶ σὺ τύχοις ἐπικρίνειας, ἔχω τὸ αὔταρκες. ὀροονδάτου μὲν ἀφελόμενος. αὐτὸν δὲ προστάγματι τῷ σῷ διασωσάμενος. καὶ ἅμα ἐδείκνυε τὸν ξιφιστῆρα τοῦ σατράπου λιθοκόλλητόν τε καὶ πολύτιμον. καὶ ἐκ πολλῶν ταλάντων κατεσκευασμένον. ὥστε πολλοὺς τῶν περιεστώτων ἐκβοᾶν, ὑπὲρ ἰδιώτην εἶναι καὶ πλέον βασιλικὸν τὸ κειμήλιον. ἐπιμειδιάσας οὖν ὁ ὑδάσπης, καὶ τί ἂν, ἔφη γένοιτο βασιλικώτερον τοῦ μὴ λειφθῆναι τὴν ἐμὴν μεγαλοψυχίαν, τῆς τούτου φιλοπλουτίας. εἶτα καὶ σώματος ἁλόντος τῷ κρατήσαντι σκυλεύειν ὁ πολέμου δίδωσι νόμος. ὥστε ἀπίτω λαβὼν καὶ παρ' ἡμῶν, ὃ καὶ ἀκόντων ἔχειν ἂν, ῥᾳδίως ἀπεκρύπτου. μετὰ τοῦτον παρῄεσαν οἱ τὸν θεαγένην καὶ τὴν χαρίκλειαν ἑλόντες. καὶ ὦ βασιλεῦ ἔφασαν. ἡμῶν δὲ οὐ χρυσός. οὐ λίθοι. τὰ λάφυρα.

πρᾶγμα

πρᾶγμα κατ' αἰθιοπίαν διώνυμον, καὶ σωρηδὸν τοῖς βασιλείοις ἀφ-
ειμένον. ἀλλὰ τὴν κόρην καὶ νεανίαν προσαγηοχότες, ἀδελφοὺς
μὲν καὶ Ἕλληνας, μεγέθει δὲ καὶ κάλλει μετά γε σέ, πάντας ἀν-
θρώπους ὑπερφέροντας. ἀξιοῦμεν μὴ ἀμοιρῆσαι τῆς παρὰ σοῦ μεγαλο-
δωρεᾶς. εὖγε εἶπεν ὁ ὑδάσπης ὑπεμνήσατε. καὶ γὰρ ἐν παρέργῳ
τότε καὶ ἤδη θόρυβον προσαχθέντας ἐθεασάμην. ὥστε ἀγέτω τις.
ἀκουόντων δὲ καὶ οἱ λοιποὶ τῶν αἰχμαλώτων. ἤγοντο οὖν αὐτίκα. δρο-
μαίου τινὸς ἔξω τειχῶν καὶ εἰς τοὺς σκευοφόρους ἀφιγμένου. καὶ τοῖς
φυλάττουσιν ἄγειν ὡς βασιλέα τὴν ταχίστην εἰπόντος. οἱ δέ, μιξέλ-
ληνά τινα τῶν φυλακῶν, ὅποι τὸ πρὶν ἄγοιεν ἐρωτώντων. ἐκείνου δὲ
εἰπόντος ὡς βασιλεὺς ὑδάσπης ἐπισκοπεῖ τοὺς αἰχμαλώτους, θεοὶ
σωτῆρες ἀνεβόησαν ἅμα οἱ νέοι τὸ ὄνομα τοῦ ὑδάσπου γνωρίσαν-
τες εἰς τήν τε ὥραν μὴ καὶ ἕτερός ἐστιν ὁ βασιλεύων ἀμφιβάλλον-
τες. ὁ οὖν θεαγένης ἠρέμα πρὸς τὴν χαρίκλειαν, ἐρεῖς ἔφη δηλονό-
τι φιλτάτη πρὸς βασιλέα τὰ καθ' ἡμᾶς. ἰδοὺ γὰρ καὶ ὑδάσπης
ἐν πατέρα σοι γεγενῆσθαι πρός με πολλάκις ἔφραζες. καὶ ἡ χαρί-
» κλεια. ὦ γλυκύτατε ἔφη. τὰ μεγάλα τῶν πραγμάτων μεγάλων
» δεῖται κατασκευῶν. ὧν γὰρ πολυπλόκους τὰς ἀρχὰς ὁ δαίμων
» καταβέβληται, τούτων ἀνάγκη καὶ τὰ τέλη διὰ μακροτέρων συμ-
» περαίνεσθαι. ἄλλως τε καὶ ἃ πολὺς χρόνος συνέχεε, ταῦτα εἰς ὀ-
» ξὺν καιρὸν ἀνακαλύπτειν, οὐ λυσιτελές. τοῦ κεφαλαίου καὶ ταῦ-
τα τῆς ὅλης καθ' ἡμᾶς ὑποθέσεως, καὶ ἐξ ἧς ἡ σύμπασα συμ-
πλοκή τε καὶ ἀνεύρεσις ἤρτηται. περσίνης λέγω μητρὸς τῆς ἐμῆς
ἀπολειπομένης. σώζεσθαι δὲ καὶ ταύτην θεῶν βουλήσει πεπύσμε-
θα. ἂν οὖν προσαθήσονται ἐς ἡμᾶς. ὑπολαβὼν ὁ θεαγένης, ἢ καὶ ὡς
αἰχμάλωτον δῶρον παρασχὼν, τὴν εἰς αἰθιοπίαν ἡμῖν ἄφιξιν ὑπο-
τετίμηται μὴ πᾶν τοὐναντίον ἔφη ἡ χαρίκλεια. νυνὶ μὲν γὰρ πρὸς
τῶν φυλάκων ἀκηκόαμεν πολλάκις ὡς ἱερεῖα τρεφόμεθα τοῖς ἐν
μερόῃ θεοῖς ἐναγισθησόμενοι. καὶ δέος οὐδὲν δωρηθῆναι ἡμᾶς ἢ
προσαναιρεθῆναι καθωσιωμένους ἐξ ὑποσχέσεως τοῖς θεοῖς. ἣν παρα-
βαθῆναι ὑπ' ἀνδρῶν εὐσέβειαν ἀνεκτετιμηκότων, οὐ θέμις. εἰ δὲ
περιχαρείᾳ τῶν ὅλων ἐνδόντες προχείρως τὰ καθ' ἡμᾶς ἐξαγο-
ρεύοιμεν τῶν τε γνωρίζειν ταῦτα τε βεβαιοῦν δυναμένων οὐ πα-
ρόντων,



ρόντων, μὴ καὶ λάθοιμεν τὸν ἀκούοντα παροξύναντες καὶ πρὸς ὀρ-
γήν τι δικαίως ἐφιστάμενοι, χλεύην ἂν οὕτω τύχῃ καὶ ὕβριν τὸ
πρᾶγμα ἡγησαμένου. εἴ τινες αἰχμάλωτοι καὶ δουλεύειν ἀποκεκλη-
ρωμένοι πεπλασμένοι καὶ ἀπίθανοι καθάπερ ἐκ μηχανῆς τῷ βασι-
λεύοντι παῖδας ἑαυτοὺς εἰσποιοῦσιν. ἀλλὰ τὰ γνωρίσματα ἔφη ὁ
θεαγένης, ἀφαιρεῖν σε οἶδα καὶ διασώζειν, ὅτι μὴ πλάσμα ἐσμέν,
μηδ' ἀπάτη συλλήψεται. καὶ ἡ χαρίκλεια τὰ γνωρίσματα ἔφη τοῖς
γινώσκουσιν αὐτὰ καὶ συνεκτιθεμένοις ἐστὶ γνωρίσματα. τοῖς δὲ ἀ-
γνοοῦσιν, ἢ μὴ πάντα γνωρίζειν ἔχουσι, κειμήλια τι ἄλλως καὶ ὅρμοι,
κλοπῆς ἂν οὕτω τύχῃ καὶ λῃστείας τοῖς φέρουσιν ὑπόνοιαν προσά-
πτουσιν. εἰ δὲ δή τι καὶ γνωρίσειεν ὑδάσπης, τίς ὅτι καὶ περσίνα
ἡ δεδωκυῖα. τίς δ' ὅτι καὶ ὡς θυγατρὶ μήτηρ ὁ πείσων ἐστίν.
ἀναντίρρητον γνώρισμα θεάγενες ἡ μητρῴα φύσις ὑφ' ἧς τὸ γεν- «
νῶν πρὸς τὸ γεννώμενον ἐκ πρώτης ἐντεύξεως φιλόστοργον ἀναδέ- «
χεται πάθος, ἀπορρήτῳ συμπαθείᾳ κινούμενον. τοῦτο οὖν προώ- «
μεθα. διότι καὶ τὰ ἄλλα γνωρίσματα ἂν πιστὰ φανείη. ταῦτα «
διαλεγόμενοι. πλησίον ἤδη τοῦ βασιλέως ἦσαν. συμπαρῆν δὲ ὁ
βαγώας ἀγόμενος. κἀπειδὴ παρεστῶτας εἶδεν ὁ ὑδάσπης, ἀνή-
λατο πρὸς βραχὺ τοῦ θρόνου. καὶ ἵληκοι τε θεοὶ φήσας, αὖθις ὑπὸ
συννοίας ἑαυτὸν ἥδραζε. τῶν δὲ ἐν τέλει παρεστώτων ὅ, τι πεπόν-
θοι πυνθανομένων, τοιαύτην ἔφη τετέχθαι μοι θυγατέρα τήμε-
ρον. καὶ εἰς ἀκμὴν τοσαύτην ἥκειν ἀθρόον ᾤμην. καὶ τὸ ὄναρ ἐν οὐ-
δεμιᾷ φροντίδι τιθέμενος, νυνὶ πρὸς τὴν ὁμοίαν τῆς ὁρωμένης ὄ-
ψιν ἀνήνεγκα. τῶν δὴ περὶ αὐτὸν εἰπόντων, ὡς φαντασία τις εἴη
ψυχῆς τὰ μέλλοντα πολλάκις εἴδωλα προτυπούσης, ἐν παρέρ-
γῳ τό τε τὸ ὀφθὲν ποιησάμενος, τίνες καὶ πόθεν εἶεν ἠρώτα. σιω-
πώσης δὲ τῆς χαρικλείας καὶ τοῦ θεαγένους εἰπόντος, ὡς ἀδελφοὶ
καὶ Ἕλληνες, εὖγε ἡ ἑλλὰς ἔφη, τά τε ἄλλα καλοὺς κἀγαθοὺς φέρου-
σα, καὶ γνήσια ἡμῖν καὶ εὔσυμβολα εἰς τὰς ἐπινικίους θυσίας τὰ
ἱερεῖα παρασχοῦσα. ἀλλὰ πῶς οὐχὶ καὶ παῖς ἐτέχθη μοι κατὰ τὴν
ὄψιν γελάσας πρὸς τοὺς παρόντας, εἴπερ τὸν νεανίαν τοῦτον ἀδελ-
φὸν ὄντα τῆς κόρης τε ὁρᾶσθαί μοι μέλλοντα, προειδωλοποιηθῆναι
ὡς φατὲ διὰ τῶν ὀνειράτων ἐχρῆν. καὶ ἀποστρέψας τὸν λόγον εἰς

 τὴν

Gymnosophistae

τὴν Χαρίκλειαν, καὶ τὴν φωνὴν ἑλληνίζων· σπουδάζεται γὰρ
ἡ δὲ ἡ γλῶσσα καὶ παρὰ τοῖς γυμνοσοφισταῖς καὶ βασιλεῦσιν
αἰθιόπων, σὺ δὲ ἔφη ὦ κόρη τί σιγᾷς. οὐδὲν ἀποκριναμένη πρὸς
τὴν πεῦσιν. καὶ ἡ Χαρίκλεια πρὸς τοῖς βωμοῖς ἔφη τῶν θεῶν οἷς
ἱερεῖα φυλαττόμενοι, συνίεμεν, ἐμέ τε καὶ τοὺς ἐμὲ φύντας γνώ-
σεσθε. καὶ ποῦ γῆς εἰσιν οὗτοι πρὸς αὐτὴν ὁ Ὑδάσπης. ἡ δὲ, καὶ
πάρεισιν ἔφη. καὶ πάντως ἱερουργουμένοις παρέσονται. μει-
διάσας οὖν αὖθις ὁ Ὑδάσπης, ὀνειρώττει τῷ ὄντι φησὶν, ἡ ὀνειρο-
γενὴς αὕτη μου θυγάτηρ. ἀπὸ τῆς ἑλλάδος ἐπὶ μέσην μερόην τοὺς
φύντας ἀναπεμφθήσεσθαι φανταζομένη. οὗτοι μὲν οὖν ἀγέσθω-
σαν σὺν ἐπιμελείᾳ καὶ ἀφθονίᾳ τῇ συνήθει τὴν θυσίαν κοσμήσον-
τες. ἀλλὰ τίς οὗτος ὁ πλησίον εὐνούχῳ προσεοικώς. τῶν δή τις ὑ-
πηρετουμένων, εὐνοῦχος ἀληθῶς εἶπεν, ὄνομα Βαγώας. τοῦ ὀροον-
δάτου κτῆμα τὸ τιμιώτατον. ἑπέσθω ἔφη καὶ οὗτος οὐχ ἱερεῖον.
τῶν δὲ ἱερείων θατέρου τῆς κόρης ταύτης φύλαξ. πολλῆς διὰ τὴν
ὥραν προνοίας δεομένης. ὥστε ἁγνὴν ἡμῖν ἄχρι καιροῦ τῆς θυσίας
» φυλαχθῆναι. ἔχει τι ζηλότυπον τὸ εὐνούχων γένος. ὧν γὰρ ἀπεστέ-
ρηνται, τούτων εἰς κώλυμα τοῖς ἄλλοις προβέβληνται. ταῦτα εἰ-
πὼν τοὺς ἄλλους αἰχμαλώτους παριόντας ἐν τάξει, ἐσκόπει τε καὶ
ἀνέκρινε. τοὺς μὲν, δωρούμενος οὓς δούλους ἐξ ἀρχῆς ἐγνώριζεν
ἡ τύχη. τοὺς δὲ εὖ γεγονότας ἐλευθέρους ἀφιείς. δέκα δὴ νέους, κό-
ρας τε ἰσαρίθμους τῶν ἐν ἀκμῇ καὶ ὥρᾳ διαπρεπόντων ἐπιλεξά-
μενος, ἅμα τοῖς περὶ θεαγένην, ἐφ᾽ ὁμοίαν τὴν χρείαν ἀνάγε-
σθαι προσέταττε. τοῖς τε ἄλλοις ἅπασιν ὧν ἕκαστος ἐδεῖτο χρημα-
τίσας, τέλος πρὸς τὸν ὀροονδάτην μετάκλητον καὶ φοράδην ἀ-
χθέντα, ἐγὼ ἔφη τὰς αἰτίας τοῦ πολέμου συνῃρηκὼς, οὐ πάσχω
τὸ τῶν πολλῶν πάθος. οὐδὲ ἐπεξάγω τὴν τύχην πρὸς πλεονε-
ξίαν. οὐδὲ εἰς ἄπειρον ἐκτείνω τὴν ἀρχὴν διὰ τὴν νίκην, ἀλλ᾽ ὅροις
ἀρκοῦμαι οἷς ἔθετο ἐξ ἀρχῆς ἡ φύσις. τὴν αἴγυπτον ἀπὸ τῆς αἰθιο-
πίας τοῖς καταράκτοις ἀποκρίνασα. ὥστε ἔχων δι᾽ ἃ κατῆλθον,
ἄνειμι σέβων τὸ δίκαιον. σὺ δὲ εἰ περιγένοιο, τῶν ἐξ ἀρχῆς σατρά-
πευε. καὶ ἐπίστελλε πρὸς βασιλέα τῶν περσῶν, ὡς ἀδελφὸς ὁ
σὸς Ὑδάσπης, τῇ μὲν χειρὶ κεκράτηκε. τῇ δὲ γνώμῃ πάντα σοι
τὰ

φοράδην ἀχθέντα



τὰ σὰ μεθῆκε. φιλίαν πρὸς σὲ βουλόμενος. ἀσπαζόμενος χρημά- «
των ἐν ἀνθρώποις τὸ κάλλιστον. καὶ μάχην εἰσαῦθις ἄρχοιο μὴ πα- «
ραιτούμενος. συηναίοις δὲ, τοὺς τεταγμένους φόρους εἰς «
δέκα ἐτῶν αὐτός τε ἀφίημι. καὶ σοὶ ποιεῖν οὕτως ἐντέλλομαι. τού-
των εἰρημένων, ὑπὸ μὲν τῶν παρόντων ἀστῶν τε ὁμοίως καὶ στρα-
τιωτῶν, εὐφημία τε ἤρθη καὶ κρότος ἐπὶ πλεῖστον ἐξάκουστος. ὁ δὲ
ὀροονδάτης τὼ χεῖρε προτείνας, καὶ τὴν δεξιὰν ἐπὶ θατέραν πα-
ραλλάξας, κύψας προσεκύνησε. πρᾶγμα οὐ νενομισμένον παρὰ
πέρσαις, βασιλέα ἕτερον τούτῳ τῷ τρόπῳ θεραπεύειν. καὶ ὦ πα-
ρόντες, οὐ δοκῶ μοι ἔφη παραβαίνειν τὸ πάτριον εἰς βασιλέα τὸν
σατραπείαν μοι δωρούμενον. οὐδὲ παρανομεῖν τὸν ἐννομώτατον ἀν-
θρώπων προσκυνῶν. ἀναιρεῖν μὲν δυνάμενον, τὸ ζῆν δὲ φιλανθρω-
πευόμενον. καὶ δεσπόζειν μὲν κεκληρωμένον, σατραπεύειν δὲ
μοι παρεχόμενον. ἐφ᾽ οἷς εἰ μὲν περισωθείην, αἰθίοψί τε καὶ πέρσαις,
εἰρήνην ἐγγυῶμαι βαθεῖαν καὶ φιλίαν ἀΐδιον. καὶ συη-
ναίοις τὰ προστεταγμένα ἐμπεδώσειν. εἰ δέ τι
πάθοιμι, θεοὶ τῶν εἰς ἐμὲ καλῶν Ὑδάσ-
πην τε, καὶ οἴκου τοῦ Ὑδάσπου καὶ
γένος ἀμοιβοῖντο.

# ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΔΕΚΑΤΟΝ.

Τὰ μὲν δὴ περὶ τὴν συήνην ἐπὶ τοσόνδε πραχθέντα εἰρήσθω. παρὰ τοσοῦτον μόνον ἐλθοῦσαν κινδύνου, πρὸς τοσαύτην δὲ εὐπάθειαν ἀθρόον διὰ εὐνομίαν ἀνδρὸς μεταλαβοῦσαν. ὁ δὲ ὑδάσπης τὸ πολὺ τοῦ στρατοῦ προεκπέμψας, καὶ αὐτὸς ἐπὶ τὴν αἰθιοπίαν ἐξήλαυνε. πάντων μὲν συηναίων, πάντων δὲ περσῶν ἄχρι πλείστου σὺν εὐφημίαις προεκπεμπόντων. τὰ μὲν οὖν πρῶτα ἐχώρει τῆς ὄχθης ἀεὶ τοῦ νείλου καὶ παραποταμίας ἐχόμενος. ἐπεὶ δὲ εἰς τοὺς καταρράκτας ἀφίκετο, θύσας τῷ νείλῳ καὶ θεοῖς ὁρίοις, ἐκτραπεὶς τῆς μεσογαίας μᾶλλον εἴχετο. καὶ εἰς τὰς φίλας ἐλθὼν, ἡμέρας μέν που δύο διαναπαύει τὸν στρατόν. αὖθις δὲ τὸ πολὺ τοῦ πλήθους προαποστείλας, προεκπέμψας δὲ καὶ τοὺς αἰχμαλώτους, αὐτὸς ἐπιμείνας, τά τε τείχη τῆς πόλεως ὠχύρωσε. καὶ φρουρὰν ἐγκαταστήσας, ἐξώρμησε. δύο δὲ ἱππέας ἐπιλέξας οὓς ἔδει προλαβόντας, καὶ κατὰ πόλιν ἢ κώμην τοὺς ἵππους ἀμείβοντας σὺν τάχει τὸ προστεταγμένον ἀνύειν, ἐπέστελλε τοῖς κατὰ μερόην τὴν νίκην εὐαγγελιζόμενος. πρὸς μὲν τοὺς σοφοὺς οἱ γυμνοσοφισταὶ κέκληνται, συνεδροί τε καὶ σύμβουλοι τῶν πρακτέων τῷ βασιλεῖ γιγνόμενοι, τοιάδε.

» τῷ θειοτάτῳ συνεδρίῳ, βασι-
» λεὺς ὑδάσπης. τὴν νίκην ὑμῖν τὴν κατὰ περσῶν εὐαγγελίζομαι,
» οὐκ ἀλαζονευόμενος τὸ κατόρθωμα. τὸ γὰρ ὀξύρροπον τῆς τύχης
» ἱλάσκομαι. ἀλλὰ τὴν προφητείαν ὅμως ἀεί τε καὶ νῦν ἐπα-
» ληθεύουσαν, τῷ γράμματι προσδεξιούμενος. ἥκειν οὖν ὑμᾶς εἰς
» τὸν εἰωθότα τόπον καὶ παρακαλῶ καὶ δυσωπῶ, τὰς χαριστη-
» ρίους τῶν ἐπινικίων θυσίας συνιερουργήσοντας, τῇ παρουσίᾳ τῷ κοινῷ τῶν
» αἰθιόπων ἀποφανοῦντας. πρὸς δὲ τὴν γυναῖκα περσίνναν οὕτω. νι-
» κῶν ἡμᾶς ἴσθι. καὶ ὁ πότερόν ἐστι παρὰ σοὶ σώζεσθαι. πολυτελεῖς δὴ
» τὰς χαριστηρίους ὑμῖν πομπάς τε καὶ θυσίας εὐτρέπιζε. καὶ τοὺς
» σοφοὺς ἅμα πρὸς τὰς ἡμῶν ἐπεσταλμένοις συμπαρακαλέσασα εἰς
» τὴν ἀφιερωμένην τοῖς πατρίοις ἡμῶν θεοῖς, ἡλίῳ τε καὶ σελήνῃ καὶ

Διονύσῳ



διονύσῳ πρὸ τοῦ ἄστεως ὀργάδα σύναγε. τούτων κομισθέντων τῶν γραμμάτων, ἡ μὲν περσίννα, τοῦτ᾽ ἦν ἄρα ἔφη τὸ ἐνύπνιον ὃ κατὰ τὴν νύκτα ταύτην ἐθεώμην. κύειν τε με οἰομένην, καὶ τίκτειν ἅμα. καὶ τὸ γεννηθὲν εἶναί μοι θυγατέρα πρὸς ἀκμὴν ἀθρόον ὡραίαν. διὰ γὰρ τῶν ὠδίνων ὡς ἔοικε, τὰς κατὰ τὸν πόλεμον ἀγωνίας. διὰ δὲ τῆς θυγατρὸς, τὴν νίκην αἰνιττομένου τοῦ ὀνείρατος. ἀλλὰ τὴν πόλιν ἐπιόντες τῆς εὐαγγελίας ἐμπλήσατε. καὶ οἱ μὲν πρόδρομοι τὸ προστεταγμένον ἔπραττον. καὶ τάς τε κεφαλὰς τῷ νειλῴῳ λωτῷ καταστέψαντες, καὶ φοινίκων πτόρθους ταῖς χερσὶ κατασείοντες, τὰ ἐπισημότερα τῆς πόλεως καθιππεύοντο. τὴν νίκην καὶ μόνῳ τῷ σχήματι δημοσιεύοντες. ἐμπέπληστο γοῦν αὐτίκα χαρᾶς ἡ μερόη. νύκτωρ τε καὶ μεθημέραν χοροὺς καὶ θυσίας κατὰ γένη, καὶ ἀγυιὰς καὶ φατρίας τοῖς θεοῖς ἀναγόντων, καὶ τὰ τεμένη καταστεφόντων. οὐκ ἐπὶ τῇ νίκῃ τοσοῦτον ὅσον ἐπὶ τῇ σωτηρίᾳ τῇ τοῦ ὑδάσπου θυμηδούντων. ἀνδρὸς διὰ εὐνομίαν τε ἅμα καὶ τὸ πρὸς τοὺς ὑπηκόους ἤπιόν τε καὶ ἥμερον, πατρικόν τινα ἔρωτα τοῖς δήμοις ἐνστάξαντος. ἡ δὲ περσίννα, βοῶν τε ἀγέλας καὶ ἵππων καὶ προβάτων, ὀρτύγων τε καὶ γρυπῶν, καὶ ἄλλων ζώων παντοίων εἰς τὴν πρὸ ἄστεως ὀργάδα προπέμψασα, τὰ μὲν, ὥστε ἐξ ἑκάστου γένους ἑκατόμβην εἰς τὴν θυσίαν εὐτρεπίσαι. τὰ δὲ, ὥστε εἰς εὐωχίαν εἶναι τοῖς δήμοις, τέλος καὶ παρὰ τοὺς γυμνοσοφιστὰς ἐλθοῦσα, οἴκησιν τὸ πανίον πεποιημένους, τό, τε παρὰ τοῦ ὑδάσπου γράμμα ἐνεχείριζε, καὶ συμπαρεκάλει πειθηνίαι τε ἀξιοῦντι τῷ βασιλεῖ καὶ δοῦναι καὶ αὐτῇ τὸ μέρος τὴν χάριν, κόσμον τῆς πανηγύρεως τῇ παρουσίᾳ γινομένους. οἱ δὲ ὀλίγον ἐπιμεῖναι κελεύσαντες, καὶ εἰς τὸ ἄδυτον παρελθόντες, εὔχεσθαι ὡς ἔθος, παρὰ θεῶν τὸ πρακτέον πυνθανόμενοι, μικρὸν διαλιπόντες ἐπανῆλθον. καὶ τῶν ἄλλων σιγώντων, ὁ προκαθηγητὴς τοῦ συνεδρίου σιμίθρης, ὦ περσίννα ἔλεγεν, ἡμεῖς μὲν ἥξομεν. οἱ θεοὶ γὰρ ἐπιτρέπουσι. θόρυβον δέ τινα καὶ ταραχὴν προμηνύει τὸ δαιμόνιον, ἐσομένην παρὰ τὰς θυσίας. εἰς ἀγαθὸν δὲ καὶ ἡδὺ τὸ τέλος καταστρέφουσαν. ὡς μέλους μὲν ὑμῶν τοῦ σώματος ἢ μέρους τῆς βασιλείας ἀπολωλότος, τοῦ πεπρωμένου δὲ, εἰς τε τὸ ζητούμενον ἀναφαίνοντος. καὶ ἡ περσίννα, τά τε φοβερὰ ἔφη καὶ πάντα τὴν

πρὸς τὸ κρεῖττον ἕξει μεταβολήν, ὑμῶν προτρεπόντων. ἀλλ' ὅταν αὖθις μάχην προσάγοντα Ὑδάσπην, σημανῶ πρὸς ὑμᾶς. οὐδὲν δεῖ ἔφη σημαίνειν ὁ Σισιμίθρης. ἥξει γὰρ αὔριον ὄρθριος. καὶ τοῦτό σοι γράμμα μηνύσει μικρὸν ὕστερον. καὶ ἐγίνετο οὕτως. ἄρτι γὰρ ἐπανιούσῃ τῇ Περσίνῃ, καὶ τοῖς βασιλείοις πλησιαζούσῃ γράμμα τοῦ βασιλέως ἱππεὺς ἐνεχείριζε. εἰς τὴν ὑστεραίαν ἔσεσθαι τὴν παρουσίαν αὐτοῦ σημαῖνον. κήρυκες οὖν αὐτίκα διήγγελλον τὴν γραφήν. μόνοις μὲν ἄρρεσιν ἐγγινομένην τὴν ὑπάντησιν ἐπιτρέποντες. γυναιξὶ δὲ ἀπαγορεύοντες. ἅτε γὰρ τοῖς καθαρωτάτοις καὶ φανοτάτοις θεῶν ἡλίῳ τε καὶ σελήνῃ τῆς θυσίας τελουμένης, ἐπιμίγνυσθαι τὸ θῆλυ γένος οὐκ ἐνενόμιστο. τοῦ μή τινα καὶ ἀκούσιον ποτὲ γενέσθαι μολισμὸν τοῖς ἱερείοις. μόνη δὲ παρεῖναι γυναικῶν τῇ ἱερείᾳ τῆς σεληναίας ἐπετέτραπτο. καὶ ἦν ἡ Περσίνα. τοῦ μὲν ἡλίου τοῦ βασιλέως. τῆς σεληναίας δὲ τῆς βασιλίδος ἐκ νόμου καὶ ἔθους ἱερωμένων. ἔμελλε δὲ ἄρα ἡ Χαρίκλεια παρέσεσθαι τοῖς δρωμένοις. οὐχ ὡς θεωρός. ἀλλ' ἱερεῖον ἐσομένη τῆς σεληναίας. ἀκατάσχετος οὖν ἡ ὁρμὴ κατειλήφει τὴν πόλιν. καὶ οὔτε τὴν προηγορευμένην ἡμέραν ἀναμείναντες, ἀφ' ἑσπέρας ἐπεραιοῦντο ἐπὶ τὸν Ἀσταβόραν ποταμόν. οἱ μὲν, ἐπὶ τὸ ζεῦγμα. οἱ δὲ, πορθμείοις ἐκ καλάμων πεποιημένοις. ἃ δὴ πλεῖστα καὶ ἐπὶ πολλὰ μέρη τῆς ὄχθης ἐσάλευε, τοῖς πορρωτέρω γεφύρας κατοικοῦσιν ἐπιτόμως διακονοῦντα τὰς περαιώσεις. ἔστι δὲ ὀξυδρομώτατα. τῆς τε ὕλης ἕνεκα, καὶ ἄχθος. πλὴν ὅτι δύο καὶ τρεῖς ἄνδρας οὐκ ἀνεχόμενα. κάλαμος γάρ ἐστι δίχα τετμημένος. καὶ τομὴ ἑκάστη, σκαφεῖον παρεχόμενος. ἡ γὰρ δὴ Μερόη μητρόπολις οὖσα τῶν Αἰθιόπων, τὰ μὲν ἄλλα ἐστὶ νῆσος. τριγωνίζουσα ποταμοῖς ναυσιπόροις. τῷ τε Νείλῳ καὶ τῷ Ἀσταβόρᾳ καὶ τῷ Ἀσασόβᾳ περιρρεομένη. τοῦ μὲν ἐπὶ κορυφὴν ἐμπίπτοντος τοῦ Νείλου. καὶ πρὸς ἑκάτερα σχιζομένου. τῶν ἑτέρων δὲ δυοῖν ἐπὶ πλευρὰν ἑκατέραν θατέρου παραμειβόντων, καὶ αὖθις ἀλλήλοις συμπιπτόντων. καὶ εἰς ἕνα τὸν Νεῖλον, τό τε ῥεῦμα, τοὔνομα ἐκνικωμένων. εὖρος δὲ οὖσα μεγίστη καὶ ἤπειρον ἐν νήσῳ σοφιζομένη, τρισχιλίοις γὰρ τὸ μῆκος, εὖρος δὲ χιλίοις περιγράφεται σταδίοις. ζώων δὲ παμμεγέθων. τῶν τε ἄλλων καὶ ἐλεφάντων ἐστὶ τροφός. καὶ δένδρα πλάττουσα. ἢ κατ' ἄλλας φέρειν ἀγαθή. ἐκτὸς γὰρ ὅτι φοίνικές τε ὑπερμήκεις, καὶ τῶν βαλάνων εὐστο-

χοί τε

Astaboras · fl.

Meroes descriptio

Nilus
Astaboras fl.
Asasobas



χοί τε καὶ ὑπέρογκοι, σῖτοί τε καὶ κριθῶν στάχυες, τὴν μὲν αὔξησιν, ὥστε καὶ ἱππέα πάντα καὶ καμηλίτην ἔστιν ὅτε καλύπτειν. τὸν δὲ καρπὸν, ὥστε εἰς τριακόσια τὸ καταβληθὲν ἐκφέρειν. καὶ τὸν κάλαμον φύει τοιοῦτον, οἷος εἴρηται. τό τε οὖν διὰ πάσης νυκτὸς, ἄλλοι κατ' ἄλλον τὸν ποταμὸν διαπεραιωθέντες. προαπαντῶντες καὶ ἴσα καὶ θεὸν εὐφημοῦντες ἐδεξιοῦντο τὸν Ὑδάσπην. οὗτοι μὲν δὴ καὶ πορρωτέρω. μικρὸν δὲ καὶ πρὸ τῆς ὀργάδος ἐντυχόντες οἱ γυμνοσοφισταὶ, δεξιάς τε ἐνέβαλλον, καὶ φιλήμασιν ἠσπάζοντο. μετὰ δὲ τούτους ἡ Περσίνα, τοῦ νεώ τε ἐν προπύλοις καὶ περιβόλων ἐντὸς, κἀπειδὴ προσπεσόντες τοὺς θεοὺς προσεκύνησαν, καὶ τὰς χαριστηρίους εὐχὰς ὑπὲρ τῆς νίκης καὶ σωτηρίας ἐτέλεσαν, ἐκτὸς περιβόλων ἐλθόντες, ἐπὶ τὴν δημοτελῆ θυσίαν ἐτρέποντο. καὶ τὴν προκατεσκευασμένην τῷ πεδίῳ σκηνὴν προκαθίσαντες, ἣν τέσσαρες ἐπλήρουν νεότμητοι κάλαμοι. σχήματος τετραπλεύρου γωνίαν ἑκάστην ἑνὸς καλάμου κίονος δίκην ἐρείδοντος. καὶ ἐπὶ τὰς ἄκρας εἰς ἀψίδα περιαγομένου, καὶ τοῖς ἄλλοις ἅμα φοινίκων ἔρνεσι συμπίπτοντος, καὶ τὸ ὑποκείμενον ὀροφοῦντος. καθ' ἑτέραν δὲ σκηνὴν πλησίον ἐφ' ὑψηλῆς μὲν κρηπῖδος, θεῶν τε ἐγχωρίων ἀγάλματα καὶ ἡρώων εἰκόνες προὔκειντο. Μέμνονός τε καὶ Περσέως καὶ Ἀνδρομέδας. οὓς γενάρχας ἑαυτῶν οἱ βασιλεύοντες Αἰθιόπων νομίζουσι. χθαμαλώτεροι δὲ καὶ οἷον ὑπὲρ κορυφῆς τὰ θεῖα πεποιημένοι, ἐπὶ τῆς δευτέρας κρηπῖδος, οἱ γυμνοσοφισταὶ ἐπεκάθηντο. τούτων δὲ ἑξῆς ὁπλιτῶν φάλαγξ εἰς τὴν κύκλῳ περιεστοίχιστο. ταῖς ἀσπίσιν ὀρθουμέναις καὶ ἀλλήλαις ἐχομέναις ἐπερειδομένη. τό τε πλῆθος ἐξόπισθεν ἀναστέλλουσα, καὶ τὸ μέσον ἀνενόχλητον τοῖς ἱερουργουμένοις παρασκευάζουσα. μικρὰ δὲ προδιαλεχθεὶς πρὸς τὸν δῆμον ὁ Ὑδάσπης, καὶ τήν τε νίκην καὶ τὰ ὑπὲρ τοῦ κοινοῦ κατορθωθέντα καταγγείλας, ἔχεσθαι τῆς θυσίας τοῖς ἱεροποιοῖς ἐκέλευε. τριῶν δὴ βωμῶν τῶν πάντων εἰς ὕψος ἠρμένων, καὶ τῶν μὲν δυοῖν κεχωρισμένων ἡλίῳ τε καὶ σελήνῃ, συνεζευγμένων. τοῦ τρίτου δὲ τῷ Διονύσῳ καθ' ἕτερον μέρος ἰδιάζοντος, τούτῳ μὲν παντοῖα ζῷα ὑπέσφαττον. διὰ τὸ πάνδημον οἶμαι τοῦ θεοῦ καὶ πᾶσι κεχαρισμένον. ἐκ ποικιλίων τε καὶ παντοίων ἱλασκόμενοι. ἐπὶ δὲ τῶν ἑτέρων ἡλίῳ μὲν, τέθριππον

λευκόν

ὀργάδος

Memnon
Perseus
Andromeda

λευκῶν. τῇ σελήνῃ δὲ ξυνωρίδα βοῶν διὰ τὸ περίγειον ὡς ἔοι-
κε τῆς θεοῦ, τοὺς γειτονίας συνεργοὺς καθιερούντων. καὶ ἔτι τούτων
δρωμένων βόησις ἀθρόον ἠγείρετο συμμιγής τε καὶ ταραχώδης.
καὶ οἷα εἰκὸς ὑπὸ πλήθους ἀνθρώπων συγκλύδων. τὰ πάτρια
τελείσθω τῶν περιεστώτων ἐκβοώντων. ἡ νενομισμένη θυσία λοιπὸν
ὑπὲρ τοῦ ἔθνους τελείσθω. αἱ ἀπαρχαὶ τοῦ πολέμου τοῖς θεοῖς προ-
σαγέσθωσαν. συνεὶς οὖν ὁ Ὑδάσπης ὅτι τὴν ἀνθρωποκτονίαν ἐπι-
ζητοῦσιν, ἣν ἐπὶ ταῖς κατὰ τῶν ἀλλοφύλων νίκαις μόναις ἐκ τῶν ἁλι-
σκομένων ἐπιτελεῖν εἰώθεισαν, κατασείσας τῇ χειρί, καὶ αὐτίκα τὸ
αἰτούμενον ἔσεσθαι τοῖς νεύμασι σημήνας, τοὺς εἰς τοῦτο πάλαι ἀπο-
κεκληρωμένους αἰχμαλώτους ἄγεσθαι προσέταττεν. ἤγοντο οὖν οἵ τε
ἄλλοι, καὶ ὁ Θεαγένης καὶ ἡ Χαρίκλεια. τῶν τε δεσμῶν λελυμένοι καὶ
κατεστεμμένοι. κατηφεῖς μὲν οἷα εἰκὸς οἱ ἄλλοι καὶ ὁ Θεαγένης δὲ
ἐπ' ἔλαττον. ἡ Χαρίκλεια δὲ καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μειδιῶν-
τι, συνεχές τε καὶ ἀτενὲς εἰς τὴν Περσίνναν ἀφορῶσα. ὥστε κἀκεί-
νην παθεῖν τι πρὸς τὴν ὄψιν. καὶ βύθιόν τι στενάξασαν, ὦ ἄνερ
εἰπεῖν. οἵαν κόρην εἰς τὴν θυσίαν ἐπιλέξαι. οὐκ οἶδα ἰδοῦσα τοιοῦτον
κάλλος. ὡς δὲ καὶ εὐγενὲς τὸ βλέμμα. ὡς δὲ καὶ μεγαλόφρων πρὸς
τὴν τύχην. ὡς δὲ ἐλεεινὴ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς. εἰ περιεῖναι
συνέβαινεν ἡμῖν τὸ ἅπαξ κυηθὲν καὶ κακῶς ἀπολωλὸς θυγάτριον,
τάχ' ἴσως που ταύτῃ τοῖς ἔτεσιν ἐξισάζετο. ἀλλ' εἴθε γε ὦ ἄνερ γένοιτο
πως ἐξελέσθαι τὴν κόρην, πολλὴν ἂν ἔχον παραψυχήν, διακονου-
μένης μοι τοιαύτης. ἴσως δέ που καὶ Ἑλληνίς ἐστιν ἡ ἀθλία. τὸ γὰρ
πρόσωπον, οὐκ Αἰγυπτίας. Ἑλληνὶς μὲν ἔφη πρὸς αὐτὴν ὁ Ὑδά-
σπης. καὶ πάτρων οὓς λέξει τὸ παρόν. δεῖξαι γὰρ οὐκ ἂν ἔχοι πό-
θεν. καίτοι γε ἐπηγγέλλετο. ῥυσθῆναί γε μὴν τῆς θυσίας ἀδύνατον.
καίτοι γε ἐβουλόμην. πεπονθώς τι καὶ αὐτὸς οὐκ οἶδ' ὅπως καὶ κα-
τελεῶν τὴν κόρην. ἀλλ' οἶσθα ὡς ἄρρενα μὲν τῷ ἡλίῳ. θήλειαν δὲ
τῇ σελήνῃ καὶ προσάγειν τε καὶ ἱερουργεῖν ὁ νόμος βούλεται. ταύ-
της δὴ πρώτης αἰχμαλώτου μοι προσαχθείσης. καὶ εἰς τὴν νῦν θυ-
σίαν ἀποκληρωθείσης, ἀπαραίτητος ἂν γένοιτο πρὸς τὸ πλῆθος ἡ
ὑπέρθεσις. ἓν μόνον ἂν βοηθήσειεν, εἰ τῆς ἐσχάρας ἣν οἶσθα ἐπιβᾶσα
μὴ ἁγνεύουσά πως ὁμιλίας τῆς πρὸς ἄνδρας ἐλεγχθείη καθαρὰν
εἶναι

οἶδα ἰδοῦσα

ἐξισάζετο



εἶναι τὴν προσκομιζομένην τῇ θεῷ, καθάπερ οὖν καὶ τὸν ἥλιον τοῦ
νόμου κελεύοντος. τὴν δὲ τοῦ Διονύσου θυσίας ἀδιαφοροῦντος.
ἀλλ' ὅρα εἰ προσομιλήσασα φωραθείη πρὸς τῆς ἐσχάρας, μὴ οὐκ εὐπρε-
πὲς ἡ τὴν τοιάνδε εἰς τὸν οἶκον εἰσδέξασθαι. καὶ ἡ Περσίννα φωρα-
θείη ἔφη καὶ σωθείη μόνον. αἰχμαλωσία καὶ πόλεμος καὶ τοσοῦτος
τῆς ἐνεγκούσης ἐξοικισμός, ἀνέγκλητον ποιεῖ τὴν προαίρεσιν. καὶ
πλέον ἐπὶ ταύτης ἐν τῷ κάλλει τῆς καθ' ἑαυτῆς βίαν, εἰ καί τι τοιοῦ-
τον ὑπέστη προδιαγούσης. καὶ ἔτι τοιαῦτα λεγούσης, καὶ ἅμα ὑποδα-
κρυούσης, λανθάνειν τε τοὺς παρόντας πειρωμένης, ἄγεσθαι τὴν ἐσχά-
ραν ὁ Ὑδάσπης ἐκέλευσε. παιδάρια τοίνυν ἀνήβα συλλαβόντες
ἐκ τοῦ πλήθους οἱ ὑπηρέται, μόνοις γὰρ τοῖς τοιούτοις ἀβλαβῶς θιγ-
γάνειν ἔνεστιν, ἐκόμιζόν τε ἐκ τοῦ νεώ, καὶ εἰς μέσους προὐτίθεσαν.
ἐπιβαίνειν ἑκάστοις τῶν αἰχμαλώτων κελευόντων. τῶν δέ, ὅστις ἐπι-
βαίη παραυτίκα τὴν βάσιν ἐφλέγετο. οὐδὲ τὴν πρώτην καὶ πρὸς
ὀλίγον ψαῦσιν ἐνίων ὑποστάντων. χρυσοῖς μὲν ὀβελίσκοις τῆς ἐσχά-
ρας διαπεπλεγμένης. πρὸς τοῦτο δὲ ἐνεργείας τετελεσμένης ὥστε
πάντα τὸν μὴ καθαρὸν καὶ ἄλλως ἐπιορκοῦντα, καταίθειν. τῶν δὲ
ἀπεναντίων, ἀλύπως προσίεσθαι τὴν βάσιν. τούτους μὲν δή, τῷ
τε Διονύσῳ καὶ ἄλλοις θεοῖς ἀπεκλήρουν. πλὴν δύο που καὶ τριῶν
ἑλληνίδων. αἳ τῆς ἐσχάρας ἐπιβᾶσαι παρθενεύειν ἐγνωρίσθησαν. ἐπεὶ
δὲ καὶ Θεαγένης ἐπιβὰς καθαρεύων ἐφαίνετο θαυμασθεὶς πρὸς ἁ-
πάντων, τά τε ἄλλα τοῦ μεγέθους καὶ κάλλους, καὶ ὅτι περ οὕτως
ἀκμαῖος ἀνὴρ ἀπείρατος εἴη τῶν ἀφροδισίων, πρὸς τὴν ἡλιακὴν
ἱερουργίαν ηὐτρεπίζετο. καὶ λέγων ἠρέμα πρὸς τὴν Χαρίκλειαν τὰ-
πίχειρα παρ' Αἰθίοψι τῶν καθαρῶς βιούντων θυσίαι καὶ σφαγαί. τὰ
ἔπαθλα τῶν σωφρονούντων. ἀλλ' ὦ Χαρίκλεια. τί οὐχὶ φράζεις σαυ-
τήν. ποῖον ἀναμένεις ἔτι καιρόν, ἢ τὸν ἕως ἂν ἀποδειροτομήσῃ τις.
λέγε ἱκετεύω καὶ μήνυε τὴν σαυτῆς τύχην. ἴσως μὲν κἀμὲ περι-
σώσεις εἴ τις ποτὲ εἴη γνωρισθεῖσα καὶ ἐξαιτήσασα. εἰ δ' ἄρα μὴ τοῦ-
το, σύ γε μὴν προδήλως διαδράσῃς τὸν κίνδυνον. αὔταρκες δὲ
τοῦτό μοι μαθόντι καὶ τελευτᾶν. ἡ δέ, πλησίον ὁ ἀγὼν εἰποῦσα
καὶ νῦν ταλαντεύει καθ' ἡμᾶς ἡ μοῖρα, μηδὲ κελεύσασα τοὺς ἐπιτε-
ταγμένους ἀναμεῖναι, ἐνέδυ τε τὸν ἐκ Δελφῶν ἱερὸν χιτῶνα ἐκ

F πηριδίου

πηριδίου τινὸς ὃ ἐπεφόρει προκομίσασα. χρυσοϋφῆ τε ὄντα καὶ ἀκτῖσι κατάπαστον. τήν τε κόμην ἀνεῖσα καὶ οἷον κάτοχος φανεῖσα, προσέδραμέ τε καὶ ἐφήλατο τῇ ἐσχάρᾳ. καὶ εἱστήκει πολὺν χρόνον ἀπαθής. τότε κάλλει καὶ πλέον ἐκλάμποντι καταστράπτουσα, περίοπτος ἐφ' ὑψηλοῦ πᾶσι γεγενημένη. καὶ πρὸς τοῦ σχήματος τῆς στολῆς, ἀγάλματι θεοῦ πλέον, ἢ θνητῇ γυναικὶ προσεικαζομένη. θάμβος οὖν ἅμα πάντας κατέσχε. καὶ βοὴν μίαν μὲν ἄσημον καὶ ἄναρθρον, δηλωτικὴν δὲ τοῦ θαύματος ἀπηχησάντων τῶν τε ἄλλων ἀγασθέντων, καὶ πλέον ὅτι κάλλος οὕτως ὑπὲρ ἄνθρωπον, καὶ τὸ ὥριον τῆς ἀκμῆς ἄθικτον ἐτήρει. καὶ ἔχειν ἐνεδείκνυτο σωφροσύνῃ πλέον τῇ ὥρᾳ κοσμούμενον, ἐλύπει μὲν οὖν καὶ ἄλλους τῶν ὄχλων ἁρμόδιος τῇ θυσίᾳ φανεῖσα. καὶ δεισιδαιμονοῦντες ὅμως, ἥδιστα ἄν, εἶδον ἔκ τινος μηχανῆς περισωθεῖσαν. πλέον δὲ ἠνία τὴν Περσίνναν, ὥστε καὶ εἰπεῖν πρὸς τὸν Ὑδάσπην, ὡς ἀθλία καὶ δυστυχὴς ἡ κόρη σὺν πολλῷ τῷ οὐκ εἰς καιρὸν τῇ σωφροσύνῃ σεμνυνομένη. τὸν θάνατον τῶν πολλῶν τούτων ἐπαίνων ἀλλαττομένη. ἀλλὰ τί ἂν γένοιτο ἔφη ὦ ἄνερ. ὁ δὲ μάτην ἔφη ἐνοχλεῖς, τὴν οἰκτείρουσα τὴν οὐ σωζομένην. ἀλλὰ θεοῖς ὡς ἔοικε διὰ τὸ ὑπερβάλλον τῆς φύσεως ἀρχῆθεν φυλαττομένην. ἀλλὰ καὶ ἀποστρέψας τὸν λόγον πρὸς τοὺς γυμνοσοφιστάς, ἀλλ' ὦ σοφώτατοι ἔφη. πάντων ηὐτρεπισμένων, τί οὐχὶ κατάρχετε τῶν ἱερῶν. καὶ ὁ Σισιμίθρης εὐφήμησον ἀπεκρίνατο ἑλληνίζων ὥστε μὴ τὸ πλῆθος ἐπαΐειν. ἱκανῶς γὰρ καὶ μέχρι τούτων ὄψιν τε καὶ ἀκοὴν ἐχράνθημεν. ἀλλ' ἡμεῖς μὲν εἰς τὸν νεὼν μεταστησόμεθα. θυσίαν οὕτως ἔκθεσμον τὴν δι' ἀνθρώπων, οὔτε αὐτοὶ δοκιμάζοντες, οὔτε προσίεσθαι τὸ θεῖον νομίζοντες. ὡς εἴθε γε ἦν καὶ τὰς διὰ τῶν ἄλλων ζώων θυσίας κεκωλῦσθαι. μόναις ταῖς δι' εὐχῶν καὶ ἀρωμάτων καθ' ἡμέτερον νόμον ἀρκουμένων. σὺ δὲ ὑπομένων, ἐπάναγκες γὰρ βασιλεῖ καὶ ἄκριτόν ἐστιν ὅτε πλήθους ὁρμὴν θεραπεύειν, ἐπιτέλει τὴν οὐκ εὐαγῆ μὲν ταύτην θυσίαν. διὰ δὲ τὸ προκατειληφὸς τοῦ αἰθιοπικοῦ νόμου πάτριον ἀπαραίτητον. καθαρσίων εἰσαῦθις δεησόμενος. ἴσως δὲ καὶ οὐ δεησόμενος. οὐ γάρ μοι δοκεῖ πρὸς τέλος ἥξειν ἡ δὲ ἡ θυσία, τοῖς τε ἄλλοις ἐκ τοῦ θείου συμβόλοις τεκμαιρομένῳ, καὶ τῷ περιλάμποντι





φωτὶ τοὺς ξένους, ὑπερμαχεῖν τινὰ τῶν κρειττόνων διασημαίνοντι. καὶ ταῦτα εἰπὼν ἅμα καὶ τοῖς ἄλλοις συνέδρους, ἀνίστατο καὶ πρὸς τὴν μετάστασιν ἐρρυθμίζετο. ἀλλ' ἥ τε Χαρίκλεια καθήλετο ἀπὸ τῆς ἐσχάρας. καὶ προσδραμοῦσα προσπίπτει τε τοῖς γόνασι τοῦ Σισιμίθρου, τῶν ὑπηρετῶν παντοίως ἐπεχόντων. καὶ τὴν ἱκεσίαν, παραίτησιν εἶναι τοῦ θανάτου νομιζόντων. καὶ ὦ σοφώτατοι ἔλεγε. μικρὸν ὑπομείνατε. δίκη γάρ μοι καὶ κρίσις πρόσκειται πρὸς τοὺς βασιλεύοντας. ὑμᾶς δὲ μόνους καὶ τοῖς τοσούτοις δικάζειν πυνθάνομαι. καὶ τὸν περὶ ψυχῆς ἀγῶνά μοι διαιτήσατε. σφαγιασθῆναι γάρ με θεοῖς οὔτε δυνατὸν οὔτε δίκαιον εἶναι μαθήσεσθε. προσήκαντο ἄσμενοι τὰ εἰρημένα. καὶ ὦ βασιλεῦ ἔφασαν. ἀκούεις τῆς προκλήσεως καὶ ἃ προΐσχεται ἡ ξένη. γελάσας οὖν ὁ Ὑδάσπης καὶ ποία δίκη φησίν. ἢ πόθεν ἐμοὶ καὶ ταύτῃ. προφάσεως δὲ ἐκ ποίας, ἢ ποίων ἴσων ἀναφαινομένη. καὶ ὁ Σισιμίθρης αὐτὰ ἔφη δηλώσει τὰ λεχθησόμενα. καὶ οὐκ ἄν, δόξειεν ἔφη τὸ πρᾶγμα οὐ κρίσις, ἀλλ' ὕβρις, εἰ πρὸς τὴν αἰχμάλωτον βασιλεὺς ὤν, δικάζομαι. τὰς ὑπεροχὰς οὐ δυσωπεῖ τὸ δίκαιον ἀπεκρίνατο πρὸς αὐτὸν ὁ Σισιμίθρης. ἀλλ' εἷς ἐστιν ὁ βασιλεύων ἐν ταῖς κρίσεσιν, ὁ τοῖς εὐλογωτέροις κρατῶν. ἀλλὰ πρὸς τοὺς ἐγχωρίους ἔφη καὶ οὐ τοὺς ξένους δικάζειν ὑμᾶς τοῖς βασιλεῦσι νόμος ἐφίησι. καὶ ὁ Σισιμίθρης, οὐ τοῖς προσώποις ἔφη μόνον τὰ δίκαια γίνεται ἰσχυρὰ παρὰ τοῖς σώφροσιν, ἀλλὰ τοῖς τρόποις. δῆλον μὲν εἰπεῖν ὡς οὐδὲν ἐρεῖ σπουδαῖον. ἀλλ' ὅπερ ἴδιον τῶν τελευταῖα κινδυνευόντων λόγων ματαίων ἔσται πλάσματα πρὸς ὑπέρθεσιν. λεγέτω δ' οὖν ὅμως ἐπειδὴ βούλεται Σισιμίθρης. ἡ δὲ Χαρίκλεια καὶ ἄλλως οὖσα εὔθυμος διὰ τὴν προσδοκωμένην τῶν περιεστηκότων λύσιν, πλέον ἐγεγόνει περιχαρής, ὡς τοῦ Σισιμίθρου τοὔνομα ὑπήκουσεν. ἦν γὰρ δὴ οὗτος ὁ τὴν ἀρχὴν ἐκτεθεῖσαν ἀνελόμενος, καὶ τῷ Χαρικλεῖ παρακαταθέμενος, ἔτεσι δέκα πρότερον, ὅτε εἰς τοὺς Καταδούπους ἐστάλη τῶν σμαραγδίων μετάλλων ἕνεκεν ὡς τὸν Ὀροονδάτην πρεσβεύων. τότε μὲν εἷς τῶν πολλῶν γυμνοσοφιστῶν τυγχάνων, τὸ παρὸν δὲ πρόεδρος ἀναδεδειγμένος.

τὴν μὲν οὖν ὄψιν τἀνδρὸς οὐκ ἀνέφερεν ἡ χαρίκλεια, νέα κομιδῆ καὶ ἐπ᾽ αὐτῆς χωρισθεῖσα. τοὔνομα δὲ ἀκούσασα, περιχαρὴς ἐγεγόνει πλέον, συνήγορόν τε καὶ συνεργὸν ἔσεσθαι πρὸς τὸ ἀναγνωρισμὸν ἐλπίσασα. τὰς δὴ χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνασα καὶ βοῶσα ὑπερμέγεθες, ἥλιε γενεάρχα προγόνων ἐμῶν ἔλεγε. θεοί τε ἄλλοι, καὶ γένους ἡμετέρου ἥρωες καθηγεμόνες. ὑμεῖς ἐστὲ μάρτυρες, ὡς οὐδὲν ἐρῶ ψεῦδος. ὑμεῖς δὲ καὶ συλλήπτορες εἰς τὴν κρίσιν τὴν νῦν προκειμένην. εἰς ἣν προσόντων μοι δικαίων, ἐντεῦθεν ἄρξομαι. ξένους ὦ βασιλεῦ ἢ καὶ ἐγχωρίους ἱερουργεῖσθαι κελεύεις. τοῦ δὲ, ξένους εἰπόντος, οὐκοῦν ὥρα σοι ἔφη ζητεῖν, ἑτέρους εἰς τὴν θυσίαν. ἐμὲ γὰρ ἡμεδαπήν τε καὶ ἐγχώριον εὑρήσεις. τοῦ δὲ, θαυμάζοντος καὶ πλάττεσθαι λέγοντος, ἡ χαρίκλεια τὰ μικρότερα ἔφη θαυμάζεις. τὰ μείζονα δέ ἐστιν ἕτερα. οὐ γὰρ ἐγχωρίους μόνον, ἀλλὰ καὶ γένους βασιλείου τὰ πρῶτα καὶ ἐγγύτατα. καὶ αὖθις τοῦ ὑδάσπου διαπτύοντος ὡς φληνάφους τοὺς λόγους, παῦσαι εἶπεν ὦ πάτερ θυγατέρα τὴν σὴν ἐκφαυλίζων. ὁ δὴ βασιλεὺς τὸ ἐντεῦθεν οὐχ ὑπερορῶν τὰ λεγόμενα μόνον, ἀλλ᾽ ἤδη καὶ ἀγανακτῶν ἐφαίνετο, χλεύην τὸ πρᾶγμα καὶ ὕβριν ποιούμενος. καὶ ὦ σισιμίθρη καὶ οἱ λοιποὶ ἔλεγεν. ὁρᾶτε οἷα περιέστη τὰ τῆς ἀνεξικακίας. ἦ γὰρ οὐκ ἄντικρυς μανίαν ἡ κόρη νοσεῖ, παρατόλμοις πλάσμασι τὸν θάνατον πειρωμένη διακρούσασθαι; θυγατέρα ἐμὴν ὥσπερ ἀπὸ σκηνῆς ἐξ ἀπόρων ἑαυτὴν, καὶ οἷον ἐκ μηχανῆς ἀναφαίνουσα, τοῦ μηδέποτε ὡς ἴστε παίδων γονῆς ἐπιτυχήσαντος. ἅπαξ δὲ που μόνου, ὅμως τὲ ἀκηκοότος καὶ ἀποβαλόντος. ὥστε ἀγέτω τις μὴ δ᾽ ἐπὶ πλέον ἐπινοείτω τῇ θυσίᾳ τὴν ὑπέρθεσιν. οὐκ ἄξει οὐδεὶς ἀνεβόησεν ἡ χαρίκλεια τέως ἂν μὴ ἐπὶ κελεύωσιν οἱ δικάζοντες. σὺ δὲ δικάζῃ τὸ παρὸν οὐ ψῆφον φέρεις. ξενοκτονεῖν μὲν ἴσως ὦ βασιλεῦ ὁ νόμος ἐπιτρέπει. τεκνοκτονεῖν δὲ οὔθ᾽ οὗτος οὔθ᾽ ἡ φύσις πάτερ ἐφίησι. πατέρα γάρ σε τήμερον οἱ θεοὶ καὶ ἀρνούμενον ἀναδείξουσι. πᾶσα δίκη καὶ κρίσις ὦ βασιλεῦ, δύο τὰς μεγίστας ἀποδείξεις οἶδε. τάς τε ἐγγράφους πίστεις, καὶ τὰς ἐκ τῶν μαρτύρων βεβαιώσεις. ἀμφω σοι τοῦ θυγάτηρ ὑμετέρα εἶναι παρέξομαι. μάρτυρα μὲν οὐχ ἕνα τῶν πολλῶν, ἀλλ᾽ αὐτόν γε δὴ τὸν δικάζοντα προκαλουμένη.

φληνάφους

Nota





λουμένη. μεγίστη δ᾽ οἶμαι καὶ τῷ λέγοντι πίστις, ἡ τοῦ διαιτῶντος γνῶσις. γράμματα δὲ, τύχης τῆς ἐμῆς καὶ ὑμῶν διηγήματα προϊσχομένη. καὶ ἅμα λέγουσα, τὴν συνεκτεθεῖσαν ἑαυτῇ ταινίαν ὑπὸ τῇ γαστρὶ φέρουσα, προὔφερέ τε καὶ ἀνειλήσασα, τῇ περσίννῃ προσεκόμιζεν. ἡ δὲ, ἐπειδὴ τὸ πρῶτον εἶδεν, ἀχανής τε καὶ αὖος ἐγεγόνει. καὶ χρόνον ἐπὶ πλεῖστον τὰ ἐγγεγραμμένα τῇ ταινίᾳ, καὶ τὴν κόρην αὖθις ἐν μέρει περιεσκόπει. τρόμῳ τὲ καὶ παλμῷ συνείχετο. καὶ ἱδρῶτι διερρεῖτο. χαίρουσα μὲν ἐφ᾽ οἷς εὕρισκεν. ἀμηχανοῦσα δὲ πρὸς τὸ παρ᾽ ἐλπίδας ἄπιστον. δεδοικυῖα δὲ τὴν ἐξ ὑδάσπου τῶν φανερουμένων ὑποψίαν τὲ καὶ ἀπιστίαν. ἢ καὶ ὀργὴν ἂν οὕτω τύχῃ καὶ τιμωρίαν. ὥστε καὶ τὸν ὑδάσπην ἐνορῶντα εἰς τὸ θάμβος καὶ τὴν συνέχουσαν ἀγωνίαν, ὦ γύναι εἶπεν. τί ταῦτα; ἢ τί πέπονθας πρὸς τὴν δεικνυμένην γραφήν. ἡ δὲ, ὦ βασιλεῦ εἶπε καὶ δέσποτα καὶ ἄνερ. ἄλλο μὲν οὐδὲν ἂν εἴποιμι πλέον. λαβὼν δὲ ἀναγίνωσκε. διδάσκαλός σοι πάντων ἡ ταινία γενήσεται. καὶ ἐπιδοῦσα, αὖθις ἐσιώπα, κατηφήσασα. δεξάμενος οὖν ὁ ὑδάσπης, καὶ πλησίον παρεῖναι καὶ συνεπιλέγεσθαι τοὺς γυμνοσοφιστὰς παρακαλέσας ἐπῄει τὴν γραφήν. πολλὰ μὲν αὐτὸς θαυμάζων. πολλὰ δὲ καὶ τὸν σισιμίθρην ἐκπεπληγμένον. καὶ μυρίας τροπὰς τῆς διανοίας ἐκ τῶν ὄψεων ἐμφαίνοντα. ὁρῶν, συνεχές τε εἰς τὴν ταινίαν, καὶ τὴν χαρίκλειαν ἀτενίζοντα. καὶ τέλος ἐπειδὴ τήν τε ἔκθεσιν ἐδιδάχθη καὶ τὴν αἰτίαν τῆς ἐκθέσεως, ὁ ὑδάσπης, ἀλλ᾽ ὅτι μὲν ἐτέχθη μοι κόρη τις ἔφη, γινώσκω. καὶ ἀποθανοῦσαν τότε πυθόμενος. ὡς δ᾽ αὐτὴ περσίννα ἔλεγεν, ἐκτεθεῖσθαι νυνὶ μανθάνω. τίς δὲ ὁ ἀνελόμενος καὶ σώσας καὶ θρέψας; τίς δὲ ὁ διακομίσας εἰς αἴγυπτον, οὐκ αἰχμάλωτος εἴληπται. ἢ πόθεν ὅλως ὅτι αὐτὴ ἐκείνη. καὶ μὴ διέφθαρται μὲν τὸ ἐκτεθέν. τοῖς δὲ γνωρίσμασιν ἐντυχών τις ἀποκέχρηται τοῖς ἐκ τῆς τύχης, καὶ ὥσπερ προσωπεῖον τῇ κόρῃ ταύτῃ περιθεὶς, ἐντρυφᾷ τῇ ἡμετέρᾳ περὶ τεκνοποιίας ἐπιθυμίᾳ. καὶ νόθον ἡμῖν ὑποβολιμαῖον εἰσποιεῖ διαδοχὴν, καθάπερ ἐπίφημον τῇ ταινίᾳ τὴν ἀλήθειαν ἐπισκιάζων. ὑπολαβὼν ὁ σισιμίθρης, τὰ μὲν πρῶτα ἔφη τῶν ζητουμένων, ἔχει σοι λύσιν. ὁ γὰρ ἀνελόμενος ἐκτεθεῖσαν καὶ ἀναθρέψας λάθρα, καὶ εἰς αἴγυπτον κομί-

προϊσχομένη

ἐπῄει τὴν γραφήν

στὰς ὅτε με πρεσβευτὴν ἔστειλας, οὗτος ἐγώ εἰμι. καὶ ὡς οὐ θεμιτὸν
ἡμῖν τὸ ψεῦδος, οἶσθα προλαβών. γνωρίζω καὶ τὴν ταινίαν τοῖς βα-
σιλείοις αἰθιόπων γράμμασιν ὡς ὁρᾷς κεχαραγμένην. καὶ οὐ παρέ-
χουσαν ἀμφιβολίαν ἀλλαχόσε συντετάχθαι. περσίνης δὲ αὐτοχει-
ρία κατεστίχθαι παρὰ σοὶ μάλιστα γνωριζομένην. ἀλλ' ἦν καὶ ἕτερα
συνεκτεθέντα γνωρίσματα δοθέντα παρ' ἐμοῦ. τῷ γε ὑποδεξαμέ-
νῳ τὴν κόρην ἀνδρὶ Ἕλληνί τε καὶ ὡς ἐφαίνετο, καλῷ τε καὶ ἀγα-
θῷ. σώζεται ἔφη ταῦτα ἡ χαρίκλεια. καὶ ἅμα ἐπεδείκνυτο τοὺς
ὅρμους. πλέον ἡ περσίνα ἰδοῦσα κατεπλάγη. καὶ πυνθανομένου
τοῦ ὑδάσπου, τίνα ταῦτα εἴη, καὶ ἔτι πλέον ἔχοι, ἐκδιδάσκειν,
ἀπεκρίνατο οὐδὲν, ἢ ὅτι γνωρίζει μέν. κατ' οἶκον δὲ ταῦτα ἐξε-
τάζειν καλόν. αὖθις οὖν ἀδημονῶν ὁ ὑδάσπης ἐφαίνετο. καὶ ἡ
χαρίκλεια, ταῦτα μὲν ἄν, εἴη τῆς μητρὸς τὰ γνωρίσματα. σὸν δὲ
ἴδιον ὁ δὲ ὁ δακτύλιος. καὶ ἐδείκνυ τὴν παντάρβην. ἐγνώρι-
σεν ὁ ὑδάσπης δεδωκὼς δῶρον τῇ περσίνῃ παρὰ τὴν μνηστείαν.
καὶ ὦ βέλτιστε ἔφη. τὰ μὲν γνωρίσματα ἐμά. σὲ δὲ ἐμὴν οὖσαν
τούτοις κεχρῆσθαι, καὶ μὴ ἄλλως περιτυχοῦσαν οὐδέπω γνωρίζω. πρὸς
γὰρ τοῖς ἄλλοις, καὶ χροιὰ ξένη τῆς αἰθιοπίδος λαμπρύνει. καὶ ὁ σισιμί
θρης, λευκὴν ἔφη κἀγὼ τότε ἀνειλόμην. ἣν ἀνῃλόμην ἄλλως τε καὶ
τῶν ἐτῶν ὁ χρόνος συμβαίνει πρὸς τὴν παροῦσαν τῆς κόρης ἡλικίαν.
ἑπτακαιδεκά που τῶν πάντων, ταύτῃ τε καὶ τῇ ἐκθέσει πληρου-
μένων. ἐμοὶ δὲ καὶ τῶν ὀφθαλμῶν τὸ βλέμμα παρίσταται. καὶ τὸν
ὅλον τῆς ὄψεως χαρακτῆρα, καὶ τὸ ὑπερφυὲς τῆς ὥρας ὁμολογοῦν-
τα τοῖς τότε τὰ νυνὶ φαινόμενα γνωρίζω. ταυτὶ μὲν ἄριστα ὦ σι-
σιμίθρη πρὸς αὐτὸν ὁ ὑδάσπης. καὶ ὡς ἄν τις ἐνθυμότατα συνη-
γορῶν μᾶλλον ἢ δικάζων. ἀλλ' ὅρα μὴ μέρος τι λύων, ἕτερον ἀνα
κινεῖς ἀπόρρημα, δεινόν τε καὶ οὐδαμῶς ἀπολύσασθαι τὴν ἐμὴν
συμβιοῦσαν εὔπορον. λευκὴν γὰρ, πῶς ἂν αἰθίοπες ἀμφότεροι πα-
ρὰ τὸ εἰκὸς ἐτεκνώσαμεν. ὑποβλέψας οὖν ὁ σισιμίθρης, καί τι εἰρω-
νικὸν ὑπομειδιάσας, σὺ μὲν οὐκ οἶδα ἔφη ὅ πάσχεις. ἀπὸ τοῦ τρό-
που τοῦ σοῦ τὸ περιὸν συνηγορίαν ἡμῖν ὀνειδίζων. ἣν οὐκ ἄν, ἐν
» φαύλῳ ποιησαίμην. δικαστὴν γὰρ ὁρίζομεν γνήσιον, τὸν τοῦ δι-
» καίου συνήγορον. τί δὲ οὐχὶ σοὶ μᾶλλον ἢ τῇ κόρῃ συνηγορῶν φα-
νήσομαι.

παντάρβη

περίσταται



νήσομαι. πατέρα σε σὺν τοῖς θεοῖς ἀναδεικνύς. καὶ ἣν ἐκ σπαρ-
γάνων περιέσωσα ὑμῖν θυγατέρα, ταύτην καὶ νῦν ἀνασωζομέ-
νην ἐπ' ἀκμῆς οὐ περιορῶν. ἀλλὰ σὺ μὲν ἃ βούλει γίγνωσκε περὶ
ἡμῶν. οὐδένα ὑπόλογον τούτοις ποιούμεθα. οὐ γὰρ πρὸς τὴν ἑτέ-
ρων ἀρέσκειαν βιοῦμεν. τὸ δὲ αὐτὸ καλὸν κἀγαθὸν ζηλοῦντες ἑαυ-
τοὺς πείθειν ἀγαπῶμεν. τῆς γε μὴν περὶ τὴν χροιὰν ἀπορίας φράζει
μέν σοι καὶ ἡ ταινία ἐν αὐτῇ ταυτησὶ περσίνης ἐσπακέναι τινὰ
εἴδωλα καὶ φαντασίας ὁμοιοτήτων ἀπὸ τῆς περὶ τὴν ἀνδρομέδαν
πρὸς σε ὁμιλίας ὁρωμένης. εἰ δ' οὖν καὶ ἄλλως πιστώσασθαι βούλει
πρόκειται τὸ ἀρχέτυπον, περισκοπεῖν τὴν ἀνδρομέδαν, ἀπαράλ
λακτον ἐν τῇ γραφῇ καὶ ἐν τῇ κόρῃ δεικνυμένην. ἐκόμιζον ἀρά-
μενοι τὴν εἰκόνα πρὸς τὰ λεχθέντα οἱ ὑπηρέται. καὶ πλησίον τῆς
χαρικλείας ἀντεγείραντες, τοσοῦτον ἐκίνησαν παρὰ πάντων
κρότον καὶ θόρυβον, ἄλλων πρὸς ἄλλους ὅσοι καὶ κατὰ μικρὸν συ-
νίεσαν τὰ λεγόμενα καὶ πραττόμενα διαδηλούντων. καὶ πρὸς
τὸ ἀπηκριβωμένον τῆς ὁμοιότητος σὺν περιχαρείᾳ ἐκπλαγέντων.
ὥστε καὶ τὸν ὑδάσπην, οὐκ ἔτι μὲν ἀπιστεῖν ἔχειν. ἐφεστάναι δὲ
πολὺν χρόνον ὑφ' ἡδονῆς ἅμα καὶ θαύματος ἐχόμενον. ὁ δὲ σισι-
μίθρης, ἓν ἔτι λείπεται ἔφη. περὶ βασιλείας γὰρ καὶ τῆς κατ' αὐ-
τὴν γνησίας διαδοχῆς ὁ λόγος. καὶ πρό γε πάντων, ἀληθείας
αὐτῆς, γύμνωσον τὴν ὠλένην ὦ κόρη. μέλανι συνθήματι τὸ ὑ-
πὲρ πῆχυν ἐσπίλωται. οὐδὲν ἀπρεπὲς γυμνούμενον τὸ φύντων
καὶ γένους μαρτύριον. ἐγύμνωσεν αὐτίκα ἡ χαρίκλεια τὴν λαι-
άν. καὶ ἦν τις ὥσπερ ἔβενος περίδρομος ἐλέφαντα τὸν βρα-
χίονα μιαίνων. οὐκ ἔτι κατεῖχεν ἡ περσίνα. ἀλλ' ἀθρόον τε ἀ-
νήλατο τοῦ θρόνου. καὶ προσδραμοῦσα, περιέβαλλέ τε. καὶ
περιφῦσα ἐδάκρυέ τε. καὶ πρὸς τὸ ἀκατάσχετον τῆς χαρᾶς, μυ-
κηθμῷ τινὶ προσεοικὸς ἀνωρύετο. ὑπερβολὴ γὰρ ἡδονῆς καὶ «
θρῆνον ποτὲ ἀποτίκτειν φιλεῖ. μικρὸν τε ἔφη συγκατενεχθῆ- «
ναι τῇ χαρικλείᾳ. ὁ δὲ ὑδάσπης, ἠλέει μὲν γυναῖκα ὀδυρο-
μένην ὁρῶν καὶ εἰς συμπάθειαν ἐκάμπτετο τὴν διάνοιαν. τὸ ὄμ-
μα δὲ οἱονεὶ κέρας ἢ σίδηρον εἰς τὰ ὁρώμενα τείνας, εἱστήκει

πρὸς

ὑπόλογον

ἔβενος

πρὸς τὰς ὠδῖνας τῶν δακρύων ἀντιμαχόμενος καὶ τῆς ψυχῆς αὐτῷ πατρικῷ τε πάθει καὶ ἀνδρείῳ βουλήματι κυμαινομένης, καὶ πρὸς ἑκάτερα καθάπερ ὑπὸ σάλου μεταπλωομένης, τέλος τῶν ἡττήθη τῆς τὰ πάντα νικώσης φύσεως. καὶ πατὴρ οὐκ εἶναι μόνον ἐπείθετο, ἀλλὰ καὶ πάσχειν ὅσα πατὴρ ἠλέγχετο. καὶ τὴν περσίνναν συγκατενεχθεῖσαν τῇ θυγατρὶ καὶ συγκαταπεπληγμένην ἀνεγείρων, οὐκ ἔλαθε καὶ τὴν χαρίκλειαν ἐναγκαλιζόμενος. καὶ δακρύων ὑπορροὴν πατρικὰ πρὸς αὐτὴν ἀπενδόμενος. οὐ μὴν εἰς τὸ παντελές γε ἐξεκρούσθη τῶν πρακτέων. ἀλλ' ὀλίγον ἐπιστάς, τόν τε δῆμον κατοπτεύσας ὑπὸ τῶν ἴσων παθῶν κεκινημένον, καὶ πρὸς τὴν σκηνοποιΐαν τῆς τύχης ὑφ' ἡδονῆς τε ἅμα καὶ ἐλέου δακρύοντας. καὶ οὔτε κηρύκων σιγὴν ἐπιταττόντων ἐπαΐοντας, τὴν χεῖρα προτείνας καὶ κατασείων, πρὸς ἡσυχίαν τὸ κλυδώνιον τοῦ δήμου κατέστελλε. καὶ ὦ παρόντες ἔλεγεν. οἱ μὲν θεοὶ πατέρα με ὡς ὁρᾶτε καὶ ἀκούετε πάσης ἐπέκεινα προσδοκίας ἀνέδειξαν. καὶ θυγάτηρ αὕτη μοι, ἡ δὲ ἡ κόρη πολλαῖς ταῖς ἀποδείξεσι γνωρίζεται. ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι τῆς εἰς ὑμᾶς τε καὶ τὴν ἐνεγκοῦσαν εὐνοίας, ὥστε μικρὰ φροντίσας καὶ γένους διαδοχῆς καὶ πρώτης ἀνακλήσεως, ἃ διὰ ταύτης μοι δὴ τῆς δε ἔμελλεν ἔσεσθαι, θεοῖς ἱερουργεῖν ὑπὲρ ὑμῶν ἐπείγομαι. ὁρῶ μὲν γὰρ ὑμᾶς δακρύοντας καὶ ἀνθρώπινόν τι πάσχοντας ἀναδεδειγμένους. καὶ ἐλεοῦντας μὲν τὴν ἀωρίαν τῆς κόρης. ἐλεοῦντας δὲ καὶ τὴν ἐμὴν μάτην προσδοκηθεῖσαν τοῦ γένους διαδοχήν. ὅμως δ' οὖν ἀνάγκη καὶ ὑμῶν ἴσως μὴ βουλομένων, τῷ πατρίῳ πείθεσθαι νόμῳ. τῶν ἰδίων λυσιτελῶν, τὸ τῆς πατρίδος ἐπίπροσθεν ποιούμενον. εἰ μὲν γὰρ τοῖς θεοῖς οὕτω φίλον ὥστε παρέχεσθαι τε ἅμα καὶ ἀφαιρεῖσθαι, ὅπερ γε ἤδη πάλαι τε πέπονθα γεννηθείσης καὶ πάσχω τὸ νῦν εὑρεθείσης, οὐκ ἔχω λέγειν. ὑμῖν δὲ καταλείπω σκοπεῖν. οὐδ' εἴπερ ἣν ἐξῴκισαν τῆς ἐνεγκούσης ἐπὶ τὰ πέρατα γῆς ἔσχατα, αὖθις δὲ θαυματουργοῦντες ἐμοὶ αἰχμάλωτον τῇ τύχῃ φέροντες ἐνεχείρισαν, ταύτην αὐτοὶ πάλιν ἱερουργουμένην προσδέξονται. καὶ ἣν ὡς πολέμιον οὐκ ἀνεῖλον καὶ αἰχμάλωτον γενομένην οὐκ ἐλυμηνάμην, ταύτην θυγατέρα φανεῖσαν ἐναγίζειν, ὡς καὶ ὑμῖν ὄντως ἡ βούλησις τοῦ πράγματος,



τος, οὐχ ὑπερβήσομαι, οὐδὲ πήσομαι, ὃ καὶ ἄλλῳ πάσχοντι πατρί, συγγνωστὸν ἴσως ἂν ἦν. οὐδὲ ὀκλάζω οὐδὲ εἰς ἱκεσίαν τρέψομαι, συγγνώμην δοῦναι καὶ ἀφοσιώσασθαι τὸ παρὸν πρὸς τὸν νόμον τῇ φύσει. πλέον καὶ τοῖς ἐκ ταύτης πάθεσι προσθεμένους, ὡς ἐξὸν καὶ ἑτέρῳ τρόπῳ θεραπεύειν τὸ θεῖον. ἀλλ' ὅσῳ συμπάσχοντες ἡμῖν οὐ λελήθατε. καὶ ἴδια τὰ ἡμέτερα πάθη συναλγοῦντες, τοσούτῳ κἀμοὶ προτιμότερα τὰ ὑμέτερα. ὀλίγον μὲν τῆς ἀκληρίας λόγον ποιουμένῳ. ὀλίγον δὲ τῆς ἀθλίας ταυτησὶ περσίνης κατοδυρομένης. πρωτοτόκου τε ἅμα καὶ ἀγόνου καθισταμένης. ὥστε εἰ δοκεῖ, παύσασθε μὲν δακρύοντες καὶ ἡμᾶς κατοικτιζόμενοι μάτην. τῆς δὲ ἱερουργίας ἐχόμεθα. σὺ δὲ ὦ θύγατερ πρῶτα γάρ σε καὶ ὕστατα τὸ ποθεινὸν ὄνομα, τοῦτο προσφθέγγομαι. ὦ μάτην μὲν ὡραία, μάτην δὲ ἀνευρεθεῖσα τοῖς γεννήσασι. ὦ τῆς ἀλλοδαπῆς βαρυτέραν τὴν πατρίδα δυστυχήσασα. ὦ σωτηρίας μὲν τῆς ξένης, ἐπ' ὀλέθρῳ δὲ πειρωμένη τῆς ἐνεγκούσης. μή μοι σύγχει τὸν θυμὸν ὀδυρομένη. ἀλλὰ τὸ ἀνδρεῖον ἐκεῖνο σου φρόνημα καὶ βασίλειον, νῦν εἴπερ ποτὲ καὶ πρότερον ἐπιδείκνυσο. καὶ ἕπου τῷ γεννήσαντι. νυμφοστολῆσαι μὲν οὐ δυνηθέντι, οὐδὲ ἐπὶ παστάδας καὶ θαλάμους ἀγάγοντι. πρὸς δὲ θυσίαν κοσμοῦντι. καὶ δᾷδας οὐ γαμηλίους, ἀλλ' ἐπιβωμίους ἅπτοντι. καὶ τὴν ἄμαχον ταυτηνὶ τοῦ κάλλους ἀκμήν, ἀνθ' ἱερείων προσάγοντι. ὑμεῖς δὲ ἵλεῳ τε οἱ θεοὶ τῶν εἰρημένων. καὶ εἴ δή τι πρὸς τοῦ πάθους νικώμενος οὐκ εὐαγὲς ἐφθεγξάμην. ὁ τέκνον ὁμοῦ καλεσάμενος καὶ τεκνοκτόνος γινόμενος. καὶ ταῦτα εἰπών, ὁ μὲν ἐπέβαλε τῇ χαρικλείᾳ τὰς χεῖρας. ἄγειν μὲν ἐπὶ τοὺς βωμοὺς καὶ τὴν ἐπ' αὐτῶν πυρκαϊὰν ἐνδεικνύμενος. πλείονι δὲ αὐτὸς πυρὶ τῷ πάθει τὴν καρδίαν σμυχόμενος. καὶ τὴν ἐπιτυχίαν τῶν ἐνεδρευομένων τῇ δημηγορίᾳ λόγων ἀπευχόμενος. τὸ δὲ πλῆθος τῶν αἰθιόπων ἐσείσθη πρὸς τὰ εἰρημένα. καὶ οὐδὲ πρὸς βραχὺ τῆς χαρικλείας ἀγομένης ἀνασχόμενοι. μέγα τι καὶ ἀθρόον ἐξέκραγον. σῶζε τὴν κόρην ἀναβοῶντες. σῶζε τὸ βασίλειον αἷμα. σῶζε τὴν ὑπὸ θεῶν σωθεῖσαν. ἔχομεν τὴν χάριν. πεπλήρωται ἡμῖν τὸ νόμιμον. ἐγνωρίσαμεν ὡς βασιλέα. γνώριζε καὶ σὺ σαυτὸν ὡς πατέρα. ἵλεῳ μὲν οἱ θεοὶ τῆς δοκούσης παρανομίας.



ἀφοσιώσασθαι

ἀπευχόμενος

πλέον παρανομήσομεν ἀνθιστάμενοι τοῖς ἐκείνων βουλήμασι. μηδεὶς
ἀναιρείτω τὴν ὑπ' ἐκείνων περισωθεῖσαν. ὁ τοῦ δήμου πατήρ, γί-
νου καὶ κατ' οἶκον πατήρ. καὶ μυρίας ἄλλας τούτοις καὶ ὁμοίας φω-
νὰς ἱέντων, τέλος καὶ ἔργῳ τὸ κωλύειν ἐπεδείκνυντο. προϊστάμε-
νοί τε καὶ ἀνθιστάμενοι. καὶ διὰ τῶν ἄλλων θυσιῶν, ἱλάσκεσθαι τὸ

προϊστάμενοι

θεῖον αἰτοῦντες. ὁ δὲ ὑδάσπης ἑκών τε καὶ χαίρων προσίετο τὴν ἧτταν
τὴν εὐκτὴν ταύτην βίαν, αὐθαίρετος ὑπομένων. καὶ τὸν δῆμον
ἐπαλλήλοις ταῖς ἐκβοήσεσι χρονιώτερον ἐντρυφῶντας, καὶ ταῖς
εὐφημίαις ἀγερωχότερον ἐπισκιρτῶντας ὁρῶν. τοὺς μὲν, ἐμφορη-
θῆναι τῆς ἡδονῆς ἐνεδίδου. καταστελῆναί ποτε πρὸς ἡσυχίαν ἑκόν-
τας ἀναμένων, αὐτὸς δὲ πλησιαίτερον τῇ χαρικλείᾳ παραστάς, ὦ
φιλτάτη ἔλεγεν, ἐμὴν μὲν εἶναί σε θυγατέρα, τά τε γνωρίσμα-
τα ἐμήνυσε. καὶ ὁ σοφὸς σισιμίθρης ἐμαρτύρησε. καὶ τὸ τῶν θεῶν
εὐμενὲς πρὸ πάντων ἀνέδειξεν. ἀλλ' οὗτοσι τίς ποτε ὢν ὁ σοὶ μὲν
ἅμα συλληφθείς, νυνί τε τοῖς βωμοῖς εἰς τὴν ἱερουργίαν προσιδρυ-
μένος. ἢ πῶς αὐτὸν ἀδελφὸν ὠνόμαζες, ὅτε μοι τὸ πρῶτον ἐπὶ τὴν
συήνην προσήχθητε. οὐ γὰρ δήπου καὶ αὐτὸς ἡμέτερος υἱὸς εὑρεθήσε-
ται. ἅπαξ γὰρ περσίννα καί σε μόνην ἐκυοφόρησε. καὶ ἡ χαρίκλεια σὺν
ἐρυθήματι κάτω νεύσασα, τὸ μὲν ἀδελφὸν ἐψευσάμην ἔφη τῆς χρείας
τὸ πλάσμα συνθείσης. ὅστις δὲ ἐστὶν ἀληθῶς, αὐτὸς ἂν λέγοι βέλ-
τιον. ἀνήρ τε γάρ ἐστι. καὶ θαρσεῖ ἕτερον ἐμοῦ τῆς γυναικὸς ἐξαγορεύ-
ειν οὐκ αἰσχυνθήσεται. καὶ ὁ ὑδάσπης μὴ συμβαλὼν τὸν νοῦν τῶν εἰρημέ-
νων, σύγγνωθι ἔφη θυγάτριον κατερυθριάσασα δι' ἡμᾶς περὶ τῆς παρθενικῆς
αἰδοῦς ἀνοίκειον πεῦσιν ὑπὲρ νεανίου σοι προσαγαγόντας. ἀλλὰ σὺ
μὲν ἐπὶ τὴν σκηνὴν ἅμα τῇ μητρὶ κάθησο. εὐφραίνεσθαί τε παρέχου-
σα πλέον, ἢ ὅτε σε ἔτικτεν ὠδινοῦσα. τῇ ἐπὶ σοὶ τὸ παρὸν ἀπολαύ-
σει, καὶ τοῖς ἐπὶ σαυτῇ διηγήμασι παρηγοροῦσα. ἡμῖν δὲ τῶν ἱερείων
μελήσει τῆς ἀντὶ σοῦ σφαγιασθησομένης ἅμα τῷ νεανίᾳ παντοίως
εἴ τινα εὕροιμεν ἀνταξίαν ἐπιλεχθείσης. καὶ ἡ χαρίκλεια, μικροῦ μὲν
καὶ ἐξωλόλυξε πρὸς τὴν δήλωσιν τῆς τοῦ νεανίου σφαγῆς ἐκταραχ-
θεῖσα. μόγις δ' οὖν τὸ συμφέρον τιθεμένη πρὸς τὸ ἐκμανὲν τοῦ πά-
θους διὰ τὸ χρειῶδες ἐγκαρτερῆσαι βιασαμένη, πάλιν ὑφεῖρπε τὸν
σκοπόν. καὶ ὦ δέσποτα ἔλεγεν. ἀλλ' οὐδὲ κόρην μὲν ἴσως ἔτι ἐχρῆν
σε ἐπι-



σε ἐπιζητεῖν ἅπαξ τοῦ δήμου τὸ ἱερεῖον τὸ θῆλυ δι' ἐμοῦ συγχωρή-
σαντος. εἰ δ' οὖν προσφιλονεικοίη τις ἄρτιον καὶ ἐξ ἑκατέρου γένους
ἐπιτελεῖσθαι, ὥρα σοι μὴ κόρην μόνην, ἀλλὰ καὶ νεανίαν ἄλλον ἐπιζη-
τεῖν. ἢ μὴ τοῦτο ποιοῦντα, μὴ δὲ κόρην ἄλλην, ἀλλ' ἐμὲ πάλιν σφαγιά-
ζειν. τοῦ δὲ, εὐφήμει σοῦ εἰπόντος, καὶ τὴν αἰτίαν διότι ταῦτα λέγει πυν-
θανομένου, ὅτι ἔφη καὶ ἐμοὶ ζῶντι συζῆν. καὶ θνήσκοντι συντεθνάναι
τῷ ἀνδρὶ τῷδε πρὸς τοῦ δαιμονίου καθείμαρται. πρὸς ταῦτα ὁ ὑδά-
σπης ὀψὲ τῶν ὄντων ἐπήβολος γιγνόμενος, ἐπαινῶ μέν σε τῆς φι-

ἐπήβολος

λανθρωπίας ὦ θύγατερ ἔφη ξένον καὶ ἕλληνα καὶ ἥλικα καὶ συναι-
χμάλωτον, καὶ συνήθειαν πρός σε τὴν ἐκ τῆς ἐκδημίας κεκτημένον,
χρηστῶς κατελεοῦσαν. καὶ περισώζειν ἐπινοοῦσαν. ἀλλ' οὐκ ἔστιν ὅπῃ ἂν
ἐξαιρεθείη τῆς ἱερουργίας. ἄλλως τε γὰρ οὐκ εὐαγὲς παντάπασι πε-
ριγραφῆναι τὸ πάτριον τὸ τῶν ἐπινικίων θυσίας. καὶ ἅμα οὐδ' ἂν ὁ

περιγραφῆναι

δῆμος ἀνάσχοιτο μόλις καὶ πρὸς τὴν ἐπὶ σοὶ συγχώρησιν θεῶν εὐμε-
νείᾳ κινηθείς. ἡ δὲ οὖν χαρίκλεια, ὦ βασιλεῦ ἔφη. πατέρα γάρ σε
καλεῖν τάχα οὐκ ἐγγίνεται. εἰ μὲν δὴ θεῶν εὐμενείᾳ σῶμα τοὐμὸν
περισέσωσται, τῆς αὐτῆς ἂν γένοιτο εὐμενείας καὶ τὴν ἐμὴν ἐμοὶ περι-
σῶσαι ψυχήν, ἣν ἀληθῶς εἶναί μοι ψυχὴν ἐπικλώσαντες ἴσασιν.
εἰ δὲ τοῦτο ἀβούλητον μοίραις εὑρίσκοιτο, καὶ δεήσει πάντως τὰ ἱε-
ρεῖα κοσμῆσαι σφαγιασθέντα τὸν ξένον, ἓν γοῦν μοι χάρισαι νεῦ-
σον. αὐτήν με κέλευσον αὐτουργῆσαι τὸ θῦμα. καὶ τὸ ξίφος ὡς κειμή-
λιον δεξαμένην, περίβλεπτον ἐπ' ἀνδρείᾳ παρ' αἰθίοψιν ἀναχθῆναι.
διαταραχθεὶς δὲ πρὸς ταῦτα ὁ ὑδάσπης, ἀλλ' οὐ συνίημι μὲν ἔφη τὴν
πρὸς ἐναντία σου τῆς γνώμης μεταβολήν. ἀρτίως μὲν ὑπερασπίζειν
τοῦ ξένου πειρωμένης, νυνὶ δὲ ὡς πολεμίου τινὸς αὐτόχειρα παρακα-
λούσης. ἀλλ' οὐδὲ σεμνόν τι καὶ ἐπίδοξον ὅσον γε πρὸς σὲ καὶ τὴν σὴν
ἡλικίαν ἐνορῶ τῇ πράξει. καὶ τούτου δὲ ὄντος, τὸ δυνατὸν οὐκ ἔστι. μό-
νοις γὰρ τοῖς ἱερωμένοις τῷ τε ἡλίῳ καὶ τῇ σελήνῃ πρὸς τῶν πα-
τρίων ἀποκεκλήρωται. ἡ δὲ πρᾶξις, καὶ τούτοις οὐ τοῖς τυχοῦσιν. ἀλ-
λὰ τοῦ μὲν, γυναικί. τῆς τε ἀνδρὶ συνοικούσης. ὥστε ἡ περὶ σὲ παρ-
θενία κωλύει τὴν οὐκ οἶδ' ὅπως γιγνομένην αἰτίαν. ἀλλὰ τούτου γε
ἕνεκεν, οὐδὲν ἐμπόδιον ἔφη ἡ χαρίκλεια. λάθρα καὶ παρὰ τὸ οὖς τῇ
περσίννῃ προσκύψασα. ἔστι γὰρ κἀμοὶ μνηστὴρ ὁ τὸ ὄνομα τοῦτο πληρῶν,

ἃ καὶ ὑμεῖς βουληθεῖτε. βουλησόμεθα εἶπεν ἡ περσίννα μειδιάσασα. καὶ αὐτίκα μάλα ἐκδώσομεν θεῶν νευόντων, σοῦ τε καὶ ἡμῶν ἄξιον ἀπολεξάμενοι. καὶ ἡ χαρίκλεια γεγωνότερον οὐδὲν δεῖ ἀπολέγειν ἔφη τὸν ὄντα ἤδη. καὶ λέγειν τί φανερώτερον μελλούσης, τολμᾶ γὰρ τὸ κατεπεῖγον καὶ τὴν αἰδῶ τὴν παρθένιον προορᾶν τὸ ἐν ὀφθαλμοῖς ὁρώμενον τοῦ κινδύνου, τῷ θεαγένει κατηνάγκαζεν, οὐκ ἔτι κατασχὼν ὁ ὑδάσπης ὦ θεοὶ ἔφη, ὡς κακὰ τοῖς καλοῖς ἐοίκατε μιγνύναι. καὶ τὴν ἀπ' ἐλπίδος μοι δωρηθεῖσαν πρὸς εὐδαιμονίαν, τὸ μέρος κωλύειν. θυγατέρα μὲν ἀπροσδόκητον. ἀλλὰ παράφρονά πως ἀναδείξαντες. πῶς γοῦν οὐ παραπλῆγος τὸ νόημα τῆς ἀλλόκοτα. ῥήματα προϊεμένης. ἀδελφὸν ὠνόμαζε τὸν μὴ ὄντα. τὸν ὄντα ὅστις ἐστὶν ὁ ξένος ἐρωτωμένη, ἀγνοεῖν ἔλεγεν. αὖθις ἐζήτει περισώζεσθαι ὡς φίλον τὸν ἀγνοούμενον. ἀδύνατον εἶναι μαθοῦσα τὴν αἴτησιν, αὐτὴ καταθύειν ὡσανεὶ πολεμιώτατον ἱκέτευε. καὶ τοῦτο ὡς οὐ θέμιτον λεγόντων, μιᾶς μόνης καὶ ταύτης ὑπάνδρου τῆς τοιᾶσδε θυσίας καθωσιωμένης, ἄνδρα ἔχειν ἐμφαίνει. τὸν τίνα οὐ προστιθεῖσα. πῶς γὰρ τόν γε μὴ δὲ ὄντα, μὴ δὲ γεγενῆσθαι αὐτῇ διὰ τῆς ἐσχάρας ἀποδειχθέντα. εἰ μὴ ἄρα παρὰ ταύτῃ μόνῃ ψεύδεται μὲν τὸ πῦρ αἰθιόψιν ἀψευδὲς τῶν καθαρευόντων τεκμήριον. καὶ τὴν βάσαν ἄφλεκτον ἀποπέμπεται. καὶ παρθενεύειν νόθως χαρίζεται. μόνῃ δὲ ἔξεστι φίλους καὶ πολεμίους τοὺς αὐτοὺς ἐν ἀκαρεῖ καταλέγειν. ἀδελφοὺς δὲ καὶ ἄνδρας τοὺς μὴ ὄντας ἀναπλάττειν. ὥστε ὦ γύναι σὺ μὲν εἰς τὴν σκηνὴν εἴσιθι. καὶ ταύτην κατάστελλε πρὸς τὸ νηφάλεον. εἴτε ὑπὸ τοῦ θεοῦ τοῖς ἱερείοις ἐπιφοιτήσαντος ἐκβακχευομένην, εἴτε καὶ δι' ὑπερβολὴν χαρᾶς τῶν ἀνελπίστως εὐτυχηθέντων, τὸν νοῦν παραφερομένην. ἐγὼ δὲ τὴν ὀφείλουσαν τοῖς θεοῖς ἀντὶ ταύτης δὴ σφαγιασθῆναι καὶ ζητεῖν καὶ ἀνευρεῖν τινὶ προστάξας, ἕως ἂν τοῦτο γίγνηται εἰς τὸ χρηματίσαι ταῖς ἐκ τῶν ἐθνῶν ἡκούσαις πρεσβείαις, καὶ δῶρα τὰ ἐπὶ τοῖς ἐπινικίοις προσκομιζόμενα παρ' αὐτῶν ὑποδέξασθαι τρέψομαι. καὶ ταῦτα εἰπὼν τῆς τε σκηνῆς πλησίον ἀφ' ὑψηλοῦ προκαθίσας ἥκειν τοὺς πρεσβευτὰς καὶ εἴ τινα ἐπικομίζοιντο δῶρα, προσάγειν ἐκέλευεν. ὁ δὴ οὖν εἰσαγγελεὺς ἁρμονιὰς εἰ πάντας, ἢ ἐν μέρει καὶ ἔθνους





ἑκάστου κεκελευσμένους, καὶ δὴ εἰ καὶ ἰδίᾳ προσάγοι κελεύοι διηρώτα. τοῦ δὲ ἐν τάξει καὶ διῃρημένως εἰπόντος, ὡς ἂν καὶ τῆς πρὸς ἀξίαν ἕκαστος μεταλαμβάνοι τιμῆς, πάλιν ὁ εἰσαγγελεὺς οὐκοῦν ἔφη ὦ βασιλεῦ, πρῶτος ἀδελφοῦ τοῦ σοῦ παῖς ἥξει μερόηβος. ἀρτίως μὲν ἥκων ἀπαγγελθῆναι δὲ ἑαυτὸν πρὸ τῆς παρεμβολῆς ἀναμένων. εἶτα ὦ νωθέστατε καὶ ἠλίθιε πρὸς αὐτὸν ὁ ὑδάσπης, οὐ παραχρῆμα ἐμήνυσας, οὐ πρεσβευτὴν ἀλλὰ βασιλέα τὸν ἀφιγμένον ἐπιστάμενος, καὶ τοῦτον ἀδελφοῦ παῖδα τοῦ ἐμοῦ. τελευτήσαντος μὲν οὐ πρὸ πολλοῦ, πρὸς ἐμοῦ δὲ εἰς τὸν ἐκείνου θρόνον ἐνιδρυθέντα, καὶ ἀντὶ παιδὸς ἐμοὶ γιγνόμενον. ἐγίνωσκον ταῦτα εἶπεν ὦ δέσποτα ὁ ἁρμονίας. ἀλλὰ καιροῦ στοχάζεσθαι πρὸ πάντων ἐγίνωσκον. πράγματος τοῖς εἰσαγγελεῦσιν ἤπερ τινος ἄλλου δεόμενον προνοίας. σύγγνωθι οὖν εἰ πρὸς τὰς βασιλίδας σε κοινολογούμενον, ἀπασχολῆσαι τῶν ἡδίστων ἐφυλαξάμην. ἀλλὰ νῦν γοῦν ἴτω τοῦ βασιλέως εἰπόντος, ἀπέτρεχέ τε ὁ προσαχθεὶς. καὶ αὐτίκα ἐπανήει μετὰ τοῦ προστάγματος. καὶ ὤφθη ὁ μερόηβος, ἀξιοπρεπὲς τὸ νεανίου χρῆμα. τὴν μὲν ἡλικίαν, ἄρτι τὸν μείρακα παραλλάττων. δέκα δὲ ἐτῶν πρὸς ἑβδομάδι πληρῶν μεγέθει δὲ τοὺς παρόντας σχεδὸν ἅπαντας ὑπερκύπτων. λαμπροῦ δὲ δορυφορήματος ὑπασπιστῶν προπομπεύοντος. τοῦ δὲ περιεστῶτος αἰθιοπικοῦ στρατοῦ θαυμασμῷ τε ἅμα καὶ σεβασμῷ πρὸς τὸ ἀκώλυτον τὴν πάροδον διαστέλλοντος. οὐ μὴν οὐδὲ ὁ ὑδάσπης ἐπὶ τῆς καθέδρας ἐκαρτέρησεν. ἀλλ' ὑπαντήσας τε. καὶ μετὰ πατρικῆς τῆς φιλοφροσύνης περιπτυξάμενος, πλησίον τε ἑαυτῷ καθίδρυσε. καὶ τὴν δεξιὰν ἐμβαλὼν, εἰς καιρὸν ἥκεις ἔλεγεν ὦ παῖ. τά τε ἐπινίκια συνεορτάσων. καὶ τὰ γαμήλια θύσων. οἱ γὰρ πατρῷοι καὶ γενάρχαι θεοί τε καὶ ἥρωες, ἡμῖν μὲν θυγατέρα σοὶ δὲ νύμφην ὡς ἔοικεν ἐξευρήκασιν. ἀλλὰ τοῖς τελειοτέροις αὖθις ἀκουσόμενος, εἴ τι μὲν βούλει χρηματίσαι τῷ ἔθνει τῆς ὑπό σοι βασιλείας ἀνάγγελλε. ὁ δὲ μερόηβος πρὸς δὲ τὴν ἀκοὴν τῆς νύμφης ὑφ' ἡδονῆς τε ἅμα καὶ αἰδοῦς, οὐδὲ ἐν μελαίνῃ τῇ χροιᾷ διέλαθε φοινιχθεὶς οἱονεὶ πρὸς αἰθάλην τοῦ ἐρυθήματος ἐπιδραμόντος. καὶ μικρὸν ἐφησυχάσας, οἱ μὲν ἄλλοι ἔφη ὦ πάτερ τῶν ἡκόντων πρεσβέων τοῖς ἐκ τῆς ἑαυτῶν ἐξαιρέτοις ἑκα-

στος τὴν σὴν περίβλεπτον νίκην στέφοντος ξενίοισιν. ἐγὼ δέ σε τὸν ἐν πολέμοις γεννάδα τε καὶ ἀριστέα διαφανέντα, προσφόρως τε καὶ ἀπὸ τῶν ὁμοίων δωρήσασθαι δικαιώσας, ἄνδρα σοι προσκομίζω, πολέμων μὲν καὶ αἱμάτων ἀθλητὴν ἀνανταγώνιστον. πάλην δὲ καὶ πυγμὴν τὴν ἐν κόνει καὶ σταδίοις ἀνυπόστατον. καὶ ἅμα νεύσας ἦκεν ὑποδείκνυ τὸν ἄνδρα. καὶ ὃς προσελθὼν εἰς μέσους, προσεκύνει τὸν Ὑδάσπην. τοσοῦτός τις τὸ μέγεθος, καὶ οὕτως ὠγύγιος ἄνθρωπος, ὥστε τὸ γόνυ τοῦ βασιλέως φιλῶν, μικροῦ φανῆναι τοῖς ἐφ' ὑψηλοῦ προκαθημένοις ἐξισούμενος. καὶ μηδὲ τὸ κελευσθῆναι ἀναμείνας τὴν ἐσθῆτα ἀποδύς, γυμνὸς εἱστήκει πάντα τὸν βουλόμενον, καὶ μεθ' ὅπλων καὶ γυμναῖς ταῖς χερσὶν εἰς ἅμιλλαν προκαλούμενος. ὡς δὲ οὐδεὶς παρῄει πολλάκις διὰ κήρυκος τοῦ βασιλέως προτρεψαμένου, δοθήσεταί σοι ἔφη καὶ παρ' ἡμῶν ὁ Ὑδάσπης ἰσοστάσιον τὸ ἔπαθλον. καὶ εἰπὼν, ἐλέφαντα πολυετῆ καὶ παμμεγέθη, προσκομισθῆναι αὐτῷ προσέταττεν. ὡς δὲ ἤχθη τὸ ζῶον, ὁ μὲν, ὑπεδέχετο ἀσμένως. ὁ δῆμος δὲ ἀθρόον ἐξεβάκχευσε τῷ ἀστεϊσμῷ τοῦ βασιλέως ἡσθέντος. καὶ τὴν δόξασαν αὐτοῖς ὑποκατάκλησιν τῷ ἐπιτωθασμῷ τῆς κατ' ἐκεῖνον μεγαλαυχίας παρηγορηθέντες. μετὰ τοῦτον καὶ οἱ Σηρῶν προσήγοντο πρεσβευταί. τῶν παρ' αὐτοῖς ἀραχνίων νήματα καὶ ὑφάσματα. τὴν μὲν, φοινικοβαφῆ. τὴν δὲ, λευκοτάτην ἐσθῆτα προσκομίζοντες. καὶ τούτων τῶν δώρων ὑποδεχθέντων, καὶ ἀφεθῆναι αὐτοῖς τῶν πάλαι τινὰς ἐν δεσμωτηρίῳ κατακειμένων ἀξιωσάντων, ἐπινεύσαντος τοῦ βασιλέως, οἱ Ἀράβων τῶν εὐδαιμόνων προσῄεσαν. καὶ φύλλου τε τοῦ θυώδους καὶ κασίας. καὶ κινναμώμου, καὶ τῶν ἄλλων οἷς ἡ Ἀρραβία γῆ μυρίζεται, ἐκ πολλῶν ταλάντων ἑκάστου τὸν τόπον εὐωδίας ἐμπλήσαντες, παρῆσαν μετὰ τούτους, οἱ ἐκ τῆς Τρωγλοδυτικῆς. χρυσόν τε τὸν μυρμηκίαν, καὶ γρυπῶν ξυνωρίδα χρυσαῖς ἁλύσεσιν ἡνιοχουμένην προσκομίζοντες, ἡ Βλεμμύων παρῄει πρεσβεία. τόξα τε καὶ βελῶν ἀκίδας ἐκ δρακοντείων ὀστῶν εἰς στέφανον διαπλέξασαι. καὶ ταῦτά σοι ἔλεγον ὦ βασιλεῦ τὰ παρ' ἡμῶν δῶρα. πλούτου μὲν τοῦ παρὰ τῶν ἄλλων λειπόμενα. παρὰ δὲ τὸν ποταμὸν ὑπό σοι μάρτυρι κατὰ Περσῶν εὐδοκιμήσαντα. πολυτε-

λέστερα

ὠγύγιος ἄνθρωπος

ὑποκατάκλησιν

ἐπιτωθασμῷ

Serui legati

ἀρραβία

Troglodytæ

Blemmyes



λέστερα δ' οὖν ἔφη ὁ Ὑδάσπης τῶν πολυταλάντων ξενίων. ἄγε καὶ τὰ ἄλλα νυνί μοι προκομιζέσθω λεγόμενα αἴτια. καὶ ἅμα εἴ τι βούλοιντο ἀπαγγέλλειν ἐπέτρεπε. καὶ μισθωθῆναι αὐτοῖς ἐκ τῶν φόρων αἰτησάντων, καὶ σύμπαν εἰς δέκα ἐτῶν ἀνῆκε. καὶ πάντων σχεδὸν τῶν κατὰ πρεσβείαν ἀφιγμένων ὀφθέντων, καὶ τοῖς ἴσοις ἑκάστους καὶ φιλοτιμοτέροις τοὺς πλείστους ἀμειψαμένου τοῦ βασιλέως, τελευταῖοι παρῆσαν οἱ Ἀξιωμιτῶν πρεσβευταί. φόρου μὲν οὐκ ὄντες ὑποτελεῖς. φίλιοι δὲ ἄλλως καὶ ὑπόσπονδοι. καὶ τὸ ἐπὶ τοῖς κατωρθωμένοις εὐμενὲς ἐνδεικνύμενοι, δῶρα καὶ οὗτοι προσῆγον, ἄλλα τε, καὶ δὴ ζῴου τινὸς εἶδος ἀλλοκότου τε ἅμα καὶ θαυμασίου τὴν φύσιν. μέγεθος μὲν, εἰς καμήλου μέτρον ὑψούμενον. χροιὰν δὲ καὶ ἐπιδερμίδα φολίσιν ἀνθηραῖς ἐστιγμένον. ἦν δὲ αὐτῷ τὰ μὲν ὀπίσθια καὶ μετὰ κενεῶνας, χαμαίζηλά τε καὶ λεοντώδη. τὰ δὲ ὠμιαῖα καὶ πόδες πρόσθιοι καὶ στέρνα, πέρα τῆς ἀναλογίας τῶν ἄλλων μελῶν ἐξανιστάμενα. λεπτὸς ὁ αὐχὴν καὶ ἐκ μεγάλου τοῦ λοιποῦ σώματος, εἰς κύκνειον φάρυγγα μηκυνόμενος. ἡ κεφαλὴ τὸ μὲν εἶδος καμηλίζουσα. τὸ δὲ, μέγεθος, στρουθοῦ Λιβύσσης εἰς διπλάσιον ὀλίγου ὑπερφέρουσα, καὶ ὀφθαλμοὺς ὑπογεγραμμένους βλοσυρῶς σοβοῦσα. παρήλλαττε καὶ τὸ βάδισμα χερσαίου τε ζῴου καὶ ἐνύδρου παντὸς ὑπεναντίως σαλευόμενον. τῶν σκελῶν οὐκ ἐναλλὰξ ἑκατέρου καὶ παρὰ μέρος ἐπιβαίνοντος. ἀλλ' ἰδίᾳ μὲν τοῖν δυοῖν καὶ ἅμα τῶν ἐν δεξιᾷ χωρὶς δὲ καὶ ζυγηδὸν τῶν εὐωνύμων σὺν ἑκατέρᾳ τῇ ἐπαιωρουμένῃ πλευρᾷ μετατιθεμένων. ὁλκὸν δὲ οὕτω τὴν κίνησιν καὶ τιθασὸν τὴν ἕξιν, ὥστε ὑπὸ λεπτῆς μηρίνθου τῇ κορυφῇ περιελιχθείσης, ἄγεσθαι πρὸς τοῦ θηροκόμου. καθάπερ ἀφύκτῳ δεσμῷ τῷ ἐκείνου βουλήματι ὁδηγούμενον. τοῦτο φανὲν τὸ ζῶον, τὸ μὲν πλῆθος ἅπαν ἐξέπληξε. καὶ ὄνομα τὸ εἶδος ἐλάμβανεν. ἐκ τῶν ἐπικρατεστέρων τοῦ σώματος αὐτοσχεδίως πρὸς τοῦ δήμου καμηλοπάρδαλις κατηγορηθέν. ταράχου γε μὴν τὴν πανήγυριν ἐνέπλησε. γίνεται γάρ τι τοιοῦτον. τῷ βωμῷ τῆς μὲν σελήνης, παρειστήκει ταύρων ξυνωρίς. τῷ δὲ τοῦ ἡλίου, τέτρωρον ἵππων λευκῶν εἰς τὴν ἱερουργίαν ηὐτρεπισμένων. ξένου δὲ καὶ ἀήθους, καὶ τότε πρῶτον ἀλλοκότου ζῴου φανέντος, οἱονεὶ πρὸς φάσμα διαταραχθέντες, πτοίας τε ἐνεπίμπλαντο. καὶ τῶν

κατεχόντων

Axiomitæ

ἐπιδερμίδα

θηροκόμου

Camelopardalis

κατεχόντων τὰ δεσμὰ ἀπαράξαντων, τῶν τε ταύρων ἅτερος, ὁ μόνος ὡς ἐδόκει τὸ θηλεῖον κατοπτευκὼς καὶ δύο τῶν ἵππων εἰς φυγὴν ἀκατάσχετον ὥρμησαν. διεκπεσεῖν δὴ τὸν περίβολον τοῦ στρατοῦ μὴ δυνάμενοι, πυκνῷ τῷ συνασπισμῷ τῶν ὁπλιτῶν εἰς κύκλον τετειχισμένον. φερόμενοι δὲ ἀτάκτως καὶ μεσοῦντες ἅπαν εἴτε σκεῦος εἴτε ζῷον ἀνατρέποντες. ὥστε καὶ βοὴν ἀρθῆναι συμμιγῆ πρὸς τὸ γιγνόμενον. τὴν μὲν ὑπὸ δέους οἷς προσελάσειαν, τὴν δὲ ὑφ' ἡδονῆς οἷς καθ' ἑτέρους ἐναλλόμενοι, τέρψιν τε καὶ γέλωτα τὴν τῶν ὑποπιπτόντων συντριβὴν παρεῖχον. ἐφ' οἷς οὐδὲ ἡ περσίννα καὶ ἡ χαρίκλεια μένειν ἐφ' ἡσυχίας ἐπὶ τῆς σκηνῆς ἐκαρτέρησαν. ἀλλὰ τὸ καταπέτασμα μικρὸν παραστείλασαι, θεωροὶ τῶν δρωμένων ἐγίνοντο. ἐνταῦθα ὁ θεαγένης, εἴτ' οὖν οἴκοθεν ἀνδρείῳ τῷ λήμματι κινούμενος, εἴτε καὶ ἐκ τῶν θεῶν ὁρμῇ χρησάμενος, τούς τε παρεστῶτας αὐτῷ φύλακας πρὸς τὴν καταλαβοῦσαν ταραχὴν διεσκεδασμένους θεασάμενος, ὀρθώθη τε ἀθρόον καὶ εἰς γόνυ πρὸς τοῖς βωμοῖς πρότερον ὀκλάζων, καὶ τὴν ὅσον οὐδέπω σφαγὴν ἀναμένων, καὶ σχίζαν τῶν ἐπικειμένων τοῖς βωμοῖς ἀναρπάζει. καὶ τῶν οὐ διαδράντων ἵππων ἑνὸς λαβόμενος, τοῖς τε νώτοις ἐφιππάζεται. καὶ τῶν αὐχενίων τριχῶν ἐπιδραξάμενος, καὶ ὡς χαλινῷ τῇ χαίτῃ χρώμενος, μυωπίζει τε τῇ πτέρνῃ τὸν ἵππον. καὶ ἀντιμάστιγος τῇ σχίζῃ συνεχῶς ἐπισπέρχων, διαδράντα τὸν ταῦρον ἤλαυνε. τὰ μὲν δὴ πρῶτα φυγὴν εἶναι τοῦ θεαγένους οἱ παρόντες ὑπελάμβανον. καὶ σὺν βοῇ μὴ ξυγχωρεῖν διεξελάσαι τὸ ὁπλιτικὸν ἕρκος τῷ πλησίον ἕκαστος διεκελεύετο. προϊόντος δὲ τοῦ ἐγχειρήματος ὅτι μὴ ἀποδειλίασις ἦν μὴ δὲ ἀπόδρασις τοῦ σφαγιασθῆναι μετεδιδάσκοντο. καταλαβὼν γὰρ ὡς ὅτι τάχιστα τὸν ταῦρον, ἐπ' ὀλίγον μὲν κατ' οὐρὰν ἤλαυνεν. ὑπονύττων τε ἅμα καὶ εἰς ὀξύτερον δρόμον τὸν βοῦν ἐρεθίζων. καὶ ὅποι δὴ καὶ ὁρμήσειε παρεπομένως συνεφείπετο. τὰς ἐπιστροφάς τε καὶ ἐκβολὰς πεφυλαγμένως ἐκκλίνων. ὡς δὲ εἰς συνήθειαν τῆς τε ὄψεως ἑαυτοῦ καὶ πράξεως ἐνεβίβασεν, ἀντίπλευρος ἤδη παρέθεεν. χρωτί τε χρωτὸς ἐπιψαύων. καὶ ἱππεῖον ταύρειον ἆσθμα καὶ ἱδρῶτα κεραννύων. καὶ τὸν δρόμον οὕτως ὁμόταχον ξυνθμίζων,

ὡς καὶ

λήμματι



ὡς καὶ συμφυεῖς εἶναι τὰς κορυφὰς τῶν ζῴων τοῖς πορρωτέρω φαντάζεσθαι. καὶ τὸν θεαγένην λαμπρῶς ἐκθειάζειν. ξένην τινὰ ταύτην ἱπποταύρου ξυνωρίδα τευξάμενον. τὸ μὲν δὴ πλῆθος, ἐν τούτοις ἦν. ἡ χαρίκλεια δὲ ὁρῶσα, τρόμῳ καὶ παλμῷ συνείχετο. τό, τε ἐγχείρημα ὅτι καὶ βούλοιτο διαπορεῦσα. καὶ εἰ ἐπίσφαλμα συμβαίη, τὴν ἐκείνου τρῶσιν, ὡς ἰδίαν σφαγὴν ὑπεραγωνιῶσα. ὥστε μὴ δὲ τὴν περσίνναν λαθεῖν. ἀλλ' ὦ τέκνον εἰπεῖν, τί μοι πέπονθας. προκινδυνεύειν ἔοικας τοῦ ξένου. πάσχω μέν τι αὐτὴ καὶ οἰκτείρω τῆς νεότητος. διαδρᾶναι γοῦν μὲν τὸν κίνδυνον εὔχομαι. καὶ φυλαχθῆναι τοῖς ἱεροῖς, ὡς ἂν μὴ παντάπασιν ἀτέλεστα ἡμῖν τὰ πρὸς τοὺς θεοὺς ἐγκαταλειφθείη. καὶ ἡ χαρίκλεια, γελοῖον ἔφη τὸ εὔχεσθαι μὴ ἀποθανεῖν, ἵνα ἀποθάνῃ. ἀλλ' εἰ ἄρα σοι δυνατὸν ὦ μῆτερ περίσωζε τὸν ἄνδρα ἐμοὶ χαριζομένη. καὶ ἡ περσίννα πρόφασιν οὐ τὴν οὖσαν ἀλλ' ἐρωτικὴν ἄλλως ὑποτοπήσασα, οὐ δυνατὸν μὲν ἔφη τὸ περισώζειν. ὅμως δ' οὖν τίς σοι κοινωνία πρὸς τὸν ἄνδρα, δι' ἣν οὕτως ὑπερφροντίζεις. θάῤῥησον ὡς μητέρα λοιπὸν ἐξαγόρευε. κἂν τι νεώτερον κίνημα, κἂν παρθενίᾳ μὴ πρέπον. ἡ μητρῴα φύσις τὸ θυγατρὸς καὶ τὸ θῆλυ συμπαθὲς τὸ πταῖσμα τὸ γυναικεῖον οἶδεν ἐπισκιάζειν. ἐπιδακρύσασα οὖν ἐπιπλεῖστον ἡ χαρίκλεια, καὶ τοῦτο ἔφη δυστυχῶ πρὸς τοῖς ἄλλοις, ὅτι καὶ τοῖς συνετοῖς ἀσύνετα φθέγγομαι. καὶ λέγουσα τὰς ἑαυτῆς συμφορὰς, οὔπω λέγειν νομίζομαι. πρὸς γυμνὴν δὲ λοιπὸν καὶ ἀπαρακάλυπτον χωρεῖν τὴν ἐμαυτῆς κατηγορίαν καταναγκάζομαι. ταῦτ' εἶπε. καὶ βουλομένη τὰ ὄντα ἀνακαλύπτειν αὖθις ἐξεκρούσθη βοῆς πολυηχεστάτης πρὸς τοῦ πλήθους ἀρθείσης. ὁ γὰρ δὴ θεαγένης εἰς ὅσον εἶχε τάχους ἐφεὶς τῷ ἵππῳ χρήσασθαι καὶ προφθάσαντα μικρὸν τὰ στέρνα τῇ κεφαλῇ τοῦ ταύρου παρισῶσαι, τὸν μὲν, ἄνετον φέρεσθαι μεθίησι μεθαλλόμενος. ἐπερρίπτει δὲ ἑαυτὸν τῷ αὐχένι τοῦ ταύρου. καὶ τοῖς κέρασι τὸ ἑαυτοῦ πρόσωπον πρὸς τὸ μεταίχμιον ἐνιδρύσας. τοὺς πήχεις δὲ οἱονεὶ στεφάνην περιθεὶς, καὶ εἰς ἅμμα ἐπὶ τοῦ ταυρείου μετώπου τοὺς δακτύλους ἐπιπλέξας, τό, τε ὑπόλοιπον ἑαυτοῦ σῶμα, παρ' ὦμον τοῦ βοὸς τὸν δεξιὸν μετέωρον καθεὶς ἀκρεμὲς ἐφέρετο, πρὸς βραχὺ μὲν τοῖς ταυρείοις ἅλμασιν ἀνα-

παραλλόμενος. ὡς δὲ ἀχόμενον ἤδη πρὸς τοῦ ὄγκου, καὶ χαλῶντα τοῦ ἔργου τόνους τοὺς συντείνοντας ἤσθετο, καὶ καθ' ὃ μέρος ὁ Ὑδάσπης προκαθέζετο περιελθόντα, παραφορεῖ μὲν εἰς τοὔμπροσθεν. καὶ περιβάλλει τῶν ἐκείνου σκελῶν τοὺς ἑαυτοῦ πόδας. ταῖς χηλαῖς δὲ συνεχῶς ἐναράττων, τὴν βάσιν ἐνεποδίζεν. ὁ δὲ τὴν ῥύμην τοῦ δρόμου παραποδιζόμενος, καὶ τῷ σθένει τοῦ νεανίου βριθόμενος, τά τε γόνατα ὑποσκελίζεται. καὶ ἀθρόον ὑπὲρ κεφαλὴν σφενδονηθεὶς, κυμβαχός τε ἐπ' ὤμους καὶ νῶτα ῥιπισθεὶς, ἤπλωτο ὕπτιος ἐπὶ πλεῖστον. τῶν μὲν κεράτων τῇ γῇ προσεπηγότων. καὶ εἰς τὸ ἀκίνητον τῆς κεφαλῆς ῥιζωθέντων. τῶν σκελῶν δὲ ἄπρακτα σκαιρόντων, καὶ εἰς καιρὸν ἀερονομούντων. καὶ τὴν ἧτταν ἀλυόντων. ἐπέκειτο δὲ ὁ Θεαγένης ταῖν χεροῖν τὴν λαιὰν μόνην εἰς τὸ ἐπερείδειν ἀπασχολῶν, τὴν δεξιὰν δὲ εἰς οὐρανὸν καὶ συνεχὲς ἐπισείων. εἴς τε τὸν Ὑδάσπην καὶ τὸ ἄλλο πλῆθος, ἱλαρὸν ἀπέβλεπε. τῷ μειδιάματι πρὸς τὸ συνήδεσθαι δεξιούμενος. καὶ τῷ μυκηθμῷ τοῦ ταύρου καθάπερ σάλπιγγι τὸ ἐπινίκιον ἀνακηρυττόμενος. ἀντήχει δὲ καὶ ἡ τοῦ δήμου βοή. τρανὸν μὲν οὐδὲν εἰς τὸν ἔπαινον διαρθροῦσα κεχηνόσι δὲ ἐπὶ πολὺ τοῖς στόμασιν, ἐξ ἀρτηρίας μόνης τὸ θαῦμα ἐξεφώνει. χρόνιόν τε καὶ ὁμότονον εἰς οὐρανὸν παραπέμποντα. κελεύσαντος οὖν τοῦ βασιλέως, ὑπηρέται προσδραμόντες· οἱ μὲν τὸν Θεαγένην προσῆγον ἀναστήσαντες. οἱ δὲ, τοῦ ταύρου τοῖς κέρασι καλώδιον βροχὸν ἐπιβάλλοντες, εἷλκον τε κατηφιῶντα. καὶ τοῖς βωμοῖς αὖθις τοῦτόν τε καὶ τὸν ἵππον συλλαβόντες προσεδέσμευον. καὶ τοῦ Ὑδάσπου μέλλοντός τι πρὸς τὸν Θεαγένην λέγειν τε καὶ πράττειν, ὁ δῆμος ἅμα ἡσθεὶς τῷ νέῳ καὶ ἐξ οὗπερ τὸ πρῶτον ὤφθη προσπαθῶν, ἅμα δὲ καὶ τῆς ἰσχύος ἐκπλαγεὶς, πλέον δέ τι καὶ πρὸς τὸν Αἰθίοπα τὸν ἀθλητὴν τὸν Μεροήβου ζηλοτυπίᾳ δηχθεὶς, οὗτος τῷ Μεροήβου ζευγνύσθω πάντες ὁμοθυμαδὸν ἀνεβόησαν. ὁ τὸν ἐλέφαντα λαβὼν, τῷ τὸν ταῦρον λαβόντι διαγωνιζέσθω συνεχὲς ἐξεφώνουν. καὶ ἐπὶ πλεῖστον ἐγκειμένων, ἐπένευσέ τε ὁ Ὑδάσπης. καὶ ἤγετο εἰς μέσους ὁ Αἰθίοψ. ὑπέροπτόν τε καὶ σοβαρὸν περισκοπῶν. ἄκροις ποσί τε βαίνων καὶ πλατυνόμενος ἐναλλὰξ τοῖς ἀγκῶσι τοὺς πήχεις ὑποσοβῶν. καὶ κάπει-

δὴ τ



δὴ τοῦ συνεδρίου πλησίον ἐγεγόνει, πρὸς τὸν Θεαγένην βλέψας ὁ Ὑδάσπης καὶ ἑλληνίζων, ὦ ξένε ἔφη τούτῳ σε χρὴ διαγωνίσασθαι· ὁ δῆμος κελεύουσι. γινέσθω τὸ δοκοῦν ὁ Θεαγένης ἀπεκρίνατο. ἀλλὰ τίς ὁ τρόπος τῆς ἀγωνίας. πάλης εἶπεν ὁ Ὑδάσπης. καὶ ὅτι δὲ οὐχὶ καὶ ξιφήρης καὶ ἐνόπλιος ἵνα τι ῥέξας ἢ παθὼν ἐμπλήσω Χαρίκλειαν, τὴν σιωπῶν εἰς δεῦρο τὰ καθ' ἡμᾶς καρτεροῦσαν. ἢ καὶ εἰς τέλος ὡς ἔοικεν ἡμῶν ἀπεγνωκυῖαν. καὶ ὁ Ὑδάσπης τί μὲν βούλεταί σοι ἤδη τὸ παραπλέκειν ὄνομα Χαρικλείας, αὐτὸς γινώσκεις. παλαίειν δ' οὖν σε καὶ οὐ ξιφήρη πυκτεύειν χρεών. αἷμα γὰρ ἐκχεόμενον ὀφθῆναι πρὸ τοῦ καιροῦ τῆς θυσίας οὐ θεμιτόν. συνεὶς οὖν ὁ Θεαγένης ὅτι δέδοικεν ὁ Ὑδάσπης μὴ προαναιρεθῇ τῆς θυσίας, εὖ ποιεῖς ἔφη τοῖς θεοῖς με φυλάττων. οἷς καὶ μελήσει περὶ ἡμῶν. καὶ ἅμα κόνιν ἀνελόμενος, καὶ ὤμους τε καὶ πήχεσιν ἔτι πρὸς τῆς βουλασίας ἱδρῶτι νενοτισμένοις ἐπιχεάμενος, τήν τε μὴ προσιζήσασαν ἀποσεισάμενος, προβάλλει τε ἐκτάδην τὼ χεῖρε. καὶ τοῖς ποσὶν τὴν βάσιν εἰς τὸ ἑδραῖον διερεισάμενος, τήν τε ἰγνύαν σιμώσας, καὶ ὤμους καὶ μετάφρενα γυρώσας καὶ τὸν αὐχένα μικρὸν ἐπικλίνας, τό, τε ὅλον σῶμα σφηκώσας, εἱστήκει τὰς λαβὰς τῶν παλαισμάτων ὠδίνων. ὁ δὲ Αἰθίοψ ἐνορῶν, ἐμειδία σέ τε σεσηρὸς, καὶ εἰρωνικοῖς τοῖς νεύμασιν ἐκφαυλίζειν ἐῴκει τὸν ἀντίπαλον. ἀθρόον τέ ἐπιδραμὼν, τόν τε πῆχυν τῷ αὐχένι τοῦ Θεαγένους, ὥσπερ τινὰ μοχλὸν ἐπιρράσσει. καὶ βόμβου πρὸς τῆς πληγῆς ἐξακουσθέντος, αὖθις ἐκρύπτετο. καὶ ἐπεγέλα βλακῶδες. ὁ δὲ Θεαγένης οἷα δὴ γυμνασίων ἀνὴρ καὶ ἀλοιφῆς ἐκ νέων ἀσκητὴς τήν τε ἐναγώνιον Ἑρμοῦ τέχνην ἠκριβωκὼς, εἴκειν τὰ πρῶτα ἔγνω. καὶ ἀπόπειραν τῆς ἀντιθέτου δυνάμεως λαβόντα, πρὸς μὲν ὄγκον οὕτω πελώριον καὶ θηριωδῶς τραχυνόμενον, μὴ ὁμόσε χωρεῖν. ἐμπειρίᾳ δὲ τὴν ἄγροικον ἰσχὺν κατασοφίσασθαι. αὐτίκα γοῦν ὀλίγον ὅσον ἐκ τῆς γῆς κραδανθεὶς, πλέον ὡς εἶχεν ἀλγεῖν ἐσκήπτετο. καὶ τοῦ αὐχένος θάτερον μέρος ἔκδοτον εἰς τὸ παίεσθαι προὐβάλλετο. καὶ τοῦ Αἰθίοπος αὖθις πλήξαντος, συνενδοὺς τῇ πληγῇ

H 2 μικρὸν

ἀκονιτί unde dicatur.

κατασοφίσασθαι

ἐσκήπτετο

ἅμματι

μικροῦ καὶ καταφέρεσθαι ἐπὶ πρόσωπον ἐσχηματίζετο. ὡς δὲ καταγνοὺς καὶ ἀποθαρσήσας ὁ αἰθίοψ ἀφυλάκτως ἤδη τὸ τρίτον ἐπεφέρετο, καὶ τὸν πῆχυν αὖθις ἀνατείνας κατασείειν ἔμελλεν, ὑπεισῆλθέ τε ἀθρόον ὁ θεαγένης κεκυφὼς τὴν καταφορὰν ἐκκλίνας, πήχει τε τῷ δεξιῷ τὸν ἐκείνου λαιὸν βραχίονα προσανατείλας, ἐρρίπισέ τε τὸν ἀντίπαλον ἅμματι. καὶ τῇ καταφορᾷ τῆς ἰδίας αὐτοῦ χειρὸς εἰς κενὸν ἐνεχθείσῃ πρὸς τὸ ἔδαφος ἐπισπασθέντα, καὶ ὑπὸ τὴν μασχάλην ὑποδὺς, τοῖς τε νώτοις περιεχεῖτο. καὶ παχεῖαν τὴν γαστέρα χαλεπῶς ταῖς χερσὶ διαζώσας, τὴν βάσιν ἤδη τὰ σφυρὰ καὶ ἀστραγάλους τῇ πτέρνῃ, σφοδρῶς τε καὶ ἐπαλλήλως ἐκμοχλεύσας, εἰς γόνυ τε ὀκλάσαι βιασάμενος, ἀμφιβαίνει τοῖς ποσί. καὶ τοῖς κατὰ τοὺς βουβῶνας τὰ σκέλη καταπείρας, τούς τε καρποὺς οἷς ἐπερειδόμενος ὁ αἰθίοψ ἀνεῖχε τὰ στέρνα ἐκκρουσάμενος. καὶ τοῖς κροτάφοις εἰς ἅμμα τοὺς πήχεις περιαγαγὼν, ἐπί τε μετάφρενα καὶ ὤμους ἀνέλκων, ἐφαπλῶσαι τῇ γῇ τὴν γαστέρα κατηνάγκασε. μιᾶς δὴ οὖν βοῆς ἐπὶ τούτοις καὶ γεγωνοτέρας ἢ τὸ πρότερον ὑπὸ τοῦ πλήθους ἀρθείσης, οὐδὲ ὁ βασιλεὺς ἐκαρτέρησεν. ἀλλ' ἀνήλατό τε τοῦ θρόνου, καὶ ὢ τῆς ἀνάγκης ἔλεγεν. οἷον ἄνδρα καταθύειν ὑπὸ τοῦ νόμου πρόκειται. καὶ ἅμα προσκαλεσάμενος, ὦ νεανία πρὸς αὐτὸν ἔφη. στεφανωθῆναι μέν σε καὶ ἐπὶ ταῖς θυσίαις ὡς ἔθος ἀπόκειται. στεφανοῦ δὴ καὶ νῦν τὴν ἐπίδοξον μὲν ταύτην, ἀνόνητον δέ σοι καὶ ἐφήμερον νίκην. κἀπειδή μοι τοῦ προκειμένου καὶ βουλομένῳ ῥύσασθαί σε οὐ δυνατὸν, ὅσα γοῦν ἐφεῖται παρέξομαι. καὶ εἴ τι γινώσκεις ἔτι σε ζῶντα ὠφελεῖν δυνάμενον, αἴτησον. καὶ ἅμα λέγων, χρυσόν τε καὶ λιθοκόλλητον τῷ θεαγένει στέφανον ἐπέθηκε. καί τι καὶ τῶν δακρύων οὐκ ἐλάνθανεν. ὁ δὴ θεαγένης, οὐκοῦν αἰτήσω ἔφη· καὶ δέομαι δὸς ὑποσχόμενος, εἰ τὸ διαδρᾶναί με τὴν ἱερουργίαν πάντως ἄφυκτον. χειρὶ γοῦν τῆς εὑρημένης σοι νυνὶ θυγατρὸς κέλευε. δηχθεὶς δὴ πρὸς τὸ εἰρημένον ὁ ὑδάσπης, καὶ πρὸς τὸ ὅμοιον τῆς χαρικλείας προκλήσεως τὸν νοῦν ἀναπέμπων, οὐ δοκιμάζων δὲ ἐν συνεχόντι τῷ καιρῷ τὸ ἀκριβὲς ἀνιχνεύειν, τὰ δυνατὰ εἶπεν ὦ ξένε καὶ αἰτεῖν ἐπιτρέψας, καὶ δώσειν ἐπηγγελμένος. γεγαμῆσθαι οὖν χρῆναι

τὴν



τὴν οὐ παρθενεύουσαν σφαγιάζουσαν ὁ νόμος διαγορεύει. ἀλλ' ἔχει καὶ αὐτὴ πρὸς αὐτὸν ὁ θεαγένης. φληναφοῦντος εἶπεν ὁ ὑδάσπης καὶ τῷ ὄντι θανατῶντος οἱ λόγοι. γάμου καὶ ἀνδρὸς ὁμιλίας ἀπείρατον τὴν κόρην ἡ ἐσχάρα δέδειξε. πλὴν εἰ μὴ μερόηβον ἄνδρα τουτονὶ λέγεις. οὐκ οἶδ' ὅθεν ἐγνωκὼς, οὔπω μὲν, νυμφίον δὲ πρὸς ἐμοῦ μόνον ὠνομασμένον, ἀλλ' οὐδὲ ἐσόμενον. πρόσχες ὁ εἶπεν θεαγένης εἴπερ ἐγὼ τοῦ χαρικλείας φρονήματος ἐπῄσθημαι. καί μοι ὡς θύματι μαντευομένῳ πιστεύειν ἐστὶ δίκαιον. πρὸς ταῦτα ὁ μερόηβος, ἀλλ' οὐ ζῶντα εἶπεν ὦ βέλτιστε τὰ θύματα, σφαγιασθέντα δὲ καὶ ἀνατμηθέντα τὴν ἀπὸ τῶν σπλάγχνων σημείωσιν τοῖς μαντικοῖς ὑποδείκνυσιν. ὥστε ὀρθῶς ἔλεγες ὦ πάτερ θανατῶντα παραφθέγγεσθαι τὸν ξένον. ἀλλὰ τοῦτον μὲν εἰ κελεύεις, ἀγέτω τις ἐπὶ τοὺς βωμούς. σὺ δὲ εἴ τι λείπεται διοικησάμενος, ἔχου τῆς ἱερουργίας. καὶ ὁ μὲν θεαγένης ἤγετο οἷ προστέτακτο. ἡ χαρίκλεια δὲ ἐπὶ τῇ νίκῃ μικρὸν ἀναπνεύσασα, καὶ τὰ βελτίονα ἐλπίσασα, πάλιν ἀγομένου, πρὸς θρήνοις ἦν. καὶ τῆς περσίννης πολλὰ παρηγορούσης καὶ εἰκὸς σωθῆναι τὸν νέον, εἴ μοι καὶ τὰ λειπόμενα καὶ σαφέστερα τῶν κατὰ σαυτὴν ἐξαγορεύειν βούλοιο λεγούσης, ἡ μὲν χαρίκλεια καὶ τὸν καιρὸν οὐκ ἐνδιδόντα ὑπερθέσιν ὁρῶσα, πρὸς τὰ καιριώτερα τῶν διηγημάτων ὥρμησεν. ὁ δὲ ὑδάσπης, εἴ τινες ὑπολείπονται τῶν πρεσβευσάντων τοῦ εὐαγγελέως ἐπυνθάνετο. ὁ δὲ ἁρμονίας, οἱ ἐκ συήνης ἔφη μόνοι βασιλεῦ γράμματα μὲν ὀροονδάτου καὶ ξένια κομίζοντες. ἄρτι δὲ καὶ πρὸ βραχέος ἐπελθόντες. ἡκόντων οὖν καὶ οὗτοι τοῦ ὑδάσπου φήσαντος, παρῆσαν. καὶ τὸ γράμμα ἐνεχείριζον. καὶ ἀνειλήσας ἐπελέγετο. καὶ ἦν τοιόνδε. βασιλεῖ φιλανθρώπῳ καὶ εὐδαίμονι τῶν αἰθιόπων ὑδάσπῃ. ὀροονδάτης ὁ μεγάλου βασιλέως σατράπης. εἰ νικῶν κατὰ τὴν μάχην, πλέον γνώμῃ ἐνίκησας. καί μοι σατραπείαν ὅλην ἑκὼν παρεχώρησας, οὐκ ἂν θαυμάσαιμι τὸ παρὸν, εἰ βραχεῖαν αἴτησιν ἐπινεύσειας. κόρη τις ἀγομένη ἀπὸ τῆς μέμφεως, τοῦ πολέμου γέγονε πάρεργον. καὶ ὅτι αἰχμάλωτος ἐκ τοῦ προστάγματος εἰς αἰθιοπίαν ἐπέμφθη πρὸς τῶν σὺν αὐτῇ γεγονότων, καὶ διαδράν-



των

» των τόν τε κίνδυνον ἐπυθόμην. ταύτην αὐτῷ λυθῆναι μοι δῶ-
» ρον. ἐφιέμενος μὲν καὶ αὐτὸς τοῦ παιδός. πλέον δὲ περιποιῆσαι
» τῷ πατρὶ βουλόμενος, πολλὴν ἀληθέντι γῆν. καὶ κατὰ ζήτησιν
» τῆς θυγατρὸς ἐν ἐλεφαντίνῃ τῷ φρουρίῳ κατὰ τὸν πόλεμον κατα-
» ληφθέντι. καὶ ἐπισκοποῦντι μοὶ μετὰ ταῦτα τοὺς περισωζομένους
» ὀφθέντι, καὶ ἐκπεμφθῆναι πρὸς τὸ σὸν ἥμερον ἀξιώσαντι. ἔχεις
» αὐτόθι παρὰ τῶν ἄλλων πρέσβεων τὸν ἄνδρα. ἱκανὸν μὲν ἐστὶν ἦθος
» τὴν εὐγένειαν ἐμφῆναι. ἱκανὸν δὲ καὶ ἐστὶν ὄψεως δυσωπῆσαι. χαί-
» ροντά μοι τοῦτον ὦ βασιλεῦ ἀντίπεμψον. πατέρα μὴ μόνον ὀνο-
» μαζόμενον, ἀλλὰ καὶ γεγενημένον. ταῦτα ὡς ἀνέγνω, τίς οὖν τῶν
παρόντων ὁ τὴν θυγατέρα ἐπιζητῶν ἠρώτησε. καὶ ὑποδειξάν-
των δέ τινα πρεσβύτην, ὦ ξένε πρὸς αὐτὸν ἔφη. πάντα αἰτοῦν-
τος ὀροονδάτου ποιεῖν ἕτοιμος. ἀλλὰ δέκα μὲν ἀχθῆναι μόνας αἰ-
χμαλώτους ἐκέλευσα νεανίδας. μιᾶς δὲ τέως ὅτι μὴ ἐστι σὴ θυγά-
τηρ ἐπεγνωσμένης, τὰς ἄλλας ἐπισκόπησον. καὶ γνωρίζων εἰ εὑ-
ροις λάμβανε. προκύψας ἐφίλει τοὺς πόδας ὁ πρεσβύτης. καὶ
ἀχθείσας τὰς κόρας ὡς ἐπισκοπῶν τὴν ἐπιζητουμένην οὐχ εὑρί-
σκεν, αὖθις κατηφήσας, ὦ βασιλεῦ, οὐδεμία τούτων ἐστὶν ἔλε-
γε. τὴν γνώμην ἔφη ὁ ὑδάσπης, τὴν ἐμὴν ἔχεις. μέμφου δὲ τῇ τύ-
χῃ, εἰ τὴν ἐπιζητουμένην οὐχ εὑρίσκεις. ὅτι γὰρ μήτε ἄλλη ἐλήφθη
παρὰ ταύτας μήτε ἐστὶ μετὰ τὸ στρατόπεδον, ἔξεστί σοι περισκοποῦντι.
ῥαπίσας τὸ μέτωπον ὁ πρεσβύτης καὶ ἐπιδακρύσας ἀνανεύσας-
τε, καὶ περιαθρῶν ἐν κύκλῳ τὸ πλῆθος ἀθρόον ὥσπερ τις ἐμμα-
νὴς ἐξέδραμε. καὶ τοῖς βωμοῖς προσελθὼν τοῦ τε τριβωνίου, ὅπερ γὰρ
ἔτυχεν ἀμπεχόμενος, τὸ κράσπεδον εἰς βρόχον περιειλήσας, ἐπι-
βάλλει τε περὶ αὐχένι τοῦ θεαγένους, καὶ εἷλκεν. ἐξάκουστον βοῶν. ἔχω
σε ὦ πολέμιε λέγων. ἔχω σε ὦ παλαμναῖε καὶ ἀλιτήριε. καὶ τῶν
φρουρούντων ἀντέχειν καὶ ἀποσπᾶν βιαζομένων, ἀπρὶξ ἐχόμενος, καὶ
οἱονεὶ συμπεφυκὼς, ἀγαγεῖν εἰς τὸ πρόσωπον τοῦ τε ὑδάσπου καὶ
τῶν συνέδρων ἐξενίκησε. καὶ ὁ βασιλεῦ ἔλεγεν. οὗτός ἐστιν ὁ τὴν ἐμὴν
θυγατέρα συλλαγωγήσας. οὗτός ἐστιν ὁ τὴν οἰκίαν εἰς ἀπαιδίαν
ἐρημώσας. καὶ ἐκ μέσων τῶν τοῦ πυθίου βωμῶν τὴν ἐμὴν ψυχὴν ἀναρ-
πάσας.



πάσας. καὶ νῦν ὡς ἐναγὴς τοῖς τῶν θεῶν βωμοῖς προσκαθήμενος.
ἐπεθορύβησαν πρὸς τὰ γινόμενα σύμπαντες. τὰ μὲν ῥήματα οὐ
συνιέντες. τὰ ὁρώμενα δὲ οἱ λοιποὶ θαυμάζοντες. καὶ τοῦ ὑδά-
σπου σαφέστερον ὅ, τι βούλοιτο λέγειν κελεύοντος, ὁ πρεσβύτης, ἦν
δὲ ἄρα χαρικλῆς, τὰ μὲν ἀληθέστερα τοῦ γένους τῆς χαρικλείας ἀπε-
κρύπτε. μήπη ἄρα καὶ μετὰ τὴν φυγὴν ἐκείνης τῆς αἰδοῦς προαφανι-
σθείσης πολέμιος καθ' ἑαυτοῦ πρὸς τῶν ἀληθῶς γεγεννηκότων ἐπι-
σπάσηται διευλαβούμενος. ἐξετίθετο δὲ ἐπιτέμνων ἃ μηδὲν ἔ-
βλαπτε καὶ ἔλεγεν. ἦν μοι θυγάτηρ ὦ βασιλεῦ. τίς μὲν τὴν φρό-
νησιν, καὶ οἵα τὸ εἶδος θεασάμενοι, ἐπαξίως ἂν με λέγειν ἐπιστεύ-
σατε. ἦν δ' οὖν παρθενευομένη καὶ ζάκορος τῆς ἐν δελφοῖς ἀρτέμι-
δος. ταύτην ὁ θαυμάσιος οὗτος θετταλὸς ὢν τὸ γένος, καὶ εἰς δελ-
φοὺς τὴν ἐμὴν πόλιν ὥστε πάτριον ἐπιτελέσων, ἀρχιθεωρὸς ἀφι-
γμένος, ἔλαθεν ἐκ τῶν ἀδύτων αὐτῶν τὴν κόρην ἀποσυλήσας. καὶ
ἀδύτων τοῦ ἀπόλλωνος. διὸ καὶ ὑμᾶς ἀσεβεῖν δικαίως ἄν, νομι-
σθείη. τὸν πάτριον ὑμῶν θεὸν ἀπόλλωνα, τὸν αὐτὸν ὄντα καὶ ἥλιον.
καὶ τὸ ἐκείνου τέμενος βεβηλώσας. συνεργοῦ δὲ αὐτῷ πρὸς τὴν ἐνα-
γῆ ταύτην πρᾶξιν, ψευδοπροφήτου τινὸς μεμφίτου γεγονότος. ἐπεὶ
δὴ μετὰ τὴν θετταλίαν ἐγενόμην τῶν ὄντων πολιτῶν ἐξαιτῶν οὐ-
δαμῶς εὕρισκον. ἔκδοτον ἐκείνων τοῦτον εἰ καὶ εἰς φυγὴν ὅποι ποτὲ
ἂν, εὑρίσκηται, ὡς ἀλάστορα παραχωρησάντων, ὁρμητήριον εἶναι
τῆς φυγῆς τὴν καλασιρίδος μέμφιν εἰκάσας, εἰς ταύτην ἀφικόμε-
νος, καὶ τὸν μὲν καλάσιριν ὡς ἐχρῆν τεθνηκότα καταλαβὼν, παρὰ
θυάμιδος δὲ τοῦ ἐκείνου παιδὸς ἅπαντα τὰ περὶ τῆς θυγατέρα ἐκ-
διδαχθεὶς, καὶ ὅτι πρὸς ὀροονδάτην εἰς τὴν συήνην ἐξεπέσταλτο,
καὶ τοῦ μὲν ὀροονδάτου καὶ τῆς συήνης ἀποτυχὼν, ἦλθον γὰρ κἀκεῖσε.
μετὰ δὲ τὴν ἐλεφαντίνην ὑπὸ τοῦ πολέμου καταληφθεὶς, ἥκω τανῦν
ἐνταῦθα. καὶ γίνομαι ἱκέτης τὴν θυγατέρα ἐπιζητήσων. ἐμὲ πο-
λυτλήμονα ἄνθρωπον εὐεργετῶν, καὶ σαυτῷ χαριζόμενος, εἰ τὸν
πρεσβεύοντα ὑπὲρ ὑμῶν σατράπην ὀφθείης αἰδούμενος. καὶ ὁ μὲν
ἐσιώπησεν. ἐπιθρηνῳδῶν γοῶδες τοῖς εἰρημένοις. ὁ δὲ ὑδάσπης πρὸς
τὸν θεαγένην, τί ἔφη πρὸς ταῦτα ἐρεῖς. ὁ δὲ ἀληθῆ ἔφη πάντα τὰ
κατηγορηθέντα. λῃστὴς ἐγὼ καὶ ἄδικος καὶ βίαιος περὶ τοῦτον. ἀλλ'

ὑμέτερος εὐεργέτης. ἀπόδος οὖν ἔφη τὴν ἀλλοτρίαν ὁ ὑδάσπης,
διὰ τὸ πεπαρρησιάσθαι τοῖς θεοῖς, τὴν ἐκ τῆς θυσίας ἐπίδοξον, οὐ
τὴν ἐκ τῆς τιμωρίας ὑφέξων σφαγὴν ἔνδικον. ἀλλ' οὐχ ὁ ἀδικήσας
εἶπεν ὁ θεαγένης. ἀλλ' ὁ τὸ ἀδίκημα ἔχων ἀποδιδόναι δίκαιος. ἔ-
χεις δὲ αὐτός. ἀπόδος εἰ μὴ τὴν θυγατέρα εἶναι χαρίκλειαν καὶ οὗ-
τος ὁμολογήσειεν. οὐκέτι καρτερεῖν οὐδεὶς ἠνείχετο. ἀλλ' ἅμα πάν-
των σύγχυσις ἐγίγνετο. σισιμίθρης δὲ ἐπὶ πολὺ διαρκέσας, καὶ
πάλαι τὰ λεγόμενα καὶ πραττόμενα γνωρίζων, ὧν τὸ ἀκριβὲς
δὲ περιελθεῖν τὰ φανερούμενα πρὸς τοῦ κρείττονος ἀναμένων,
προσέδραμέ τε καὶ τὴν χαρίκλειαν περιεπτύσσετο. καὶ σώζεταί
σοι ἡ νομισθεῖσα καὶ παρ' ἡμῶν ἐγχειρισθεῖσά ποτε θυγάτηρ ἔλε-
γε. θυγάτηρ ἀληθῶς οὖσα, καὶ εὑρεθεῖσα ὧν γινώσκεις. καὶ ἡ
χαρίκλεια τῆς σκηνῆς ἐξέδραμε. καὶ πᾶσαν τὴν ἐκ φύσεώς τε
καὶ ἡλικίας αἰδῶ παραγκωνισαμένη, βακχιόν τι καὶ ἐμμανὲς
ἐφέρετο. καὶ τοῖς γόνασι τοῦ χαρικλέους προσπεσοῦσα, ὦ πάτερ
ἔλεγεν. ὦ τῶν φύντων οὐδὲν ἔλαττον ἐμοὶ σεβάσμιε. τιμώρησαι
ὡς βούλει τὴν ἀθέμιτον ἐμὲ καὶ πατραλοίαν. κἂν εἰς βουλήμα-
τις ἀναφορᾷ θεῶν. κἂν εἰς διοίκησιν ἐκείνων τὰ δεδρασμένα μὴ
προσέχων. ἡ περσίνα δὲ καθ' ἕτερον μέρος τὸν ὑδάσπην ἐνηγκα-
λίζετο. καὶ πάντα οὕτως ἔχειν ἆνερ πίστευε πρὸς αὐτὸν ἔλεγε.
καὶ νυμφίον εἶναι τῆς θυγατρὸς τὸν ἕλληνα τουτονὶ νεανίαν ἀληθῶς
γίνωσκε. ὁ δῆμος ἑτέρωθεν σὺν εὐφημίοις βοαῖς ἐξεχόρευε. πᾶσα
ἡλικία καὶ τύχη συμφώνως τὰ γιγνόμενα θυμηδούντων, τὰ μὲν
θυμηδοῦντες
πλεῖστα τῶν λεγομένων οὐ συνιέντων, τὰ ὄντα δὲ ἐκ τῶν προγεγο-
νότων ἐπὶ τῇ χαρικλείᾳ συμβαλλόντων, ἢ τάχα καὶ ἐξ ὁρμῆς
θείας, ἣ σύμπαντα ταῦτα ἐσκηνογράφησεν, εἰς ἐπίνοιαν τῶν
ἀληθῶν ἐλθόντων, ὑφ' ἧς καὶ τὰ ἐναντιώτατα πρὸς συμφω-
νίαν ἡρμόζετο, χαρᾶς καὶ λύπης συμπεπλεγμένων. γέλωτι
δακρύων κεραννυμένων. τῶν στυγνοτάτων εἰς ἑορτὴν μεταβαλ-
λομένων. γελώντων ἅμα τῶν κλαιόντων καὶ χαιρόντων τῶν θρη-
νούντων εὑρισκόντων οὓς μὴ ἐζήτουν. καὶ ἀπολλύντων οὓς εὑ-
ρηκέναι ἐδόκουν. καὶ τέλος τῶν προσδοκηθέντων φόνων, εἰς εὐα-
γεῖς θυσίας μεταβαλλομένων. τοῦ γὰρ ὑδάσπου πρὸς τὸν σισιμίθρην

τί χρὴ



τί χρὴ δρᾶν ὦ σοφώτατε εἰπόντος, ἀρνεῖσθαι τὴν τῶν θεῶν θυσίαν
οὐκ εὐσεβές. σφαγιάζειν τοὺς παρ' αὐτῶν δωρηθέντας οὐκ εὐαγές.
ἐπινοητέον ἡμῖν τι πρακτέον. ὁ σισιμίθρης οὐχ ἑλληνίζων, ἀλλ' ὥστε
καὶ πάντας ἐπαΐειν αἰθιοπίζων, ὦ βασιλεῦ εἶπεν. ἐπισκιάζονται
ὡς ἔοικεν ὑπὸ τῆς ἄγαν χαρᾶς, καὶ οἱ συνετώτατοι τῶν ἀνδρῶν. σὲ
γοῦν καὶ πάλαι συμβάλλειν ἐχρῆν, ὅτι μὴ προσίενται οἱ θεοί, τὴν
εὐτρεπιζομένην θυσίαν. νῦν μὲν τὴν πανόλβιον χαρίκλειαν ἐξ
αὐτῶν σοι τῶν βωμῶν θυγατέρα ἀναδείξαντες. καὶ τὸν ταύτης
τροφέα καθάπερ ἐκ μηχανῆς, ἐκ μέσης τῆς ἑλλάδος, ἐνταῦθα
ἀναπέμψαντες. αὖθις τὴν πτοίαν καὶ τὸν τάραχον τοῖς προσβω-
μίοις ἵπποις καὶ βουσὶν ἐπιβάλλοντες, καὶ τὸ διακοπήσεσθαι τὰ
τελεώτερα νομιζόμενα τῶν ἱερείων συμβάλλειν παρέχοντες. νῦν
τὴν κορωνίδα τῶν ἀγαθῶν. καὶ ὥσπερ λαμπάδιον δράματος τὸν
νυμφίον τῆς κόρης τουτονὶ τὸν ξένον νεανίαν ἀναφήναντες. ἀλλ' αἰ-
σθανώμεθα τοῦ θείου θαυματουργήματος. καὶ συνεργοὶ γινώμεθα
τοῦ ἐκείνων βουλήματος. καὶ ἐχώμεθα τῶν εὐαγεστέρων ἱερῶν. τὴν
δὲ ἀνθρώπων θυσίαν, καὶ εἰς τὸν ἑξῆς αἰῶνα περιγράψαντες. ταῦ-
τα τὸν σισιμίθρην λαμπρῶς τε καὶ εἰς ἐπήκοον ἁπάντων ἐμβοή-
σαντος, ὁ ὑδάσπης τὴν ἐγχώριον γλῶτταν καὶ αὐτὸς συνείς, τῆς
τε χαρικλείας καὶ τοῦ θεαγένους ἐπιδεδραγμένος, οὐκοῦν ὦ παρόν-
τες ἔλεγε. θεῶν νεύματι τούτων οὕτω διαπεπραγμένων, τὸ ἀν-
τιβαίνειν ἀθέμιτον. ὥστε ὑπὸ μάρτυσιν αὐτοῖς τε τοῖς ταῦτα ἐπι-
κλώσασι, καὶ ὑμῖν ἀκόλουθα ἐκείνοις φρονεῖν ἐνδεικνυμένοις, ξυνω-
ρίδα ταύτην γαμηλίοις γάμοις ἀναδείκνυμι. καὶ συνεῖναι θε-
σμῷ παιδογονίας ἐφίημι. καὶ εἰ δοκεῖ βεβαιούτω τὰ δόξαντα ἡ θυ-
σία. καὶ πρὸς τὰ ἱερὰ τραπώμεθα. τούτοις εἰρημένοις, ἐπευφήμι-
σεν ὁ στρατός. καὶ κρότον τῶν χειρῶν ὡς ἐπιτελουμένοις ἤδη τοῖς γά-
μοις ἐπεκτύπησαν. καὶ πλησιάσας τοῖς βωμοῖς ὁ ὑδάσπης, καὶ μέλ-
λων ἀπάρχεσθαι τῶν ἱερείων, ὦ δέσποτα εἶπεν ἥλιε. καὶ σελήνη δέ-
σποινα. εἰ μὲν δὴ ἀνὴρ καὶ γυνὴ θεαγένης τε καὶ χαρίκλεια βουλή-
μασιν ὑμετέροις ἀνεδείχθησαν, ἔξεστιν αὐτοῖς ἄρα καὶ ἱερατεύειν
ὑμῖν. καὶ ταῦτα εἰπών, τήν τε αὑτοῦ καὶ τὴν περσίνης μίτραν τὸ
σύμβολον τῆς ἱερωσύνης ἀφελών, τὴν μὲν τῷ θεαγένει τὴν αὑτοῦ.

χαρί-

χαρικλείᾳ δὲ τὴν περσίνης ἐπιτίθησιν. οὗ γεγονότος, ἐνθύμιον τοῦ χρησμοῦ τοῦ ἐν δελφοῖς ὁ χαρικλῆς ἐλάμβανε. καὶ τοῖς ἔργοις βεβαιούμενον, τὸ πάλαι παρὰ τῶν θεῶν προαγορευθὲν ηὕρισκεν. ὃ τοὺς νέους ἔφραζεν ἐκ τῶν δελφῶν διαδράντας.

„ Ἵξοντ' ἠελίου πρὸς χθόνα κυανέην

„ Τῇ περ ἀριστόβιον μέγ' ἀέθλιον ἐξάψονται

„ Λευκὸν ἐπὶ κροτάφων στέμμα μελαινομένων.

στεφθέντες οὖν οἱ νέοι λευκαῖς ταῖς μίτραις, τήν τε ἱερωσύνην ἅμα παρὰ ὑδάσπη ἀναδησάμενοι, καὶ τὴν θυσίαν αὐτοὶ καλλιερήσαντες ὑπὸ λαμπάσιν ἡμμέναις, αὐλῶν τε καὶ συρίγγων μελῳδίαις ἐφ' ἅρματος ἵππων, ὁ μὲν θεαγένης ἅμα τῷ ὑδάσπῃ, σισιμίθρης δὲ καθ' ἕτερον ἅμα τῷ χαρικλεῖ. βοῶν δὲ λευκῶν ἡ χαρίκλεια αὐτῇ περσίνῃ, σὺν εὐφημίαις καὶ κρότοις καὶ χοροῖς, ἐπὶ τὴν μερόην παρεπέμποντο. τῶν ἐπὶ τῷ γάμῳ μυστικωτέρων κατὰ τὸ ἄστυ φαιδρότερον τελεσθησομένων. τοιόνδε πέρας ἔσχε τὸ σύνταγμα τῶν περὶ θεαγένην καὶ χαρίκλειαν αἰθιοπικῶν. ὃ συνέταξεν

ἀνὴρ φοῖνιξ ἐμεσηνὸς, τῶν ἀφ' ἡλίου γένος.

θεοδοσίου παῖς ἡλιόδωρος.

Εἴληφε τέρμα, βίβλος
Ἡλιοδώρου.

BASILEAE IN OFFICINA IOAN. HER-
VAGII. ANNO M. D. XXXIIII.



γείτονες τῆς ἠρ...

γείτονες τῆς κηρύκης αἱ μεθύμναι

γείτονες τῆς κηρύκης αἱ μεθύμναι

σπουδῆς ἄξιον δὲ τὸ πολλοῖς

ἀκούω τῶν ἀνθρώπων

fran.co

fray domyngo

Santillan

el lic.do de parra

S. Santillan

p.o hernandes

agustin lopez

luis hernandez

el conde

V ε ι

| | |
|---|---|
| 50 | 40 |
| 5 | 5 |
| 10 | 20 |
| 30 | 30 |
| 70 | 70 |
| 100 | 100 |
| 265 | 265 |